ΤΟ ΜΕΓΑ ΓΕΡΟΝΤΙΚΟΝ

Τόμος Δ'



Θεσσαλονίκη 2014

῾Ως εἰς λειμῶνα ἀρετῶν ἀνθηφοροῦντα τῶν θεοφόρων ἀσκητῶν περιπατοῦντες, τῆς ὀσμῆς πληρούμεθα τῆς ἡδυπνόου· τοῖς ἄθλοις γὰρ στομωθέντες τῶν πειρασμῶν, τὸ σῶμα τῇ ἐγκρατείᾳ δουλοπρεπῶς καθυπέταξαν πνεύματι, ἀγγελικὴν ἐπὶ γῆς πολιτείαν βιώσαντες· δόξης οὖν ἠξιώθησαν.*

᾿Από τήν ὑμνολογία τῆς ᾿Εκκλησίας

(*ἔγιναν χαλύβδινοι)

ISBN set 978-960-7407-47-4
ISBN Δ΄ 978-960-7407-60-3

ΤΟ
ΜΕΓΑ
ΓΕΡΟΝΤΙΚΟΝ

ΤΟ ΜΕΓΑ ΓΕΡΟΝΤΙΚΟΝ

Θεματική Συλλογή

Κείμενο-Μετάφραση-Σχόλια

Τόμος Τέταρτος

Θεσσαλονίκη 2014


ISBN set 978-960-7407-47-4
ISBN Δ΄ 978-960-7407-60-3

Α΄ ἔκδοση 1999
Β΄ ἔκδοση 2014

Ἀναπαύσεως 18 – 55236 Πανόραμα Θεσσαλονίκης
Τηλ. 2310343901

Ἔκδοση – Κεντρική διάθεση:
Βιβλιοπωλεῖο «Τό Περιβόλι τῆς Παναγίας»
Πρασακάκη 9 – 546 22 Θεσσαλονίκη
Τηλ. 2310231040, 2310283805, φάξ 2310241254
E-mail: bookstore@toperivoli.gr

Περιεχόμενα



Ρώμη
Θεσσαλονίκη
Ἀθῆνα
Κων/πολις
ΒΙΘΥΝΙΑ
Νίκαια
ΠΟΝΤΟΣ
ΓΑΛΑΤΙΑ
ΚΑΠΠΑΔΟΚΙΑ
ΚΙΛΙΚΙΑ
Ἄδανα
Ἀντιόχεια
(Θεούπολις)
ΣΥΡΙΑ
ΚΥΠΡΟΣ
Μεσόγειος Θάλασσα
Βηρυτός
Σιδόνα
Δαμασκός
Τύρος
Καισάρεια
Φιλίππου
ΠΑΛΑΙΣΤΙΝΗ
Ἰεριχώ
Ἱερουσαλήμ
Νεκρὰ θ.
Γάζα
Ἀλεξάνδρεια
Κάνωβος
Διόλκος
Πανεφώ
Πηλούσιον
ΛΙΒΥΗ
Νιτρία
Κελλία
Σκήτη
Βαβυλὼν
(Κάιρο)
Τερενούθη
ΑΙΓΥΠΤΟΣ
Κλύσμα
Πέτρα
Μέμφις
Ἐιλάτ
Ἕλος Ἀρσενοΐτου
Νειλόπολις
Ὀξύρρυγχος
Ὄρος Ἁγ. Ἀντωνίου
Ἡρωοπολίτης κόλπος
ΧΕΡΣΟΝΗΣΟΣ
ΣΙΝΑ
Φαράν
Ἱ.Μ. Σινᾶ
Μ.Ἁγ. Παύλου
Ραϊθώ
Αἰλανίτης κ.
ΚΑΤΩ ΘΗΒΑΪΣ
π. Νεῖλος
Μ. ἀββᾶ Ἀπολλὼ
Λυκόπολις
ΑΝΩ ΘΗΒΑΪΣ
ΕΡΥΘΡΑ
ΘΑΛΑΣΣΑ
Ταβεννησία
Μεσό-
γειος
Θάλ.
ΣΑΜΑΡΕΙΑ
Δουκᾶ
π. Ἰορδάνης
Ἰεριχώ
Χοζιβᾶ
Πενθουκλᾶ
Φαράν
Καλαμῶνος
Γερασίμου
Ἔρημος
Καλαμῶνος
Πυργίων
Ἱερουσαλὴμ
Ἐπταστόμου
Θεοδοσίου
χειμ. Κέδρων
Βηθλεέμ
Σάββα
ΙΟΥΔΑΙΑ
Χεβρών
Νεκρὰ
Θάλασσα
Μοναστήρια τῆς Παλαιστίνης

Ὁδηγός παραπομπῶν καί συντομογραφιῶν

ἀπόφθ.	= ἀπόφθεγμα
βιογρ. σημ.	= βιογραφικό σημείωμα
βλ.	= βλέπε
(βλ.) Εἰσαγ.	= (βλέπε στό) Εἰσαγωγικό σημείωμα
κεφ.	= κεφάλαιο
κώδ.	= κώδικας
λ.	= λέξη
πρβλ.	= παράβαλε
σελ.	= σελίδα
τ.	= τόμος
ὑποσημ.	= ὑποσημείωση
PG	= Patrologia Graeca (Ἑλληνική Πατρολογία Migne)

• Ἡ παραπομπή σέ ἀπόφθεγμα ἤ σέ ἔννοια ἑνός ἀποφθέγματος δηλώνεται μέ τό ἀλφαβητικό γράμμα τοῦ κεφαλαίου, πού χαρακτηρίζει τή σειρά του, καί τόν εἰδικό ἀριθμό πού ἔχει τό ἀπόφθεγμα μέσα στό κεφάλαιο αὐτό.

Π.χ. ΙΕ 29 σημαίνει τό ἀπόφθ. 29 τοῦ ΙΕ΄ κεφ.

Γιά ἀποφθέγματα πού ἡ ἔκτασή τους εἶναι πάνω ἀπό μιά σελίδα, καί πρόκειται νά παραπέμψουμε σέ κάποια ἔννοια τοῦ ἀποφθέγματος, ἀναγράφεται στίς στῆλες τῶν Εὑρετηρίων καί ἡ σελίδα στήν ὁποία βρίσκεται ἡ ἔννοια.

Π.χ. ΙΗ 59 (σελ. 395) σημαίνει ὅτι ἡ ἔννοια πού ἀναζητοῦμε βρίσκεται στό ἀπόφθ. 59 τοῦ ΙΗ΄ κεφ. καί στή σελ. 395.

• Οἱ ὑποσημειώσεις κάθε κεφαλαίου ἔχουν δική τους ἀριθμητική σειρά. Στά Εὑρετήρια ἡ παραπομπή στίς ὑποσημειώσεις τῶν ἀποφθεγμάτων δηλώνεται μέ τό γράμμα τοῦ κεφαλαίου, τόν ἀριθμό τῆς ὑποσημείωσης καί, ὅπου χρειάζεται, τόν ἀριθμό τῆς σελίδας στήν ὁποία βρίσκεται.


Π.χ. ΙΕ ὑποσημ. 75, σελ. 106.

• Ὁ ἀστερίσκος (*) πάνω σέ κάποια κύρια ὀνόματα σημαίνει ὅτι γι' αὐτά ὑπάρχει βιογραφικό σημείωμα στίς σελ. 579-586 στό τέλος τοῦ βιβλίου.

• Στό Εὑρετήριο ἐννοιῶν, ὅπου μέσα σέ παρενθέσεις παρατίθενται κάποιες προσδιοριστικές λέξεις, ἄν ὑπάρχει μιά παύλα (–) μέ τό ἀρχικό ἤ καί τό δεύτερο γράμμα τῆς ἔννοιας στήν ὁποία γίνεται ἡ παραπομπή, ἡ παύλα δηλώνει ἀκριβῶς τήν ἴδια τήν ἔννοια.

Π.χ. στή λ. ὑπερηφάνεια: (πνεῦμα ὑ–) σημαίνει: πνεῦμα ὑπερηφανείας.

Στή λ. κρίση: (κρ– τοῦ Θεοῦ) σημαίνει: κρίση τοῦ Θεοῦ.



Εἰσαγωγικό σημείωμα

Πρίν ἀπό ἕξι περίπου χρόνια μᾶς ἔγινε πρόταση –σέ ἀνύποπτο χρόνο– νά ἀσχοληθοῦμε μέ τήν ἔκδοση τῆς θεματικῆς σειρᾶς τῶν ἀποφθεγμάτων τῶν ἁγίων Γερόντων Αἰγύπτου, Θηβαΐδος, Σινᾶ, Παλαιστίνης καί περιχώρων, τά ὁποῖα ὥς τότε, στό σύνολό τους τουλάχιστον, παρέμεναν ἀνέκδοτα (βλ. Εἰσαγωγή Α΄ τ. Μ. Γερ.).

Ἔχοντας συνείδηση τῶν περιορισμένων δυνατοτήτων μας, ἡ πρώτη μας ἀντίδραση στήν πρόταση ὑπῆρξε ὁ δισταγμός. Γρήγορα ὅμως ὑπερίσχυσε ἡ πεποίθηση ὅτι ὁ Θεός πού κυβερνᾶ τή ζωή μας καί οἰκονομεῖ τά πάντα, εἶναι Αὐτός πού παρουσίασε τήν εὐκαιρία αὐτή, ἀζήτητη ἀπό μέρους μας. Ἔτσι θεωρήσαμε χρέος μας νά μήν ἀντιπαρέλθουμε τό σχέδιο τοῦ Θεοῦ καί ὅπου φτάσουμε.

Ὄντως εὐδόκησε ὁ Θεός καί ἤδη ἔχουμε στά χέρια μας τόν Δ΄ τόμο τοῦ Μεγάλου Γεροντικοῦ, μέ τόν ὁποῖο ὁλοκληρώνεται καί ἡ σειρά.

Ὁ τόμος αὐτός περιλαμβάνει τά ὀκτώ (8) τελευταῖα κεφάλαια τῆς σειρᾶς τοῦ Μ. Γεροντικοῦ:

ΙΕ΄. Περί ταπεινοφροσύνης
ΙϚ΄. Περί ἀνεξικακίας
ΙΖ΄. Περί ἀγάπης
ΙΗ΄. Περί διορατικῶν
ΙΘ΄. Περί σημειοφόρων
Κ΄. Σχετικά μέ τήν ἐνάρετη ζωή
ΚΑ΄. Διάλογος Γερόντων μέ ἐρωτήσεις καί ἀποκρίσεις
ΚΒ΄. Γιά τούς δώδεκα ἀναχωρητές.

Κατά τήν ἀρίθμηση τῶν κεφ. τοῦ Δ΄ τόμου θεωρήσαμε σκόπιμο νά δώσουμε ξεχωριστό ἀριθμό στά "Περί σημειοφόρων" ἀποφθέγματα –πού ἀκολουθοῦν τά "Περί διορατικῶν"– καθώς διαφοροποιοῦνται ἀπ' αὐτά σέ ὁρισμένους κώδικες. Γιά τόν λόγο αὐτόν ὁ τελικός ἀριθμός τῶν κεφαλαίων ὅλης τῆς σειρᾶς (Α΄, Β΄, Γ΄, Δ΄ τόμων) ἀνέρχεται σέ εἴκοσι δύο (22), ἐνῶ ἡ ἀρχική ἐκτίμηση (Α΄ τόμος) τά κατέτασσε σέ εἴκοσι ἕνα (21) κεφάλαια.

Ὀφείλουμε εὐχαριστίες στόν Θεό τόν συνεργήσαντα ἐν τῇ ἀδυναμίᾳ μας στήν πραγματοποίηση τῆς ἔκδοσης αὐτῆς, ἡ ὁποία πιστεύουμε ὅτι θά εἶναι μιά "πηγή ὕδατος ἁλλομένου εἰς ζωήν αἰώνιον" σ' ὅσων τά χέρια καί τίς καρδιές θά φτάσει.

Παρακαλοῦμε τούς ἀγαπητούς ἀναγνῶστες νά παραβλέψουν τίς δικές μας ἀτέλειες, μιά καί θά ἀποζημιωθοῦν γενναῖα –καί αὐτό εἶναι τό ζητούμενο– ἀπό τήν Ἀλήθεια τοῦ Θεοῦ, πού ἐκφράζεται μέσα ἀπό τήν πείρα τῶν πνευματοφόρων παλαιστῶν τῆς Ἐρήμου, τῶν ἁγίων Πατέρων, οἱ ὁποῖοι ὡς ἄγγελοι βιώσαντες ἐπί τῆς γῆς μᾶς κληροδότησαν τούς ἀδάμαντες τῆς ἐμπειρίας τους, τόν ἀτίμητο αὐτόν θησαυρό.

Χρέος ἐπίσης αἰσθανόμαστε νά ἐκφράσουμε καί ἀπό τῆς θέσεως αὐτῆς τήν εὐγνωμοσύνη μας καί τίς εἰλικρινεῖς εὐχαριστίες μας στούς φίλους συνεργάτες τῆς Ἀδελφότητος, οἱ ὁποῖοι μέ ὅλα τά μέσα πού ἡ ἀγάπη τους ἐπινοοῦσε συνέβαλαν στήν πραγματοποίηση τῆς ἱερῆς αὐτῆς ἔκδοσης.

Τά ὀνόματά τους εἶναι γραμμένα ἐν οὐρανοῖς, μιά καί προτιμοῦν τήν ἀνωνυμία στή γῆ μιμούμενοι τόν πτωχεύσαντα δι' ἡμᾶς Κύριον.


Εὔχεσθε, παρακαλοῦμε, γιά τή μετάνοιά μας.

Ἐκ τοῦ ἱεροῦ Ἡσυχαστηρίου

ΚΕΦΑΛΑΙΟ ΙΕ΄

Εἶπε Γέρων: «Ὁ ἔχων ταπείνωσιν
ταπεινοῖ τούς δαίμονας,
ὁ δὲ μὴ ἔχων ταπείνωσιν
καταπαίζεται ὑπὸ τῶν δαιμόνων».

(Ἀπόφθ. 171)



Περὶ ταπεινοφροσύνης




ἀββᾶς Ἀντώνιος ἀτενίσας πρὸς τὸ βάθος τῶν τοῦ Θεοῦ κριμάτων ᾔτησε λέγων· Κύριε, πῶς τινες ὀλιγόβιοι ἀποθνήσκουσι, τινὲς δὲ καὶ ὑπεργηρῶσι; Καὶ διατί τινες μὲν πένονται, ἄλλοι δὲ πλουτοῦσι; καὶ πῶς ἄδικοι μὲν πλουτοῦσι, δίκαιοι δὲ πένονται; Ἦλθε δὲ αὐτῷ φωνὴ λέγουσα· Ἀντώνιε, σεαυτῷ πρόσεχε· ταῦτα γὰρ κρίματα Θεοῦ εἰσι καὶ οὐ συμφέρει σοι αὐτὰ μαθεῖν.

2. Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος τῷ ἀββᾷ Ποιμένι ὅτι αὕτη ἐστὶν ἡ μεγάλη ἐργασία τοῦ ἀνθρώπου, ἵνα τὸ σφάλμα αὐτοῦ ἐπάνω ἑαυτοῦ βάλῃ ἐνώπιον τοῦ Θεοῦ καὶ προσδοκήσῃ πειρασμὸν ἕως ἐσχάτης ἀναπνοῆς.

3. Εἶπε πάλιν· Εἶδον πάσας τὰς παγίδας τοῦ ἐχθροῦ ἡπλωμένας ἐπὶ τῆς γῆς καὶ στενάξας εἶπον· Τίς ἄρα παρέρχεται ταῦτα; Καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Ἡ ταπεινοφροσύνη.

1. Κρίματα: κρίσεις, αποφάσεις.
2. Ὁ ἀββᾶς Ποιμήν σ' αὐτή τήν συνάντηση μέ τόν ἀββᾶ Ἀντώνιο πρέπει



Περί ταπεινοφροσύνης



ἀββᾶς Ἀντώνιος* βυθίζοντας κάποια φορά βαθιά τή σκέψη του στοῦ Θεοῦ τά κρίματα[1] ζήτησε νά μάθει: «Κύριε, εἶπε, πῶς μερικοί ζοῦν λίγα χρόνια καί πεθαίνουν, ἐνῶ ἄλλοι φτάνουν στά βαθιά γεράματα; Γιατί κάποιοι ζοῦν μέσα στή φτώχεια καί ἄλλοι πλουτίζουν; Καί πῶς συμβαίνει ἄδικοι νά πλουτίζουν καί δίκαιοι ἄνθρωποι νά 'ναι φτωχοί;» Ἄκουσε τότε μιά φωνή νά τοῦ λέει: «Ἀντώνιε, τόν ἑαυτό σου πρόσεχε. Αὐτά εἶναι κρίματα Θεοῦ καί δέν σοῦ συμφέρει νά τά μάθεις».

2. Εἶπε ὁ ἀββᾶς Ἀντώνιος στόν ἀββᾶ Ποιμένα*[2] ὅτι ἡ σπουδαιότερη ἐργασία πού ἔχει νά κάνει ὁ ἄνθρωπος εἶναι νά ἀναλαμβάνει τήν εὐθύνη τῶν σφαλμάτων του ἐνώπιον τοῦ Θεοῦ καί νά ἀναμένει πειρασμό μέχρι τελευταίας του πνοῆς.

3. Εἶπε ἐπίσης: «Εἶδα ὅλες τίς παγίδες τοῦ διαβόλου ἁπλωμένες πάνω στή γῆ καί στενάζοντας εἶπα: Ποιός ἄραγε μπορεῖ νά τίς προσπεράσει αὐτές; Καί ἄκουσα μιά φωνή νά μοῦ λέει: Ἡ ταπεινοφροσύνη».

νά ἦταν μόλις ἔφηβος· διότι γεννήθηκε περί τό 340 καί ὁ Μ. Ἀντώνιος ἐκοιμήθη περί τό 356.

4. Εἶπε πάλιν· Οὐδεὶς ἀπείραστος δυνήσεται εἰσελθεῖν εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ.

5. Παρέβαλόν ποτε Γέροντες τῷ ἀββᾷ Ἀντωνίῳ. Καὶ ἦν ὁ ἀββᾶς Ἰωσὴφ μετ᾽ αὐτῶν. Καὶ θέλων ὁ Γέρων δοκιμάσαι αὐτοὺς προεβάλετο ἐκ τῆς Γραφῆς καὶ ἤρξατο ἐρωτᾶν ἀπὸ τῶν μικροτέρων τί ἐστι τὸ ῥῆμα τοῦτο, καὶ ἕκαστος ἔλεγε κατὰ τὴν ἰδίαν δύναμιν. Ὁ δὲ Γέρων ἑκάστῳ ἔλεγεν· Οὔπω εὗρες. Ὕστερον ὅλων λέγει τῷ ἀββᾷ Ἰωσήφ· Σὺ πῶς λέγεις εἶναι τὸν λόγον τοῦτον; Ἀποκρίνεται λέγων· Οὐκ οἶδα. Λέγει οὖν ὁ ἀββᾶς Ἀντώνιος· Πάντως ὁ ἀββᾶς Ἰωσὴφ εὗρε τὴν ὁδόν, ὅτι εἶπεν οὐκ οἶδα.

6. Τρεῖς τῶν Πατέρων εἶχον ἔθος κατ᾽ ἐνιαυτὸν ὑπάγειν πρὸς τὸν μακάριον Ἀντώνιον. Καὶ οἱ μὲν δύο ἠρώτων αὐτὸν περὶ λογισμῶν καὶ σωτηρίας ψυχῶν, ὁ δὲ εἷς πάντοτε ἐσιώπα μηδὲν ἐρωτῶν. Μετὰ δὲ πολὺν χρόνον λέγει αὐτῷ ὁ ἀββᾶς Ἀντώνιος· Ἰδοὺ τοσοῦτον χρόνον ἔχεις ἐρχόμενος ὧδε καὶ οὐδὲν ἐρωτᾷς με. Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ· Ἀρκεῖ μοι μόνον τὸ βλέπειν σε, πάτερ.

7. Ἐπέστησάν ποτε τῷ ἀββᾷ Ἀρσενίῳ οἱ δαίμονες ἐν τῷ κελλίῳ, θλίβοντες αὐτόν. Παραβαλόντες δὲ οἱ διακονοῦντες αὐτῷ καὶ στάντες ἔξω τῆς κέλλης ἤκουον αὐτοῦ βοῶντος πρὸς τὸν Θεὸν καὶ λέγοντος· Ὁ Θεός, μὴ ἐγκαταλίπῃς με· οὐδὲν ἐποίησα ἐνώπιόν σου ἀγαθόν, ἀλλὰ δός μοι κατὰ τὴν χρηστότητά σου βαλεῖν ἀρχήν.

8. Ἔλεγον περὶ αὐτοῦ ὅτι ὥσπερ οὐδεὶς τοῦ παλατίου

4. Ὅποιος δέν δοκιμάσθηκε σέ πειρασμούς –εἶπε ἄλλη φορά– δέν θά μπορέσει νά μπεῖ στή Βασιλεία τοῦ Θεοῦ.

5. Ἐπισκέφθηκαν κάποτε Γέροντες τόν ἀββᾶ Ἀντώνιο· μαζί τους ἦταν καί ὁ ἀββᾶς Ἰωσήφ. Θέλοντας ὁ Γέροντας νά τούς δοκιμάσει, τούς εἶπε ἕνα ρητό ἀπό τήν ἁγία Γραφή καί ἄρχισε ἀπό τούς νεώτερους νά τούς ρωτάει ποιό εἶναι τό νόημά του.

Ὁ καθένας ἔλεγε ὅπως τό καταλάβαινε, καί ὁ Γέροντας τοῦ ἀπαντοῦσε: «Δέν τό βρῆκες». Τελευταῖο ἀπ᾽ ὅλους ρώτησε τόν ἀββᾶ Ἰωσήφ: «Ἐσύ τί νομίζεις ὅτι σημαίνει ὁ λόγος αὐτός;» «Δέν γνωρίζω» ἀπάντησε ἐκεῖνος. Λέει τότε ὁ ἀββᾶς Ἀντώνιος: «Ὁπωσδήποτε ὁ ἀββᾶς Ἰωσήφ βρῆκε τόν δρόμο, γιατί εἶπε: δέν γνωρίζω».

6. Τρεῖς Πατέρες εἶχαν τή συνήθεια νά ἐπισκέπτονται κάθε χρόνο τόν μακαριστό Ἀντώνιο. Οἱ δύο τόν ρωτοῦσαν σχετικά μέ τούς λογισμούς καί τή σωτηρία τῆς ψυχῆς. Ὁ τρίτος ἔμενε σιωπηλός καί δέν ρωτοῦσε τίποτε. Μετά ἀπό πολύ χρονικό διάστημα, τοῦ λέει ὁ ἀββᾶς Ἀντώνιος: «Εἶναι τόσος καιρός πού ἔρχεσαι ἐδῶ καί δέν μέ ρωτᾶς τίποτε». «Μοῦ ἀρκεῖ –ἀπάντησε ἐκεῖνος– καί μόνο πού σέ βλέπω, πάτερ».

7. Ἔκαναν ἔφοδο κάποτε οἱ δαίμονες στόν ἀββᾶ Ἀρσένιο* μέσα στό κελί του καί τόν ταλαιπωροῦσαν. Ἔφθασαν κάποια στιγμή οἱ διακονητές του καί καθώς ἦσαν ἔξω ἀπό τό κελί, τόν ἄκουσαν νά κραυγάζει πρός τόν Θεό καί νά λέει: «Θεέ μου, μή μέ ἐγκαταλείψεις. Δέν ἔκανα τίποτε τό καλό ἐνώπιόν σου ἀλλά βοήθησέ με κατά τήν ἀγαθότητά σου νά βάλω ἀρχή».

8. Ἔλεγαν γι᾽ αὐτόν ὅτι, ὅταν ἦταν στό παλάτι, κανέ-

ἐφόρει βελτίονα αὐτοῦ ἐσθῆτα, οὕτως οὐδὲ ἐν τῇ Σκήτει εἰς τὴν ἐκκλησίαν εὐτελεστέραν τις αὐτοῦ ἐφόρεσεν.

9. Εἰπέ τις τῷ μακαρίῳ Ἀρσενίῳ· Πῶς ἡμεῖς ἀπὸ τοσαύτης σοφίας καὶ παιδεύσεως οὐδὲν ἔχομεν, οὗτοι δὲ οἱ ἄγροικοι καὶ Αἰγύπτιοι τοσαύτας ἀρετὰς κέκτηνται; Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀρσένιος· Ἡμεῖς ἀπὸ τῆς τοῦ κόσμου παιδεύσεως οὐδὲν ἔχομεν, οὗτοι δὲ οἱ ἄγροικοι καὶ Αἰγύπτιοι ἀπὸ τῶν ἰδίων πόνων ἐκτήσαντο τὰς ἀρετάς.

10. Ἐρωτῶντός ποτε τοῦ ἀββᾶ Ἀρσενίου τινὰ Γέροντα Αἰγύπτιον περὶ τῶν ἰδίων λογισμῶν, ἕτερος ἰδὼν αὐτὸν εἶπεν· Ἀρσένιε, πῶς τοσαύτην παίδευσιν ῥωμαϊκὴν καὶ ἑλληνικὴν ἐπιστάμενος τοῦτον τὸν ἄγροικον περὶ τῶν σῶν λογισμῶν ἐρωτᾷς; Ὁ δὲ εἶπε πρὸς αὐτόν· Τὴν μὲν ῥωμαϊκὴν καὶ ἑλληνικὴν ἐπίσταμαι παίδευσιν, τὸν δὲ ἀλφάβητον τοῦ ἀγροίκου τούτου οὔπω μεμάθηκα.

11. Ἔλεγεν ὁ ἀββᾶς Ἀρσένιος ὅτι ξένος μοναχὸς εἰς ἀλλοτρίαν χώραν μηδὲν μεσαζέτω καὶ ἀναπαύεται.

12. Ἔλεγον οἱ Γέροντες ὅτι ἐδόθη ποτὲ εἰς Σκῆτιν πρὸς ὀλίγα ἰσχάδια, καὶ ὡς μηδὲν ὄντα οὐκ ἀπέστειλαν τῷ ἀββᾷ Ἀρσενίῳ, ὡς μὴ ὕβριν πάθοι. Ὁ δὲ Γέρων ἀκούσας οὐκ ἦλθεν εἰς τὴν σύναξιν λέγων· Ἠφορίσατέ με τοῦ μὴ δοῦναί μοι τὴν εὐλογίαν ἣν ἔπεμψεν ὁ Θεὸς τοῖς ἀδελφοῖς, ἣν οὐκ

3. Ἄς μήν παρεμβαίνει σέ καμιά περίπτωση.

νας ἄνθρωπος τοῦ παλατιοῦ δέν φοροῦσε πολυτελέστερη ἐνδυμασία ἀπ' αὐτόν· ἔτσι καί στήν ἐκκλησία τῆς Σκήτης τώρα κανένας δέν φόρεσε πιό φτωχική ἐνδυμασία ἀπ' αὐτόν.

9. Εἶπε κάποιος στόν μακαριστό Ἀρσένιο: «Πῶς ἐμεῖς μετά ἀπό τόση σοφία καί παιδεία δέν ἀποκομίσαμε τίποτε, ἐνῶ αὐτοί οἱ χωριάτες καί μάλιστα Αἰγύπτιοι ἔχουν ἀποκτήσει τόσες ἀρετές;» Καί ὁ ἀββᾶς Ἀρσένιος τοῦ λέει: «Ἐμεῖς ἀπό τήν κοσμική παιδεία δέν ἀποκομίσαμε τίποτε, ἐνῶ αὐτοί οἱ χωριάτες καί Αἰγύπτιοι μέ τόν προσωπικό τους ἀγώνα ἀπέκτησαν τίς ἀρετές».

10. Κάποια φορά πού ὁ ἀββᾶς Ἀρσένιος συμβουλευόταν ἕναν Γέροντα Αἰγύπτιο γιά τούς λογισμούς του, τόν εἶδε ἕνας γνωστός του καί τοῦ λέει: «Ἀρσένιε, ἐσύ πού εἶσαι κάτοχος τόσο μεγάλης παιδείας ρωμαϊκῆς καί ἑλληνικῆς, αὐτόν τόν χωριάτη ρωτᾶς γιά τούς λογισμούς σου;» Καί ἐκεῖνος τοῦ εἶπε: «Τήν ρωμαϊκή βέβαια καί τήν ἑλληνική παιδεία τή γνωρίζω, ἀλλά τήν ἀλφαβήτα τοῦ χωριάτη αὐτοῦ δέν τήν ἔμαθα ἀκόμη».

11. Ἔλεγε ὁ ἀββᾶς Ἀρσένιος ὅτι μοναχός πού βρίσκεται σέ ξένη χώρα ἄς μήν κάνει τόν μεσολαβητή[3] ποτέ καί θά εἶναι ἀναπαυμένος.

12. Ἔλεγαν οἱ Γέροντες ὅτι κάποτε προσφέρθηκαν στούς ἀδελφούς τῆς Σκήτης ἀπό λίγα ξερά σύκα. Κι ἐπειδή ἡ προσφορά ἦταν μηδαμινή, δέν ἔστειλαν στόν Ἀρσένιο, γιά νά μήν τόν προσβάλουν. Ὁ Γέροντας ὅμως τό πληροφορήθηκε καί δέν πῆγε στή σύναξη λέγοντας: «Μέ ξεχωρίσατε μέ τό νά μή μοῦ δώσετε τήν εὐλογία πού ἔστειλε ὁ Θεός στούς ἀδελφούς, γιατί δέν ἤμουν ἄξιος νά τήν πάρω».

ἤμην ἄξιος λαβεῖν. Καὶ ἀκούσαντες πάντες ὠφελήθησαν εἰς τὴν ταπείνωσιν τοῦ Γέροντος. Καὶ ἀπελθὼν ὁ πρεσβύτερος ἀπήνεγκεν αὐτῷ τὰ ἰσχάδια καὶ ἤνεγκεν αὐτὸν εἰς τὴν σύναξιν μετὰ χαρᾶς.

13. Εἶπεν ὁ ἀββᾶς Δανιὴλ ὅτι ποτὲ ἦλθόν τινες ἀπὸ Ἀλεξανδρείας Πατέρες ἰδεῖν τὸν ἀββᾶν Ἀρσένιον. Καὶ ἦν εἷς ἐξ αὐτῶν θεῖος τοῦ παλαιοῦ Τιμοθέου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ λεγομένου ἀκτήμονος καὶ εἶχεν ἕνα ἐκ τῶν τεκναδέλφων αὐτοῦ. Εἶχε δὲ τότε ὁ Γέρων ἀσθένειαν καὶ οὐκ ἠθέλησεν ὑπαντῆσαι αὐτοῖς, ἵνα μὴ καὶ ἄλλοι ἔλθωσι καὶ παρενοχλήσωσιν αὐτόν. Ἦν δὲ τότε εἰς τὴν πέτραν τῆς Τρώης καὶ ἀνέκαμψαν λυπούμενοι.

Συνέβη δὲ ἐπίστασιν βαρβάρων γενέσθαι, καὶ ἐλθὼν ἔμεινεν ἐν τοῖς κάτω μέρεσι. Καὶ ἀκούσαντες πάλιν ἦλθον ἰδεῖν αὐτόν. Καὶ μετὰ χαρᾶς προσελάβετο αὐτούς. Καὶ λέγει αὐτῷ ὁ ἀδελφός, ὃς ἦν μετ᾽ αὐτῶν· Οὐκ οἶδας, ἀββᾶ, ὅτι ἤλθομεν παραβαλεῖν σοι εἰς Τρώην, καὶ οὐκ ἐδέξω ἡμᾶς; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ὑμεῖς ἐγεύσασθε ἄρτου καὶ ἐπίετε ὕδωρ· φύσει δὲ ἐγώ, τέκνον, οὔτε ἄρτου οὔτε ὕδατος ἐγευσάμην, οὔτε μὴν ἐκάθησα, κολάζων ἐμαυτόν, ἕως οὗ ἐδοκίμασα ὅτι ἐφθάσατε εἰς τὸν τόπον ὑμῶν, ὅτι δι᾽ ἐμὲ καὶ ὑμεῖς ἐσκύλετε· ἀλλὰ συγχωρήσατέ μοι, ἀδελφοί. Καὶ παρακληθέντες ἀνεχώρησαν.

14. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀρσενίου ὅτι ἀσθενήσαντος αὐτοῦ ποτε εἰς Σκῆτιν, ἀπῆλθεν ὁ πρεσβύτερος καὶ ἤνεγκεν

4. Ὁ ἱερεύς τῆς Σκήτης.
5. Τιμόθεος ἐπίσκοπος Ἀλεξανδρείας, ὁ ὁποῖος διαδέχθηκε ἀπό τό 379

Σάν τό ἄκουσαν, ὅλοι ὠφελήθηκαν ἀπό τήν ταπείνωση τοῦ Γέροντα. Πῆγε ἀμέσως καί τοῦ πρόσφερε ὁ πρεσβύτερος[4] τά ξερά σύκα καί τόν ὁδήγησε στή σύναξη μέ πολλή χαρά.

13. Εἶπε ὁ ἀββᾶς Δανιήλ* ὅτι κάποτε ἦρθαν ἀπό τήν Ἀλεξάνδρεια κάποιοι Πατέρες νά δοῦν τόν ἀββᾶ Ἀρσένιο. Ἕνας ἀπ᾽ αὐτούς ἦταν θεῖος τοῦ παλιοῦ Τιμοθέου[5], τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας, πού ἔφερε τό προσωνύμιο ἀκτήμων, καί εἶχε μαζί του ἕναν ἀπό τούς ἀνεψιούς αὐτοῦ. Συνέπεσε τότε ὁ Γέροντας νά βρίσκεται σέ κατάσταση ἀδυναμίας καί δέν θέλησε νά τούς συναντήσει, γιά νά μήν ἔλθουν καί ἄλλοι καί τόν ἐνοχλήσουν. Ἔμενε τότε στή σπηλιά τῆς Τρώης· καί ἐπέστρεψαν οἱ ἐπισκέπτες λυπημένοι.

Συνέβη τόν καιρό ἐκεῖνο ἐπιδρομή βαρβάρων· γι᾽ αὐτό ὁ Γέροντας ἔφυγε ἀπό κεῖ καί ἔμενε στά Κάτω μέρη[6]. Τό πληροφορήθηκαν οἱ Πατέρες καί πῆγαν πάλι νά τόν δοῦν· καί τούς δέχθηκε χαρούμενος. Τοῦ λέει τότε ὁ ἀδελφός πού τούς συνόδευε: «Δέν τό γνωρίζεις, ἀββᾶ, πού ἤλθαμε νά σέ δοῦμε στήν Τρώη καί δέν μᾶς δέχθηκες;» Καί ἀπάντησε ὁ Γέροντας: «Ἐσεῖς φάγατε ψωμί καί ἤπιατε νερό· ἀλήθεια σας λέω, παιδί μου, ἐγώ οὔτε ψωμί ἔβαλα στό στόμα μου οὔτε νερό, οὔτε κάθησα τιμωρώντας τόν ἑαυτό μου, ἑωσότου βεβαιώθηκα ὅτι φθάσατε στόν τόπο σας· γιατί ἐξαιτίας μου καί σεῖς κακοπαθήσατε. Παρακαλῶ, ἀδελφοί μου, συγχωρῆστε με». Ἔφυγαν κατόπιν παρηγορημένοι.

14. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀρσένιο ὅτι, ὅταν βρισκόταν στή Σκήτη, ἀρρώστησε κάποια φορά καί πῆγε ὁ ἱερέας καί

ἀδελφό του Πέτρο, ἐπί αὐτοκράτορος Οὐάλεντος.
6. Κάτω μέρη - Κάνωπος ἤ Κάνωβος, βλ. Μ. Γερ. τ. Α΄, σελ. 248.

αὐτὸν εἰς τὴν ἐκκλησίαν· καὶ ἔθηκεν αὐτὸν εἰς χαράδριον καὶ μικρὸν προσκεφάλαιον πρὸς τῇ κεφαλῇ αὐτοῦ. Καὶ ἰδοὺ εἷς τῶν Γερόντων ἐλθὼν ἐπισκέψασθαι αὐτὸν καὶ ἰδὼν αὐτὸν εἰς τὸ χαράδριον, καὶ τὸ προσκεφάλαιον ὑποκάτω αὐτοῦ, ἐσκανδαλίσθη λέγων· Οὗτός ἐστιν ὁ ἀββᾶς Ἀρσένιος καὶ εἰς ταῦτα ἀνάκειται;

Λαβὼν δὲ αὐτὸν ὁ πρεσβύτερος κατ᾽ ἰδίαν λέγει αὐτῷ· Τί ἦν τὸ ἔργον σου ἐν τῇ κώμῃ σου; Ὁ δὲ εἶπε· Ποιμὴν ἤμην. Πῶς οὖν, φησί, διῆγες τὸν βίον σου; Ὁ δὲ ἔφη· Ἐν πολλῷ κόπῳ διῆγον αὐτόν. Καὶ λέγει αὐτῷ· Νῦν οὖν πῶς διάγεις ἐν τῷ κελλίῳ; Λέγει αὐτῷ· Μᾶλλον ἀναπαύομαι. Καὶ ἔφη αὐτῷ ὁ Γέρων· Βλέπεις τοῦτον τὸν ἀββᾶν Ἀρσένιον; Πατὴρ βασιλέων ὑπῆρχεν ἐν τῷ κόσμῳ, καὶ χίλιοι δοῦλοι χρυσόζωνοι καὶ ὅλοι μανιάκια καὶ ὁλοσήρικα φοροῦντες παρειστήκεσαν αὐτῷ, πολύτιμα δὲ στρώματα ὑποκάτω αὐτοῦ ἦν. Σὺ δὲ ποιμὴν ὢν οὐκ εἶχες ἐν τῷ κόσμῳ ἣν νῦν ἔχεις ἀνάπαυσιν. Καὶ οὗτος τὴν τρυφὴν ἣν εἶχεν ἐν τῷ κόσμῳ, ὧδε οὐκ ἔχει. Ἰδοὺ οὖν σὺ ἀναπαύῃ, κἀκεῖνος θλίβεται.

Ὁ δὲ ἀκούσας ταῦτα κατενύγη καὶ ἔβαλε μετάνοιαν λέγων· Συγχώρησόν μοι, ἀββᾶ, ἡμάρτηκα· ἀληθῶς αὕτη ἐστὶν ἡ ἀληθινὴ ὁδός, ὅτι οὗτος ἦλθεν εἰς ταπείνωσιν, ἐγὼ δὲ εἰς ἀνάπαυσιν.

15. Ἔλεγεν ὁ ἀββᾶς Δανιὴλ ὅτι μέλλων τελευτᾶν ὁ ἀββᾶς Ἀρσένιος παρήγγειλεν ἡμῖν λέγων· Μὴ φροντίσητε

7. Γνωστή ἡ προσωνυμία βασιλοπάτωρ πού τοῦ ἀπέδιδε γενικότερα τό ἀνακτορικό περιβάλλον. Ἔκφραση τιμῆς, σεβασμοῦ καί ἀγάπης στήν χαρισματική του προσωπικότητα, ἀρχῆς γενομένης ἀπό τόν αὐτοκράτορα Θεοδόσιο τόν Μέγα, πατέρα τῶν Ἀρκαδίου καί Ὀνωρίου, ὅταν ἀνέθετε τήν μόρφωση καί ἀγωγή τῶν παιδιῶν του στόν Ἅγιο Ἀρσένιο. Βλ. Μέγα Συναξαριστή Ι σελ. 195, καί Μ. Γερ. τ. Α΄, σελ. 443-4.

τόν ἔφερε στή σύναξη. Τόν ἔβαλε νά ξαπλώσει πάνω σέ κουρελοῦ καί ἕνα μαξιλαράκι στό κεφάλι. Καί νά, ἔρχεται κάποιος ἀπό τούς Γέροντες νά τόν ἐπισκεφθεῖ· ἀλλά σάν τόν εἶδε πάνω στήν κουρελοῦ καί μέ μαξιλάρι στό κεφάλι, σκανδαλίσθηκε καί εἶπε: «Αὐτός λοιπόν εἶναι ὁ ἀββᾶς Ἀρσένιος καί ξαπλώνει πάνω σέ στρωσίδια;»

Τόν πῆρε τότε παράμερα ὁ πρεσβύτερος καί τοῦ λέει: «Τί δουλειά ἔκανες στό χωριό σου;»

– Βοσκός ἤμουν.
– Καί πῶς τά οἰκονομοῦσες;
– Μέ πολύ κόπο.
– Τώρα πῶς τά περνᾶς στό κελί;
– Βρῆκα ἀνάπαυση.

Τοῦ λέει τότε ὁ Γέροντας: «Βλέπεις αὐτόν τόν ἀββᾶ Ἀρσένιο; Ἦταν βασιλοπάτορας[7] στήν κατά κόσμον ζωή του καί χίλιοι ὑπηρέτες μέ χρυσές ζῶνες καί περιβραχιόνια καί ὁλομέταξα φορέματα τόν παρέστεκαν. Καί σέ πολύτιμα στρωσίδια ξάπλωνε. Ἐνῶ ἐσύ βοσκός ἤσουν καί δέν εἶχες στόν κόσμο τήν ἀνάπαυση πού ἔχεις τώρα στό κελί σου. Αὐτός τήν καλοπέραση πού εἶχε στόν κόσμο, ἐδῶ δέν τήν ἔχει. Νά λοιπόν πού ἐσύ καλοπερνᾶς καί ἐκεῖνος ταλαιπωρεῖται».

Κατανύχθηκε ὁ ἀδελφός ἀκούγοντάς τα καί ἔβαλε μετάνοια λέγοντας: «Συγχώρεσέ με, ἀββᾶ, ἁμάρτησα. Πράγματι αὐτός εἶναι ὁ γνήσιος δρόμος τῆς μοναχικῆς ζωῆς, τό ὅτι αὐτός ἦρθε στή στέρηση· ἐνῶ ἐγώ στή βόλεψη».

15. Ἔλεγε ὁ ἀββᾶς Δανιήλ γιά τόν ἀββᾶ Ἀρσένιο ὅτι, ὅταν πλησίαζε ἡ ὥρα τοῦ θανάτου, μᾶς παρήγγειλε: «Μή

ποιεῖν ἀγάπας ὑπὲρ ἐμοῦ· ἐγὼ γὰρ εἰ ἐποίησα ἐμαυτῷ ἀγάπην, ταύτην ἔχω εὑρεῖν.

16. Μέλλοντος τελευτᾶν τοῦ ἀββᾶ Ἀρσενίου, ἐταράχθησαν οἱ μαθηταὶ αὐτοῦ. Καὶ λέγει αὐτοῖς· οὔπω ἦλθεν ἡ ὥρα· ὅτε δὲ ἔλθῃ ἡ ὥρα, λέγω ὑμῖν· κριθῆναι δὲ ἔχω μεθ' ὑμῶν ἐπὶ τοῦ βήματος τοῦ φοβεροῦ, ἐὰν δῶτε τὸ λείψανόν μου τινί. Οἱ δὲ εἶπον· Τί οὖν ποιήσωμεν, ὅτι οὐκ οἴδαμεν ἐνταφιάσαι; Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Οὐκ οἴδατε βαλεῖν σχοινίον εἰς τὸν πόδα μου καὶ ἆραί με εἰς τὸ ὄρος;

17. Οὗτος δὲ ὁ λόγος τοῦ Γέροντος ἦν· Ἀρσένιε, δι' ὃ ἐξῆλθες; Λαλήσας γὰρ πολλάκις μετεμελήθην· σιωπήσας δὲ οὐδέποτε.

18. Ὡς δ' ἐγγὺς ἦν τοῦ τελευτᾶν, εἶδον αὐτὸν τὸν ἀββᾶν Ἀρσένιον οἱ ἀδελφοὶ κλαίοντα καὶ λέγουσιν αὐτῷ· Ἐν ἀληθείᾳ καὶ σὺ φοβῇ, πάτερ; Καὶ εἶπεν αὐτοῖς· Ἐν ἀληθείᾳ ὁ φόβος ὁ νῦν μετ' ἐμοῦ ὢν ἐν τῇ ὥρᾳ ταύτῃ, μετ' ἐμοῦ ἐστιν, ἀφοῦ ἐγενόμην μοναχός. Καὶ οὕτως ἐκοιμήθη. Ἔλεγον δὲ ὅτι ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτοῦ καθεζόμενος εἰς τὸ ἐργόχειρον αὐτοῦ ῥάκος εἶχεν εἰς τὸν κόλπον αὐτοῦ χάριν τῶν δακρύων τῶν πιπτόντων ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ.

Ἀκούσας δὲ ὁ ἀββᾶς Ποιμὴν ὅτι ἐκοιμήθη, δακρύσας εἶπε· Μακάριος εἶ, ἀββᾶ Ἀρσένιε, ὅτι ἔκλαυσας σαυτὸν εἰς τὸν ὧδε κόσμον· ὁ γὰρ μὴ κλαίων ἑαυτὸν ὧδε, αἰωνίως ἐκεῖ κλαύσεται· εἴτε οὖν ὧδε ἑκὼν εἴτε ἐκεῖ ἀπὸ βασάνων, ἀδύνατον μὴ κλαῦσαι.

φροντίσετε νά κάνετε τραπεζώματα γιά τήν ψυχή μου. Γιατί ἄν ἔκανα ἐγώ γιά λογαριασμό μου ἔργα ἀγάπης, αὐτά θά βρῶ».

16. Ὅταν ἦταν στά τελευταῖα του ὁ Ἀρσένιος, οἱ μαθητές του ἀνησύχησαν πολύ· καί τούς λέει ὁ ἀββᾶς: «Δέν ἦρθε ἀκόμη ἡ ὥρα· ὅταν ἔρθει θά σᾶς τό πῶ. Καί θά ζητήσω τόν λόγο ἀπό σᾶς τήν ὥρα τοῦ φοβεροῦ κριτηρίου, ἐάν δώσετε σέ κανέναν τό νεκρό σῶμα μου». Κι ἐκεῖνοι εἶπαν: «Τί νά κάνουμε ὅμως πού δέν ξέρουμε πῶς γίνεται ἡ ταφή;»

«Δέν ξέρετε –τούς λέει ὁ Γέροντας– νά δέσετε ἕνα σχοινί στό πόδι μου καί νά μέ πετάξετε στό βουνό;»

17. Τοῦτον τόν λόγο συνήθιζε ὁ Γέροντας νά λέει: «Ἀρσένιε, γιά ποιόν λόγο ἔφυγες ἀπό τόν κόσμο;»

Ἐπίσης ἔλεγε: «Πολλές φορές μετάνιωσα γιατί μίλησα, ἐνῶ ποτέ (δέν μετάνιωσα) γιατί σιώπησα».

18. Ὅταν πλησίαζε ἡ ὥρα τοῦ θανάτου του, τόν εἶδαν οἱ ἀδελφοί νά κλαίει καί τοῦ λένε: «Ἀλήθεια, πάτερ, κι ἐσύ φοβᾶσαι;» «Ἀλήθεια –τούς λέει– ὁ φόβος πού ἔχω αὐτή τήν ὥρα μέ συνοδεύει ἀπό τότε πού ἔγινα μοναχός» καί ἔτσι ἐξέπνευσε. Ἔλεγαν μάλιστα ὅτι σ' ὅλη του τή ζωή, ὅταν καθόταν νά κάνει ἐργόχειρο, εἶχε ἕνα κουρέλι στήν ἀγκαλιά του γιά τά δάκρυα πού ἔπεφταν ἀπό τά μάτια του.

Ἄκουσε ὁ ἀββᾶς Ποιμήν ὅτι πέθανε καί δακρύζοντας εἶπε: «Μακάριος εἶσαι, ἀββᾶ Ἀρσένιε, γιατί ἔκλαυσες τόν ἑαυτό σου σ' αὐτόν τόν κόσμο. Ὅποιος δέν κλαίει τόν ἑαυτό του ἐδῶ, θά τόν κλαίει ἐκεῖ αἰώνια. Εἴτε λοιπόν ἐδῶ ἑκούσια εἴτε ἐκεῖ ἀπό τά βάσανα τῆς κόλασης, εἶναι ἀδύνατο νά μήν κλαύσει κανείς».

19. Διηγήσατο δὲ ὁ ἀββᾶς Δανιὴλ ὅτι οὐδέποτε ἤθελε λαλεῖν τι ζήτημα ἐκ τῆς Γραφῆς, καίπερ δυνάμενος λαλῆσαι, εἰ ἤθελεν. Ἀλλ' οὐδὲ ἐπιστολὴν ταχέως ἔγραφεν. Ὅτε δὲ ἤρχετο εἰς τὴν ἐκκλησίαν διὰ χρόνου, ὀπίσω τοῦ στύλου ἐκαθέζετο, ἵνα μηδεὶς ἴδῃ τὸ πρόσωπον αὐτοῦ, μηδὲ αὐτὸς ἄλλῳ πρόσχῃ. Ἦν δὲ τὸ εἶδος αὐτοῦ ἀγγελικόν, ὥσπερ τοῦ Ἰακώβ· ὁλοπόλιος, ἀστεῖος τῷ σώματι, ξηρὸς δὲ ὑπῆρχεν. Εἶχε δὲ τὸν πώγωνα μέγαν φθάνοντα ἕως τῆς κοιλίας. Αἱ δὲ τρίχες τῶν ὀφθαλμῶν αὐτοῦ ἔπεσον ἀπὸ τοῦ κλαυθμοῦ. Μακρὸς δὲ ἦν, ἀλλ' ἐκυρτώθη ἀπὸ τοῦ γήρως. Ἐγένετο δὲ ἐτῶν ἐνενήκοντα πέντε.

Ἐποίησε δὲ εἰς τὸ παλάτιον τοῦ τῆς θείας μνήμης Θεοδοσίου τοῦ Μεγάλου ἔτη εἴκοσι, πατὴρ γενόμενος τῶν θειοτάτων Ὀνωρίου καὶ Ἀρκαδίου· καὶ ἐν τῇ Σκήτει ἐποίησεν ἔτη τεσσαράκοντα καὶ δέκα εἰς Τρώην τῆς Ἄνω Βαβυλῶνος κατέναντι Μέμφεως· καὶ τρία ἔτη εἰς τὸν Κάνωβον Ἀλεξανδρείας· καὶ τὰ ἄλλα δύο ἔτη ἦλθε πάλιν εἰς Τρώην καὶ ἐκεῖ ἐκοιμήθη, τελέσας ἐν εἰρήνῃ καὶ ἐν φόβῳ Θεοῦ τὸν δρόμον αὐτοῦ. Ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος Ἁγίου καὶ πίστεως.

Κατέλιπε δέ μοι τὸν χιτῶνα αὐτοῦ τὸν δερμάτινον καὶ τρίχινον καμίσιν λευκὸν καὶ σανδάλια σεβένινα. Καὶ ἐγὼ ὁ ἀνάξιος ἐφόρεσα αὐτά, ἵνα εὐλογηθῶ.

20. Διηγήσατο πάλιν ὁ ἀββᾶς Δανιὴλ περὶ τοῦ ἀββᾶ Ἀρσενίου ὅτι ποτὲ ἐκάλεσε τοὺς πατέρας μου, τόν τε ἀββᾶν

8. Βλ. Μ. Γερ. τ. Α', σελ. 443.

9. Ἄνω Βαβυλών: Ἀρχαία πόλη τῆς Αἰγύπτου πού ἵδρυσαν οἱ Ἕλληνες στά βόρεια τῆς Μέμφιδος, ἀκριβῶς πάνω ἀπό τήν περιοχή πού ἄρχιζε ἡ διώρυγα τοῦ Νείλου στήν Ἐρυθρά Θάλασσα.

10. Μέμφις: Πρωτεύουσα τῆς ἀρχαίας Αἰγύπτου στά νότια τοῦ Δέλτα τοῦ Νείλου καί στή δυτική του ὄχθη. Οἱ νεκροπόλεις τῆς Μέμφιδος, μέ τίς περί-

19. Ἔχει πεῖ ὁ ἀββᾶς Δανιήλ ὅτι ὁ Ἀρσένιος ποτέ δέν ἤθελε νά μιλάει γιά κάποιο θέμα ἀπό τή Γραφή, ἄν καί εἶχε τή δυνατότητα νά μιλήσει, ἐάν ἤθελε. Οὔτε καί ἐπιστολή ἔγραφε ἀμέσως. Καί ὅταν ἐρχόταν στήν ἐκκλησία σέ ἀραιά χρονικά διαστήματα, καθόταν πίσω ἀπό τόν στύλο, γιά νά μή δεῖ κανείς τό πρόσωπό του, οὔτε καί ὁ ἴδιος νά δεῖ ἄλλον. Ἡ μορφή του ἦταν ἀγγελική σάν τοῦ Ἰακώβ, ολόλευκος, κομψός στό παράστημα, ἀλλά ξερακιανός. Εἶχε μακριά γένια πού ἔφθαναν ὥς τή μέση του. Τά ματοτσίνορα εἶχαν πέσει ἀπό τά δάκρυα. Ἦταν ψηλός ἀλλά κύρτωσε ἀπό τό γῆρας. Ἔφθασε στά ἐνενηνταπέντε του χρόνια.

Ἔκανε στό παλάτι τοῦ Θεοδοσίου τοῦ Μεγάλου –ἱερή ἡ μνήμη του– εἴκοσι χρόνια, ὡς ἄλλος "πατέρας" τῶν ὑψηλοτάτων βασιλοπαίδων Ὀνωρίου καί Ἀρκαδίου. Σαράντα χρόνια ἔκανε στή Σκήτη, δέκα στήν Τρώη[8] τῆς Ἄνω Βαβυλῶνος[9] ἀπέναντι ἀπό τήν Μέμφη[10]· τρία χρόνια στόν Κάνωπο τῆς Ἀλεξανδρείας καί τά ἄλλα δύο χρόνια ἦρθε πάλι στήν Τρώη καί ἐκεῖ ἐκοιμήθη, ἀφοῦ διήνυσε εἰρηνικά καί μέ φόβο Θεοῦ τόν δρόμο του. Γιατί ἦταν καλός ἄνθρωπος καί πλήρης Πνεύματος Ἁγίου καί πίστεως.

Ἄφησε σέ μένα τόν χιτώνα του τόν δερμάτινο καί ἕναν ἄλλο τρίχινο χιτώνα λευκό καί σανδάλια σεβένινα[11]. Κι ἐγώ ὁ ἀνάξιος τά φόρεσα γιά νά εὐλογηθῶ.

20. Διηγήθηκε ἐπίσης ὁ ἀββᾶς Δανιήλ γιά τόν ἀββᾶ Ἀρσένιο τά ἑξῆς: «Κάποτε κάλεσε τόν ἀββᾶ Ἀλέξανδρο

φημες πυραμίδες τῆς Αἰγύπτου καί τή Μεγάλη Σφίγγα, βρίσκονται σέ στενή σχέση μέ τήν πόλη αὐτή. Καταστράφηκε τό 640 μ.Χ. ἀπό τούς Ἄραβες.

11. Σεβένινα: σέβινο ἤ σίβινο ἦταν ἶνες ἀπό φύλλα φοινικιᾶς πού κατασκεύαζαν σχοινιά, ψάθες, σκοῦπες, ἀλλά καί ἐνδύματα ἤ ὑποδήματα. Τά σεβένινα ἐνδύματα ἦταν πολύ τραχιά καί τά χρησιμοποιοῦσαν οἱ μοναχοί γιά ἄσκηση.

Ἀλέξανδρον καὶ Ζωΐλον. Καὶ ταπεινῶν ἑαυτὸν εἶπεν αὐτοῖς· Ἐπειδὴ οἱ δαίμονες πολεμοῦσί με καὶ οὐκ οἶδα εἰ κλέπτουσί με ἐν ὕπνῳ, τὴν νύκτα ταύτην κοπιάσατε μετ᾽ ἐμοῦ καὶ τηρήσατέ με, εἰ νυστάξω ἐν τῇ ἀγρυπνίᾳ.

Καὶ ἐκάθισεν εἷς ἐκ δεξιῶν αὐτοῦ καὶ εἷς ἐξ εὐωνύμων ἀπὸ ὀψέ, σιωπῶντες. Καὶ εἶπον οἱ Πατέρες μου ὅτι· Ἡμεῖς ἐκοιμήθημεν καὶ ἀνέστημεν καὶ οὐκ ᾐσθάνθημεν αὐτὸν νυστάξαντα· καὶ ἐπὶ τῷ πρωὶ –ὁ Θεὸς οἶδεν εἰ ἀφ᾽ ἑαυτοῦ ἐποίησεν, ἵνα νοήσωμεν ὅτι ἐνύσταξεν ἢ κατὰ ἀλήθειαν ἡ φύσις τοῦ ὕπνου ἦλθεν– ἐφύσησε τρεῖς πνοὰς καὶ εὐθέως ἀνέστη λέγων· Ἐνύσταξα, ναί; Καὶ ἀπεκρίθημεν ἡμεῖς· Οὐκ οἴδαμεν.

21. Ὁ ἀββᾶς Ἀγάθων μέλλων τελευτᾶν ἔμεινε τρεῖς ἡμέρας ἀνεῳγμένους ἔχων τοὺς ὀφθαλμοὺς καὶ μὴ κινουμένους. Ἔνυξαν δὲ αὐτὸν οἱ ἀδελφοὶ λέγοντες· Ἀββᾶ Ἀγάθων, ποῦ εἶ; Λέγει αὐτοῖς· Ἐνώπιον τοῦ κριτηρίου τοῦ Θεοῦ ἵσταμαι. Λέγουσιν αὐτῷ· Καὶ σὺ φοβῇ, πάτερ; Λέγει αὐτοῖς· Τέως ἐποίησα τὴν δύναμίν μου εἰς τὸ φυλάξαι τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀλλ᾽ ἄνθρωπός εἰμι. Πόθεν οἶδα, εἰ τὸ ἔργον μου ἤρεσε τῷ Θεῷ; Λέγουσιν αὐτῷ οἱ ἀδελφοί· Οὐκ εἶ πεποιθὼς ἐπὶ τῷ ἔργῳ σου ὅτι κατὰ Θεόν ἐστι; Λέγει ὁ Γέρων· Οὐ θαρρῶ, εἰ μὴ τῷ Θεῷ ἀπαντήσω· ἕτερον γάρ ἐστι τὸ τοῦ Θεοῦ κριτήριον καὶ ἕτερον τὸ τῶν ἀνθρώπων.

Ὡς δὲ ἤθελον ἐρωτᾶν αὐτὸν ἕτερον λόγον, λέγει αὐτοῖς· Ποιήσατε ἀγάπην, μὴ λαλεῖτε μετ᾽ ἐμοῦ ἄρτι, ὅτι ἀσχολοῦμαι. Καὶ ἐτελειώθη ἐν χαρᾷ. Ἑώρων γὰρ αὐτὸν ἀναγόμενον, ὃν τρόπον ἀσπάζεταί τις τοὺς ἑαυτοῦ φίλους καὶ ἀγαπητούς.

καί τόν ἀββᾶ Ζωίλο, τούς Πατέρες μου, καί ταπεινώνοντας τόν ἑαυτό του τούς εἶπε: "Ἐπειδή οἱ δαίμονες μέ πολεμοῦν καί δέν ξέρω μήπως μέ κλέψουν στόν ὕπνο, κοπιάστε τή νύκτα αὐτή μαζί μου καί φυλάξτε με μή νυστάξω στήν ἀγρυπνία".

Κάθισαν πράγματι ἀποβραδύς σιωπηλοί ὁ ἕνας ἀπ᾽ τά δεξιά καί ὁ ἄλλος ἀπ᾽ τά ἀριστερά. Καί εἶπαν οἱ Πατέρες μου: "Ἐμεῖς κοιμηθήκαμε καί ξυπνήσαμε καί δέν τόν ἀντιληφθήκαμε νά νυστάξει". Καί ὅταν ξημέρωσε –ὁ Θεός γνωρίζει ἐάν ἦταν φτιαχτό αὐτό πού ἔκανε, γιά νά νομίσουμε ὅτι νύσταξε, ἤ ἐάν πραγματικά ἦρθε ὁ φυσικός ὕπνος– ἔβγαλε τρεῖς ἀναπνοές καί ἀμέσως σηκώθηκε λέγοντας: Νύσταξα, ναί; Κι ἐμεῖς τοῦ εἴπαμε: Δέν ξέρουμε».

21. Ὁ ἀββᾶς Ἀγάθων* ὅταν ἦταν στά τελευταῖα του, ἔμεινε τρεῖς μέρες μέ ἀνοιχτά τά μάτια καί ἀκίνητος. Κάποια στιγμή τόν κούνησαν λίγο οἱ ἀδελφοί λέγοντας: «Ἀββᾶ Ἀγάθων, ποῦ βρίσκεσαι;» «Στέκομαι μπροστά στό κριτήριο τοῦ Θεοῦ» τούς εἶπε. Καί τόν ρωτοῦν «Καί σύ φοβᾶσαι, πάτερ;» «Μέχρι τώρα –τούς ἀποκρίθηκε– φρόντισα ὅσο μποροῦσα νά φυλάξω τίς ἐντολές τοῦ Θεοῦ, ἀλλά ἄνθρωπος εἶμαι. Πῶς νά ξέρω ἄν ἡ ἐργασία μου ἄρεσε στόν Θεό;» «Δέν εἶσαι σίγουρος –τόν ρωτοῦν οἱ ἀδελφοί– γιά τήν ἐργασία σου ὅτι ἦταν σύμφωνη μέ τό θέλημα τοῦ Θεοῦ;» «Δέν μπορῶ νά ξεθαρρέψω, παρά μόνο ἄν συναντήσω τόν Θεό. Ἄλλο εἶναι τό κριτήριο τοῦ Θεοῦ καί ἄλλο τῶν ἀνθρώπων».

Καί ἐπειδή ἤθελαν νά τοῦ ρωτήσουν καί ἄλλα, τούς εἶπε: «Κάντε ἀγάπη καί μή μοῦ μιλᾶτε αὐτήν τήν ὥρα, γιατί εἶμαι ἀπασχολημένος». Καί "ἐτελειώθη" χαρούμενος. Γιατί τόν ἔβλεπαν νά φεύγει ὅπως ὅταν ὑποδέχεται κανείς φιλικά καί ἀγαπημένα του πρόσωπα.

22. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀμμωνᾶ ὅτι τινὲς ἦλθον δικασθῆναι παρ' αὐτῷ. Ὁ δὲ Γέρων ἐμωροποίει. Καὶ ἰδοὺ γυνή τις ἔστη πλησίον αὐτοῦ καὶ ἔλεγεν· Οὗτος ὁ Γέρων σαλός ἐστιν. Ἤκουσεν οὖν αὐτῆς ὁ Γέρων καὶ φωνήσας αὐτὴν λέγει· Πόσους κόπους ἐποίησα ἐν τῇ ἐρήμῳ, ἵνα κτήσωμαι τὴν σαλότητα ταύτην καὶ διὰ σὲ ἔχω ἀπολέσαι αὐτὴν σήμερον.

23. Ἠρωτήθη ὁ ἀββᾶς Ἀμμωνᾶς τί ἐστιν ἡ στενὴ ὁδὸς καὶ τεθλιμμένη. Καὶ ἀποκριθεὶς εἶπεν· Ἡ στενὴ ὁδὸς καὶ τεθλιμμένη αὕτη ἐστίν, τὸ βιάζεσθαι τοὺς λογισμοὺς ἑαυτοῦ καὶ κόπτειν διὰ τὸν Θεὸν τὰ ἴδια θελήματα· καὶ τοῦτό ἐστι τό· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι.

24. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Ἀμμώῃ καὶ εἶπεν αὐτῷ· Ἀββᾶ, εἰπέ μοι λόγον. Καὶ μείνας παρ' αὐτῷ ἡμέρας ἑπτά, οὐκ ἀπεκρίθη αὐτῷ ὁ Γέρων. Καὶ προπέμπων αὐτὸν εἶπεν αὐτῷ· Ἀπελθὼν πρόσεχε σεαυτῷ· ἐμοῦ τέως αἱ ἁμαρτίαι γεγόνασι τεῖχος σκοτεινὸν ἀναμέσον ἐμοῦ καὶ τοῦ Θεοῦ.

25. Διηγήσατο ὁ ἀββᾶς Ἰωάννης ὅτι ὁ ἀββᾶς Ἀνοὺβ καὶ ὁ ἀββᾶς Ποιμὴν καὶ οἱ λοιποὶ ἀδελφοὶ αὐτῶν, ἐκ μιᾶς κοιλίας ὄντες καὶ μοναχοὶ ἐν τῇ Σκήτει γενόμενοι, ὅτε ἦλθον ἐκεῖ οἱ Μάζικες καὶ ἠρήμωσαν αὐτὴν τὸ πρῶτον, ἀνεχώρησαν ἐκεῖθεν καὶ ἦλθον εἰς τόπον καλούμενον Τερενοῦθιν,

12. Σαλός-ότης: Βλ. Μ. Γερ. τ. Β', σελ. 420, ὑποσημ. 4.
13. Ματθ. 7, 14. 14. Ματθ. 19, 27.
15. Ὁ Ἀνούβ ἦταν ὁ πρωτότοκος ἀπό τά ἑπτά ἀδέλφια τοῦ Ποιμένος.

22. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀμμωνᾶ* ὅτι πῆγαν κάποιοι σ' αὐτόν γιά νά τούς λύσει τή διαφορά. Ὁ Γέροντας παρίστανε τόν τρελό. Καί ξαφνικά παρουσιάστηκε μιά γυναίκα ἡ ὁποία στάθηκε κοντά του καί ἔλεγε: «Αὐτός ὁ Γέροντας εἶναι σαλός[12]». Τήν ἄκουσε ὁ Γέροντας, τήν φώναξε καί τῆς εἶπε: «Πόσους κόπους ἔκανα στήν ἔρημο, γιά ν' ἀποκτήσω τή σαλότητα αὐτή καί ἐξαιτίας σου θά κινδυνεύσω νά τήν χάσω σήμερα».

23. Ρωτήθηκε ὁ ἀββᾶς Ἀμμωνᾶς τί εἶναι "ἡ στενὴ καὶ τεθλιμμένη ὁδός"[13]. Καί ἀποκρίθηκε: «Ἡ στενή καί τεθλιμμένη ὁδός εἶναι νά πολεμάει ὁ ἄνθρωπος τούς λογισμούς του καί νά κόβει τά δικά του θελήματα ἀπό ἀγάπη γιά τόν Θεό. Καί αὐτό σημαίνει τό ρητό: Ἐγκαταλείψαμε ἐμεῖς τά πάντα καί σέ ἀκολουθήσαμε[14]».

24. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι κάποιος ἀδελφός ἐπισκέφθηκε τόν ἀββᾶ Ἀμμώη καί τοῦ εἶπε: «Ἀββᾶ, πές μου ἕναν λόγο». Ἔμεινε κοντά του ἑφτά μέρες καί δέν τοῦ εἶπε τίποτε ὁ Γέροντας. Ξεπροβοδίζοντάς τον τοῦ εἶπε μόνο: «Πήγαινε καί πρόσεχε τόν ἑαυτό σου. Οἱ δικές μου ἁμαρτίες μέχρι τώρα ἔχουν γίνει τεῖχος σκοτεινό ἀνάμεσα σέ μένα καί στόν Θεό».

25. Διηγήθηκε ὁ ἀββᾶς Ἰωάννης ὅτι ὁ ἀββᾶς Ἀνούβ* καί ὁ ἀββᾶς Ποιμήν καί οἱ ἄλλοι κατά σάρκα ἀδελφοί τους[15], οἱ ὁποῖοι ἔγιναν μοναχοί στή Σκήτη, ὅταν ἔφθασαν ἐκεῖ οἱ Μάζικες καί τήν ἐρήμωσαν τήν πρώτη φορά, ἔφυγαν ἀπό κεῖ καί πῆγαν σ' ἕνα τόπο πού τόν ἔλεγαν Τερενούθη[16],

16. Τερενούθη: Πόλη στίς ὄχθες τοῦ δυτικοῦ βραχίονα τοῦ Νείλου, ἀπ' ὅπου ἦταν εὐκολότερη ἡ μετάβαση στή Σκήτη.

ἕως οὗ σκοπήσουσι ποῦ ὀφείλουσιν εἶναι. Καὶ ἔμειναν ἐκεῖ εἰς παλαιὸν ἱερὸν μικρὰς ἡμέρας. Εἶπε δὲ ὁ ἀββᾶς Ἀνοὺβ τῷ ἀββᾷ Ποιμένι· Ποίησον ἀγάπην σὺ καὶ οἱ ἀδελφοί σου· ἕκαστος κατὰ μόνας ἡσυχάσῃ καὶ μὴ ἀπαντήσωμεν ἀλλήλοις τὴν ἑβδομάδα ταύτην. Καὶ εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ὡς θέλεις, ποιοῦμεν. Καὶ ἐποίησαν οὕτως. Ἦν δὲ ἐκεῖ ἄγαλμα λίθινον ἐν αὐτῷ τῷ ἱερῷ. Καὶ ἠγείρετο ὁ Γέρων ὁ ἀββᾶς Ἀνοὺβ κατὰ πρωὶ καὶ ἐλιθοβόλει τὸ πρόσωπον τοῦ ἀγάλματος. Καὶ καθ' ἑσπέραν ἔλεγεν αὐτῷ· Συγχώρησόν μοι. Καὶ ἐπλήρωσε τὴν ἑβδομάδα οὕτω ποιῶν.

Τῇ δὲ ἡμέρᾳ τοῦ Σαββάτου ἀπήντησαν ἀλλήλοις καὶ εἶπεν ὁ ἀββᾶς Ποιμὴν τῷ ἀββᾷ Ἀνούβ· Εἶδόν σε, ἀββᾶ, τὴν ἑβδομάδα ταύτην λιθάζοντα τὸ πρόσωπον τοῦ ἀγάλματος καὶ μετάνοιαν αὐτῷ πάλιν ποιοῦντα· πιστὸς ἄνθρωπος ταῦτα ποιεῖ; Καὶ ἀπεκρίθη ὁ Γέρων· Καὶ τοῦτο τὸ πρᾶγμα δι' ὑμᾶς ἐποίησα. Ὅτε εἴδετέ με λιθοβολοῦντα τὸ πρόσωπον τοῦ ἀγάλματος, μὴ ἐλάλησεν ἢ ὠργίσθη; Καὶ εἶπεν ὁ ἀββᾶς Ποιμήν· Οὔ. Καὶ πάλιν, ὅτε ἔβαλον αὐτῷ μετάνοιαν, μὴ ἐταράχθη καὶ εἶπεν οὐ συγχωρῶ; Καὶ εἶπεν ὁ ἀββᾶς Ποιμήν· Οὔ. Λέγει δὲ ὁ Γέρων· Καὶ ἡμεῖς οὖν ἐσμεν ἑπτὰ ἀδελφοί. Εἰ θέλετε ἵνα μείνωμεν μετ' ἀλλήλων, γενώμεθα ὥσπερ τὸ ἄγαλμα τοῦτο, ὅπερ ἐὰν ὑβρισθῇ ἢ δοξασθῇ, οὐ ταράσσεται. Εἰ δὲ οὐ θέλετε γενέσθαι οὕτως, ἰδοὺ τέσσαρες πύλαι εἰσίν ἐν τῷ ἱερῷ· ἕκαστος ὑμῶν ὅπου θέλει ἀπέλθῃ.

Καὶ ἔβαλον ἑαυτοὺς χαμαὶ λέγοντες τῷ ἀββᾷ Ἀνούβ· Ὡς θέλεις, πάτερ, ποιοῦμεν· καὶ ἀκούομεν ὡς λέγεις ἡμῖν. Εἶπε δὲ ὁ ἀββᾶς Ποιμὴν ὅτι ἐμείναμεν μετ' ἀλλήλων τὸν ἅπαντα χρόνον ἡμῶν ἐργαζόμενοι κατὰ τὸν λόγον τοῦ Γέροντος, ὃν εἶπεν ἡμῖν, καταστήσαντες ἑαυτοῖς ἕνα ἐξ ἡμῶν οἰκονόμον, καὶ πᾶν ὅπερ ἐτίθει ἡμῖν ἠσθίομεν. Καὶ ἀδύνατον

17. "ἡσυχάσει" μέ τήν μοναχική ἔννοια. Βλ. Μ. Γερ. τ. Α', σελ. 238.

μέχρις ὅτου ἐξετάσουν ποῦ πρέπει νά μείνουν. Στήν Τερενούθη ἔμειναν σ' ἕνα παλιό εἰδωλολατρικό ἱερό λίγες μέρες.

Πῆρε τότε τόν λόγο ὁ Ἀνούβ καί εἶπε στόν ἀββᾶ Ποιμένα: «Κάνε ἀγάπη ἐσύ καί τά ἀδέλφια σου, ὁ καθένας μας αὐτή τήν ἑβδομάδα νά "ἡσυχάσει"[17] μόνος καί νά μή συναντηθοῦμε μεταξύ μας». «Ὅπως θέλεις θά κάνουμε» ἀπάντησε ὁ Ποιμήν καί ἔτσι ἔκαναν. Στό ἱερό αὐτό ὑπῆρχε ἕνα ἄγαλμα πέτρινο. Καί ὁ Γέροντας ἀββᾶς Ἀνούβ σηκωνόταν κάθε πρωί καί πετροβολοῦσε τό ἄγαλμα στό πρόσωπο. Καί κάθε βράδυ τοῦ ἔλεγε: «Συγχώρεσέ με». Κάνοντας τό ἴδιο πέρασε ὅλη ἡ ἑβδομάδα.

Τό Σάββατο συναντήθηκαν καί εἶπε ὁ ἀββᾶς Ποιμήν στόν ἀββᾶ Ἀνούβ: «Σέ εἶδα, ἀββᾶ, πού πετροβολοῦσες ὅλη τήν ἑβδομάδα τό ἄγαλμα καί τοῦ 'βαζες μετάνοια· χριστιανός ἄνθρωπος κάνει τέτοια πράγματα;» Καί ὁ Γέροντας ἀποκρίθηκε: «Καί αὐτό γιά σᾶς τό ἔκανα. Μέ εἴδατε νά πετροβολῶ τό ἄγαλμα στό πρόσωπο· μήπως ἔβγαλε λαλιά ἤ θύμωσε;» «Ὄχι» εἶπε ὁ ἀββᾶς Ποιμήν. «Καί ὅταν πάλι τοῦ 'βαλα μετάνοια, μήπως ταράχθηκε καί εἶπε, δέν σέ συγχωρῶ;» «Ὄχι» ἐπανέλαβε ὁ ἀββᾶς Ποιμήν. «Καί ἐμεῖς λοιπόν εἴμαστε ἑφτά ἀδέλφια. Ἐάν θέλετε νά ζήσουμε ὡς κοινόβιο, νά γίνουμε σάν αὐτό τό ἄγαλμα, τό ὁποῖο ἄν τό βρίσουν ἤ τό τιμήσουν, δέν ταράζεται. Ἄν ὅμως δέν θέλετε νά γίνει ἔτσι ἡ συμβίωσή μας, νά, τέσσαρες θύρες ὑπάρχουν στό ἱερό. Ὁ καθένας σας ἄς πάει ὅπου θέλει».

Ἔπεσαν τότε ὅλοι στό ἔδαφος λέγοντας στόν ἀββᾶ Ἀνούβ: «Ὅπως θέλεις, πάτερ, θά κάνουμε· καί θά ὑπακούσουμε σ' αὐτά πού λές». Καί πρόσθεσε ὁ ἀββᾶς Ποιμήν: Ἔτσι ζήσαμε κοινοβιακά σ' ὅλη τή διάρκεια τῆς ζωῆς, ἀγωνιζόμενοι σύμφωνα μέ ὅσα μᾶς εἶπε ὁ Γέροντας. Ὁρίσαμε ἕναν ἀπό μᾶς οἰκονόμο[18] καί ὅ,τι μᾶς παρέθετε ἐκεῖνο τρώ-

18. Διακόνημα τῆς κοινοβιακῆς ζωῆς. Στόν οἰκονόμο ἀνατίθεται ἡ φρον-

ἦν εἰπεῖν τινα ἐξ ἡμῶν φέρε ἡμῖν ἄλλο τίποτε ἢ εἰπεῖν ὅτι θέλομεν τοῦτο φαγεῖν. Καὶ ἐποιήσαμεν τὸν ἅπαντα χρόνον ἡμῶν ἐν ἀναπαύσει καὶ εἰρήνῃ.

26. Εἶπεν ὁ ἀββᾶς Ἀλώνιος· Εἰ μὴ τὸ ὅλον κατέστρεψα, οὐκ ἂν ἠδυνήθην ἐμαυτὸν οἰκοδομῆσαι.

27. Διηγήσαντο περὶ ἐπισκόπου τῆς Ὀξυρρύγχου ὀνόματι Ἀπφύ, ὅτι ὅτε ἦν, φησί, μοναχὸς πολλὰς σκληραγωγίας ἐποίει· ὅτε δὲ ἐγένετο ἐπίσκοπος, ἠθέλησε χρήσασθαι τῇ αὐτῇ σκληραγωγίᾳ καὶ ἐν τῷ κόσμῳ καὶ οὐκ ἴσχυσε. Καὶ ἔρριψεν ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ λέγων· μὴ ἄρα διὰ τὴν ἐπισκοπὴν ἀπῆλθεν ἡ χάρις τοῦ Θεοῦ ἀπ' ἐμοῦ; Καὶ ἀπεκαλύφθη αὐτῷ ὅτι οὐχί· ἀλλὰ τότε ἔρημος ἦν, καὶ μὴ ὄντος ἀνθρώπου, ὁ Θεὸς ἀντελαμβάνετο· νῦν δὲ κόσμος ἐστὶ καὶ οἱ ἄνθρωποι ἀντιλαμβάνονταί σου.

28. Ἔλεγεν ὁ μακάριος Γρηγόριος ὁ Θεολόγος ὅτι· Πῶς εἰς τὴν σωτήριον ταπεινοφροσύνην καταβησόμεθα τὸν ὀλέθριον ὄγκον τῆς ὑπερηφανίας μὴ καταλιπόντες; Ἐὰν διὰ παντὸς ἀσκῶμεν τὸ τοιοῦτον καὶ μηδὲν παρορῶμεν, ὡς οὐ παρὰ τοῦτο βλαπτόμενοι. Τοῖς γὰρ ἐπιτηδεύμασιν ὁμοιοῦται ἡ ψυχὴ καὶ πρὸς ἃ πράττει τυποῦται καὶ πρὸς ταῦτα σχηματίζεται.

Ἔστω οὖν σοι καὶ σχῆμα καὶ ἱμάτιον καὶ βάδισμα καὶ καθέδρα καὶ τροφὴ καὶ κατάστασις καὶ στρωμνῆς παρα-

---

τίδα τῆς καθημερινῆς διατροφῆς τῶν μελῶν τοῦ κοινοβίου καί τῆς παροχῆς τῶν ἀπαραίτητων μέσων.

19. Τό κείμενο πού ἀκολουθεῖ, προφανῶς ἐκ παραδρομῆς, στόν κώδικα ἀποδίδεται στόν ἅγιο Γρηγόριο τόν Θεολόγο, ἐνῶ ἀνήκει στόν Μέγα Βασί-

γαμε. Καί ἦταν ἀδιανόητο νά πεῖ κάποιος ἀπό μᾶς, φέρε κάτι ἄλλο, ἤ νά πεῖ, θέλουμε νά φᾶμε τό τάδε φαγητό. Καί περάσαμε ὅλη μας τή ζωή μέ ἀνάπαυση ψυχική καί εἰρήνη.

26. Εἶπε ὁ ἀββᾶς Ἀλώνιος*: «Ἐάν δέν γκρέμιζα τό πᾶν, δέν θά μποροῦσα νά οἰκοδομήσω τόν ἑαυτό μου».

27. Διηγήθηκαν γιά κάποιον ἐπίσκοπο τῆς Ὀξυρρύγχου πού ὀνομαζόταν Ἀπφύ*, ὅτι ὅταν ἦταν μοναχός, ἀσκοῦνταν σέ πολλή σκληραγωγία. Ὅταν ἔγινε ἐπίσκοπος, θέλησε τήν ἴδια σκληραγωγία νά ἔχει καί μέσα στόν κόσμο, ἀλλά δέν τό κατόρθωσε. Ἔριξε τότε τόν ἑαυτό του ἐνώπιον τοῦ Θεοῦ λέγοντας: «Μή τυχόν ἔφυγε ἡ Χάρις τοῦ Θεοῦ ἀπό μένα, γιατί ἔγινα ἐπίσκοπος;» Καί τοῦ ἀποκαλύφθηκε: «Ὄχι· ἀλλά τότε ἦταν ἔρημος, καί καθώς δέν ὑπῆρχαν ἄνθρωποι, ὁ Θεός φρόντιζε. Τώρα ὅμως εἶναι κόσμος γύρω σου καί οἱ ἄνθρωποι φροντίζουν γιά σένα».

28. Ἔλεγε ὁ μακαριστός Γρηγόριος ὁ Θεολόγος[19]: «Πῶς θά κατεβοῦμε πρός τήν σωτήρια ταπεινοφροσύνη, χωρίς νά ἐγκαταλείψουμε τόν ὀλέθριο ὄγκο τῆς ὑπερηφανείας; Ἐάν παντοτινά ἐπιδιώκουμε τήν ταπεινοφροσύνη καί δέν ἀδιαφοροῦμε σέ καμιά περίπτωση, μέ τήν ἰδέα ὅτι τάχα δέν βλαπτόμαστε ἀπό αὐτό. Διότι ἡ ψυχή ἐξομοιώνεται πρός τό ἀντικείμενο μέ τό ὁποῖο ἀσχολεῖται καί διαπλάθεται σύμφωνα μ' αὐτά πού πράττει καί παίρνει τό ἀνάλογο σχῆμα μ' αὐτά.

Γιά σένα λοιπόν καί ἡ ἐμφάνιση καί τό ἔνδυμα, τό βάδισμα ὅσο καί τό κάθισμα, ἡ τροφή καί ἡ ὅλη εἰκόνα τῆς

λειο. Βλ. Μ. Βασιλείου Ἔργα, τ. 6, Λόγος περί ταπεινοφροσύνης, ἔκδ. Ε.Π.Ε., σελ. 126.

σκευὴ καὶ οἶκος καὶ τὰ ἐν οἴκῳ σκεύη, πάντα πρὸς εὐτέλειαν ἠσκημένα. Καὶ μὴν καὶ ψαλμὸς καὶ ᾠδὴ καὶ πρὸς τὸν πλησίον εὐταξία καὶ ταῦτα πρὸς εὐτέλειαν μᾶλλον ἢ πρὸς ὄγκον ὁράτω. Μή μοι κόμπους ἐν λόγοις σοφιστικοῖς, μηδὲ ἐν ᾠδαῖς ἡδυφωνίας ὑπερβαλλούσης, μηδὲ διαλέξεις ὑπερηφάνους καὶ βαρείας, ἀλλ' ἐν ἅπασιν ὑφαιρεῖν τοῦ μεγέθους.

Χρηστὸς ἐν τοῖς φίλοις, ἤπιος πρὸς οἰκέτην, ἀνεξίκακος πρὸς τοὺς θρασεῖς, φιλάνθρωπος πρὸς τοὺς ταπεινούς, παρηγορῶν κακουμένους, ἐπισκεπτόμενος τοὺς ἐν ὀδύναις, μηδένα καθ' ἅπαξ παρορῶν, γλυκὺς ἐν προσηγορίᾳ, φαιδρὸς ἐν ἀποκρίσει, δεξιὸς καὶ εὐπρόσιτος ἐν πᾶσιν.

29. Εἶπεν ὁ ἀββᾶς Δανιὴλ ὅτι ἦν ἐν Βαβυλῶνι θυγάτηρ τινὸς πρωτεύοντος δαιμόνιον ἔχουσα. Εἶχε δὲ ὁ πατὴρ αὐτῆς ἀγαπητὸν μοναχόν τινα. Καὶ λέγει αὐτῷ· Οὐδεὶς δύναται θεραπεῦσαι τὴν θυγατέρα σου, εἰ μὴ οὓς οἶδα ἀναχωρητάς. Καὶ ἐὰν αὐτοὺς παρακαλέσῃς, οὐκ ἀνέχονται τοῦτο ποιῆσαι διὰ ταπεινοφροσύνην. Ἀλλὰ τοῦτο ποιήσωμεν· ὅταν ἔλθωσιν εἰς τὴν ἀγοράν, ποιήσατε ἑαυτοὺς ὡς θέλοντας ἀγοράσαι σκεύη, καὶ ὅταν ἔλθωσι λαβεῖν τὴν τιμὴν αὐτῶν, λέγωμεν αὐτοῖς, ἵνα ποιήσωσιν εὐχήν. Καὶ πιστεύω ὅτι θεραπεύεται.

Καὶ ἐξελθόντες ἐν τῇ ἀγορᾷ εὗρον ἕνα μαθητὴν τῶν Γερόντων καθήμενον, ἵνα πωλήσῃ τὰ σκεύη αὐτοῦ. Καὶ λαβὼν αὐτὸν μετὰ τῶν σπυρίδων ἀπήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, ἵνα λάβῃ τὸ τίμημα αὐτῶν. Καὶ ὅτε ἦλθεν ὁ μοναχὸς εἰς

ζωῆς σου, ἀκόμη καί τό στρώσιμο τοῦ κρεββατιοῦ καί τό σπίτι καί τά ἀντικείμενα πού ὑπάρχουν μέσα σ' αὐτό, ὅλα ἄς εἶναι προσαρμοσμένα γιά λιτή ζωή. Ἀλλά καί ἡ ψαλμωδία καί τό ἄσμα καί ἡ καλή συμπεριφορά πρός τόν πλησίον, καί αὐτά ἄς κλίνουν πρός τή λιτότητα περισσότερο παρά στήν ὑπερβολή.

Μήν κομπάζεις, σέ παρακαλῶ, μέ λόγους ἐπιδεικτικούς, οὔτε μέ ἄσματα ὑπερβολικά καλλίφωνα, οὔτε μέ συζητήσεις ὑπερήφανες καί δυσνόητες, ἀλλά σέ ὅλα νά ἀφαιρεῖς ἀπό τό μέγεθος.

Καλοσυνάτος μεταξύ τῶν φίλων, ἤπιος στόν ὑπηρέτη, ἀνεξίκακος στούς θρασεῖς, φιλάνθρωπος στούς ἀνήμπορους, ἡ παρηγοριά σ' ὅσους ὑποφέρουν, παρών σ' ὅσους θλίβονται, μ' ἕνα λόγο μή παραβλέποντας κανέναν, γλυκύς ὅταν ἀπευθύνεσαι σέ κάποιον, ἀνοιχτόκαρδος στήν ἐξυπηρέτηση, πρόθυμος καί καταδεκτικός πρός ὅλους.

29. Εἶπε ὁ ἀββᾶς Δανιήλ ὅτι στήν Βαβυλώνα ζοῦσε μιά δαιμονισμένη, πού ἦταν θυγατέρα κάποιου ἀξιωματούχου. Ὁ πατέρας της γνώριζε ἕναν μοναχό, πού τοῦ ἦταν πολύ ἀγαπητός. Τοῦ λέει λοιπόν αὐτός: «Κανείς δέν μπορεῖ νά θεραπεύσει τή θυγατέρα σου παρά οἱ ἀναχωρητές πού γνωρίζω. Ἄν ὅμως τούς παρακαλέσεις, δέν θά δεχθοῦν νά τό κάνουν αὐτό ἀπό ταπεινοφροσύνη. Ἀλλά θά κάνουμε τό ἑξῆς: Ὅταν ἔλθουν στό παζάρι, θά προσποιηθοῦμε πώς θέλουμε τάχα νά ἀγοράσουμε ἐργόχειρα καί ὅταν ἔλθουν νά πληρωθοῦν, θά τούς ποῦμε νά προσευχηθοῦν· καί πιστεύω ὅτι θά θεραπευτεῖ».

Πράγματι βγῆκαν στήν ἀγορά καί συνάντησαν ἕνα μαθητή τῶν Γερόντων πού καθόταν γιά νά πουλήσει τά ἐργόχειρά του. Τόν πῆρε λοιπόν αὐτόν μαζί μέ τά πανέρια καί τόν ἔφερε στό σπίτι του γιά νά πληρωθεῖ τήν ἀξία τους.

τὸν οἶκον, ἦλθεν ἡ δαιμονιζομένη καὶ ἔδωκεν αὐτῷ ῥάπισμα. Ὁ δὲ ἔστρεψε καὶ τὴν ἄλλην σιαγόνα κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου. Καὶ βασανισθεὶς ὁ δαίμων ἔκραξε λέγων· Ὢ βία, ἡ ἐντολὴ τοῦ Ἰησοῦ ἐκβάλλει με. Καὶ εὐθέως ἐκαθαρίσθη ἡ γυνή.

Καὶ ὡς ἦλθον οἱ Γέροντες, ἀνήγγειλαν αὐτοῖς τὸ γενόμενον καὶ ἐδόξασαν τὸν Θεὸν καὶ εἶπον· Ἔθος ἐστὶ τῇ ὑπερηφανίᾳ τοῦ διαβόλου πίπτειν ἀπὸ τῆς ταπεινώσεως τῆς ἐντολῆς τοῦ Χριστοῦ.

30. Ἔλεγεν ὁ ἀββᾶς Ἐπιφάνιος· Ἡ Χαναναία βοᾷ καὶ ἀκούεται, καὶ ἡ αἱμόρρους σιωπᾷ καὶ μακαρίζεται, ὁ δὲ Φαρισαῖος κράζει καὶ κατακρίνεται· ὁ τελώνης οὐδὲ ἀνοίγει τὸ στόμα καὶ ἀκούεται.

31. Εἶπεν ὁ ἀββᾶς Εὐάγριος· Ἀρχὴ σωτηρίας ἡ σαυτοῦ κατάγνωσις.

32. Ἐγένετό ποτε συνέδριον εἰς τὰ Κελλία περὶ πράγματος. Καὶ ἐλάλησεν ὁ ἀββᾶς Εὐάγριος. Λέγει οὖν αὐτῷ ὁ πρεσβύτερος· Οἴδαμεν, ἀββᾶ, ὅτι εἰ ἦσθα εἰς τὴν ἐπισκοπήν σου, πολλάκις καὶ κεφαλὴ πολλῶν εἶχες εἶναι. Νῦν δὲ ὡς ξένος καθέζῃ ὧδε. Ὁ δὲ κατανυγεὶς οὐκ ἐταράχθη, ἀλλὰ κινήσας τὴν κεφαλὴν λέγει αὐτῷ· Ἀληθῶς οὕτως ἐστί, πάτερ, πλὴν ἅπαξ ἐλάλησα· ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω.

20. Ματθ. 5, 39.
21. Ματθ. 15, 22-28.
22. Ματθ. 9, 20-22.
23. Λουκ. 18, 10-14.

Ὅταν ἔφθασε ὁ μοναχός ἐκεῖνος στό σπίτι, ἦρθε ἡ δαιμονισμένη καί τοῦ 'δωσε ἕνα χαστούκι. Καί ἐκεῖνος ἔστρεψε καί τό ἄλλο μάγουλο σύμφωνα μέ τήν ἐντολή τοῦ Κυρίου[20]. Καί ὁ δαίμονας πιέσθηκε καί ἔβγαλε κραυγή λέγοντας: «Χάνομαι, ἡ ἐντολή τοῦ Ἰησοῦ μέ διώχνει». Καί εὐθύς θεραπεύθηκε ἡ γυναίκα.

Ὅταν ἔφτασαν ἐκεῖ οἱ Γέροντες, τούς ἀνέφεραν τό γεγονός καί ἐκεῖνοι δόξασαν τόν Θεό καί εἶπαν: «Εἶναι συνηθισμένο ἡ ὑπερηφάνεια τοῦ διαβόλου νά πέφτει μπροστά στήν ταπείνωση πού ἐκφράζει ἡ ἐντολή τοῦ Χριστοῦ».

30. Ἔλεγε ὁ ἀββᾶς Ἐπιφάνιος*: «Ἡ Χαναναία κραυγάζει[21] καί εἰσακούεται· ἡ αἱμορροοῦσα σωπαίνει[22] καί καλοτυχίζεται· ὁ Φαρισαῖος μιλάει δυνατά καί καταδικάζεται· ὁ Τελώνης οὔτε ἀνοίγει τό στόμα καί δικαιώνεται[23]».

31. Εἶπε ὁ ἀββᾶς Εὐάγριος*: Ἀρχή σωτηρίας εἶναι τό νά καταδικάζεις τόν ἑαυτό σου.

32. Ἔγινε κάποτε συνέδριο στά Κελλία γιά κάποια ὑπόθεση, καί μίλησε ὁ ἀββᾶς Εὐάγριος. Τοῦ λέει τότε ὁ πρεσβύτερος: «Μᾶς εἶναι γνωστό, ἀββᾶ, ὅτι ἐάν θά βρισκόσουν στόν χῶρο τῆς ἐπισκοπῆς σου[24], θά ἦσουν ἀρχηγός πολλῶν καί πολλές φορές μάλιστα. Τώρα ὅμως μένεις ἐδῶ ὡς φιλοξενούμενος». Κι ἐκεῖνος αἰσθάνθηκε τό σφάλμα του χωρίς νά ταραχθεῖ, ἀλλά κουνώντας καταφατικά τό κεφάλι, τοῦ εἶπε: «Πράγματι, πάτερ, ἔτσι εἶναι· ἀλλά μιά φορά πῆρα τόν λόγο, δεύτερη φορά δέν θά συμβεῖ».

24. Ἐνδέχεται ἡ λ. ἐπισκοπή νά σημαίνει ἐδῶ κατά κυριολεξίαν τό ἐπισκοπικό ἀξίωμα ἤ γενικῶς τόν χῶρο στόν ὁποῖο ἐποπτεύει.

33. Παρέβαλεν ἀδελφὸς Αἰγύπτιος τῷ ἀββᾷ Ζήνωνι εἰς Συρίαν καὶ κατηγόρει τῶν λογισμῶν αὐτοῦ ἐπὶ τοῦ Γέροντος. Ὁ δὲ θαυμάσας εἶπεν· Οἱ Αἰγύπτιοι, ἃς μὲν ἔχουσιν ἀρετάς, κρύπτουσιν· ἃ δὲ οὐκ ἔχουσιν ἐλαττώματα, τούτων ἀεὶ κατηγοροῦσιν. Οἱ δὲ Σύροι καὶ οἱ Ἑλληνικοί, ἃς μὲν οὐκ ἔχουσιν ἀρετάς, λέγουσιν ἔχειν· ἃ δὲ ἔχουσιν ἐλαττώματα, κρύπτουσιν.

34. Εἶπεν ὁ ἀββᾶς Καρίων ὅτι πολλοὺς κόπους ἐποίησα πλέον τοῦ υἱοῦ μου Ζαχαρίου καὶ οὐκ ἔφθασα εἰς τὰ μέτρα αὐτοῦ, ἐν τῇ ταπεινώσει καὶ τῇ σιωπῇ αὐτοῦ.

35. Εἶπεν ὁ ἀββᾶς Μωυσῆς τῷ ἀδελφῷ ποτε Ζαχαρίᾳ· Εἰπέ μοι τί ποιήσω. Ἀκούσας δὲ ἔρριψεν ἑαυτὸν χαμαὶ εἰς τοὺς πόδας αὐτοῦ λέγων· Σύ με ἐρωτᾷς, πάτερ; Λέγει αὐτῷ ὁ Γέρων· Πίστευσόν μοι, τέκνον μου Ζαχαρία· εἶδον τὸ Πνεῦμα τὸ Ἅγιον κατελθὸν ἐπὶ σέ· καὶ ἐκ τούτου ἀναγκάζομαι ἐρωτῆσαί σε.

Καὶ λαβὼν ὁ Ζαχαρίας τὸ κουκούλιον αὐτοῦ ἐκ τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν ὑπὸ τοὺς πόδας. Καὶ καταπατήσας αὐτὸ εἶπεν· Ἐὰν μὴ συντριβῇ οὕτως ὁ ἄνθρωπος, οὐ δύναται εἶναι μοναχός.

36. Καθημένου ποτὲ τοῦ ἀββᾶ Ζαχαρίου εἰς Σκῆτιν, ἦλθε θεωρία εἰς αὐτόν. Καὶ ἀναστὰς ἀνήγγειλε τῷ ἀββᾷ αὐτοῦ Καρίωνι. Ὁ δὲ Γέρων πρακτικὸς ὢν οὐχ ὑπῆρχεν ἀκριβὴς

25. Ἡ: πού ὀφείλονται στήν ταπείνωσή του καί τή σιωπή του.

26. Ἐδῶ ἡ ἔννοια "θεωρία" πιθανότερο εἶναι νά σημαίνει θεϊκή ἀποκάλυψη ἔντονη στόν νοῦ.

33. Ἐπισκέφθηκε κάποιος μοναχός Αἰγύπτιος τόν ἀββᾶ Ζήνωνα* στή Συρία καί καταδίκαζε τούς λογισμούς του ἐνώπιον τοῦ Γέροντος. Κι ἐκεῖνος θαύμασε καί εἶπε: «Οἱ Αἰγύπτιοι κρύβουν τίς ἀρετές πού ἔχουν, καί γιά ἐλαττώματα πού δέν τά ἔχουν, γι' αὐτά πάντοτε κατακρίνουν τόν ἑαυτό τους. Ἐνῶ οἱ Σύριοι καί οἱ Ἕλληνες ἀρετές πού δέν τίς ἔχουν, λένε ὅτι ἔχουν· καί τά ἐλαττώματα πού ἔχουν, τά κρύβουν».

34. Εἶπε ὁ ἀββᾶς Καρίων: «Ὑποβλήθηκα σέ πολύ περισσότερους κόπους ἀπό τόν γιό μου Ζαχαρία* καί δέν ἔφθασα στά μέτρα πού ἔφθασε αὐτός μέ τήν ταπείνωση καί τή σιωπή του[25]».

35. Εἶπε ὁ ἀββᾶς Μωυσῆς* κάποτε στόν ἀββᾶ Ζαχαρία: «Πές μου τί νά κάνω». Στό ἄκουσμα τοῦ λόγου αὐτοῦ ἔπεσε (ὁ Ζαχαρίας) μπροστά στά πόδια του λέγοντας: «Ἐσύ μέ ρωτᾶς, πάτερ;» Καί ὁ Γέροντας τοῦ λέει: «Ἀλήθεια σοῦ λέω, παιδί μου Ζαχαρία. Εἶδα τό Ἅγιο Πνεῦμα νά ἔρχεται ἐπάνω σου καί ἐξαιτίας αὐτοῦ ἀναγκάζομαι νά σέ ρωτήσω».

Βγάζει τότε ὁ Ζαχαρίας τό κουκούλι ἀπό τό κεφάλι, τό ρίχνει κάτω καί καταπατώντας το εἶπε: «Ἐάν δέν συντριβεῖ ἔτσι ὁ ἄνθρωπος, δέν μπορεῖ νά 'ναι μοναχός».

36. Τόν καιρό πού ὁ ἀββᾶς Ζαχαρίας ἔμενε στή Σκήτη, τοῦ ἦρθε κάποια μυστική "θεωρία"[26]. Πηγαίνει λοιπόν καί τό ἀναφέρει στόν ἀββᾶ του τόν Καρίωνα[27]*. Ὁ Γέροντας ὅμως καθώς ἐπιμελοῦνταν τήν πρακτική ἄσκηση[28], δέν ἦταν κα-

27. Ὁ Καρίων ἦταν καί φυσικός του πατέρας. Βλ. ἀπόφθ. 78 καί Μ. Γερ. τ. Α΄, σελ. 448.

28. Βλ. Μ. Γερ. τ. Γ΄, σελ. 161-3, ὑποσημ. 115.

περὶ ταῦτα. Καὶ ἀναστὰς ἔδειρεν αὐτὸν λέγων ὅτι ἀπὸ δαιμόνων ἐστί. Παρέμεινε δὲ ὁ λογισμός.

Καὶ ἀναστὰς ἀπῆλθε πρὸς τὸν ἀββᾶν Ποιμένα νυκτὸς καὶ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα καὶ πῶς καίεται τὰ ἐντὸς αὐτοῦ. Καὶ ἰδὼν ὁ Γέρων ὅτι ἀπὸ Θεοῦ ἐστι λέγει αὐτῷ· Ὕπαγε πρὸς τὸν δεῖνα τὸν Γέροντα καί, εἴ τι δ' ἂν σοι λέγῃ, ποίησον. Καὶ ἀπελθὼν πρὸς τὸν Γέροντα πρὶν ἐξετάσαι αὐτόν τι, προλαβὼν ὁ Γέρων εἶπεν αὐτῷ πάντα, καὶ ὅτι ἡ θεωρία ἀπὸ Θεοῦ ἐστιν. Ἀλλ' ὕπαγε, ὑποτάγηθι τῷ πατρί σου.

37. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἠρώτησεν ὁ ἀββᾶς Μωυσῆς τὸν ἀββᾶν Ζαχαρίαν μέλλοντα τελευτᾶν· Τί ὁρᾷς; Καὶ λέγει αὐτῷ· Οὐ βέλτιον τὸ σιωπᾶν, πάτερ; Καὶ εἶπεν αὐτῷ· Ναί, τέκνον, σιώπα. Καὶ τῇ ὥρᾳ τοῦ θανάτου αὐτοῦ καθεζόμενος ὁ ἀββᾶς Ἰσίδωρος, ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπεν· Εὐφραίνου, τέκνον μου Ζαχαρία, ὅτι ἀνεῴχθησάν σοι αἱ πύλαι τῆς τῶν Οὐρανῶν Βασιλείας.

38. Εἶπεν ὁ ἀββᾶς Ἠσαΐας· Τὸ ἀγαπᾶν τὴν δόξαν τῶν ἀνθρώπων τίκτει τὸ ψεῦδος· τὸ δὲ ἀνατρέψαι αὐτὴν ἐν ταπεινώσει, ποιεῖ τὸν φόβον τοῦ Θεοῦ μείζονα ἐν τῇ καρδίᾳ. Μὴ θελήσῃς φίλος γενέσθαι τῶν ἐνδόξων τοῦ κόσμου, ἵνα μὴ ἡ δόξα τοῦ Θεοῦ ἀμβλυνθῇ ἀπὸ σοῦ.

39. Εἶπε πάλιν· Ποιῶν τὰς λειτουργίας σου, ἐὰν ποιήσῃς

29. Βλ. ἀπόφθ. 78, σελ. 67.

τατοπισμένος πάνω σ' αὐτά. Σηκώθηκε λοιπόν καί τόν ἔδειρε λέγοντας ὅτι αὐτά προέρχονται ἀπό τούς δαίμονες. Ὁ λογισμός ὅμως παρέμεινε στόν Ζαχαρία.

Σηκώνεται λοιπόν καί πηγαίνει τήν νύκτα στόν ἀββᾶ Ποιμένα καί τοῦ ἀναφέρει τήν ὑπόθεση καί πώς μιά φωτιά καίει τά σωθικά του. Ὁ Γέροντας διαπίστωσε ὅτι εἶναι ἀπό Θεοῦ καί τοῦ λέει: «Πήγαινε στόν τάδε Γέροντα καί ὅ,τι κι ἄν σοῦ πεῖ, κάνε το».

Πῆγε πράγματι στόν Γέροντα· καί ὁ Γέροντας πρίν τόν ρωτήσει τίποτε σχετικό, πῆρε τόν λόγο καί τοῦ τά εἶπε ὅλα ὅσα συνέβησαν καί ὅτι ἡ ἀποκάλυψη ἦταν ἀπό τόν Θεό. «Ἀλλά –πρόσθεσε– πήγαινε καί συνέχισε νά ὑποτάσσεσαι στόν πατέρα σου».

37. Ὅταν ὁ ἀββᾶς Ζαχαρίας ἦταν στά τελευταῖα του –λέει ὁ ἀββᾶς Ποιμήν– τόν ρώτησε ὁ ἀββᾶς Μωυσῆς: «Τί βλέπεις;» Καί τοῦ λέει ὁ Ζαχαρίας: «Δέν εἶναι καλύτερο νά σιωπῶ, πάτερ;» Καί συμφώνησε ὁ ἀββᾶς Μωυσῆς: «Ναί, παιδί μου, σώπασε». Καί τήν ὥρα τοῦ θανάτου του, ὁ ἀββᾶς Ἰσίδωρος* πού καθόταν δίπλα του, σήκωσε τά μάτια του στόν οὐρανό καί εἶπε: «Ἀπόλαυσε τήν οὐράνια εὐφροσύνη, παιδί μου Ζαχαρία, γιατί ἄνοιξαν γιά σένα οἱ θύρες τῆς Βασιλείας τῶν Οὐρανῶν»[29].

38. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας*: «Ἡ ἀγάπη γιά τήν ἀνθρώπινη δόξα γεννᾶ τήν ἀπάτη· ἐνῶ ἡ κατάργησή της μέ τήν ταπείνωση μεγαλώνει τόν φόβο τοῦ Θεοῦ στήν καρδιά.

Μή ζητήσεις νά γίνεις φίλος τῶν ἐνδόξων τῆς γῆς, γιά νά μήν ἀτονήσει μέσα σου ἡ δόξα τοῦ Θεοῦ».

39. Εἶπε ἀκόμη: «Ὅταν κάνεις τίς ἀκολουθίες σου[30], ἐάν

30. Τόν κανόνα σου, τίς προσευχές σου.

ἐν ταπεινοφροσύνῃ ὡς ἀνάξιος ὤν, δεκταί εἰσι τῷ Θεῷ· εἰ δὲ ἀναβῇ τι ἐπὶ τὴν καρδίαν σου ὑπερήφανον καὶ συγκατάθῃ ἢ μνησθῇς ἑτέρου κοιμωμένου ἢ ἀμελοῦντος καὶ κατακρίνῃς τινά, γνῶθι ὅτι ἀργός ἐστιν ὁ κόπος σου.

40. Εἶπε πάλιν διὰ τὴν ταπεινοφροσύνην ὅτι γλῶσσαν οὐκ ἔχει πρός τινα φθέγξασθαι ὡς ἀμελοῦντα ἢ ἀντιλέξαι τῷ καταπονοῦντι αὐτόν, οὐδὲ ὀφθαλμοὺς ἔχει ἄλλου ἐλαττώματα προσέχειν ἢ κατανοῆσαι, οὔτε ὦτα ἔχει ἀκοῦσαι τὰ μὴ ὠφελοῦντα αὐτοῦ τὴν ψυχήν, οὔτε στόμα ἔχει ἀναγγεῖλαι ἐλαττώματά τινος ἢ καταπονῆσαί τινα, οὔτε πρᾶγμα ἔχει μετά τινος, πλὴν τῶν ἰδίων ἁμαρτιῶν. Ἀλλὰ πρὸς πάντας ἀνθρώπους ἐστὶν εἰρηνικὸς διὰ τὴν ἐντολὴν τοῦ Κυρίου καὶ οὐ διά τινα ἑτέραν προσπάθειαν. Ἐὰν γὰρ νηστεύσῃ ἓξ ἓξ καὶ δῷ ἑαυτὸν εἰς κόπους μεγάλους ἐκτὸς τῆς ὁδοῦ ταύτης, μάταιοί εἰσι πάντες οἱ κόποι αὐτοῦ.

41. Εἶπε πάλιν· Ὁ κτησάμενος ταπεινοφροσύνην ἐπιγινώσκει τὰς ἑαυτοῦ ἁμαρτίας. Εἰ δὲ συνδράμῃ τῇ ταπεινοφροσύνῃ καὶ τὸ πένθος, καὶ παραμείνωσιν αὐτῷ τὰ ἀμφότερα, ἐκβάλλουσιν ἐκ τῆς ψυχῆς αὐτοῦ πάντα δαιμονικὸν λογισμὸν καὶ τρέφουσι τὴν ψυχὴν ἐκ τῆς ἰδίας τιμῆς καὶ ἐκ τῶν ἁγίων ἀρετῶν.

Τῷ γὰρ ἔχοντι πένθος καὶ ταπεινοφροσύνην οὐ μέλει περὶ ὀνειδισμοῦ ἀνθρώπων. Αὗται γὰρ πανοπλίαι αὐτῷ γίνονται καὶ φυλάττουσιν αὐτὸν ἀπὸ ὀργῆς καὶ ἀνταποδόσεως

31. Ματθ. 5, 9, Μάρκ. 9, 50 καί Ἰω. 14, 27.

τίς κάνεις ταπεινοφρονώντας ὡς ἀνάξιος, εἶναι δεκτές ἀπό τόν Θεό. Ἂν ὅμως ἀνεβεῖ στήν καρδιά σου κάποιος λογισμός ὑπερηφανείας καί τόν δεχθεῖς ἤ θυμηθεῖς πώς κάποιος ἄλλος κοιμᾶται τήν ὥρα ἐκείνη ἤ εἶναι ἀμελής καί κατακρίνεις κάποιον, νά ξέρεις ὅτι ὁ κόπος σου εἶναι ἀνώφελος».

40. Εἶπε ἐπίσης ὅτι αὐτός πού ἔχει ταπείνωση δέν ἔχει γλώσσα νά πεῖ σέ κάποιον ὅτι εἶναι ἀμελής ἤ νά ἀντιμιλήσει σ᾽ ἐκεῖνον ὁ ὁποῖος τόν ταλαιπωρεῖ, οὔτε ἔχει μάτια νά δεῖ ἤ νά ἀντιληφθεῖ ἄλλου ἀνθρώπου ἐλαττώματα, οὔτε αὐτιά ν᾽ ἀκούσει πράγματα πού δέν ὠφελοῦν τήν ψυχή του. Στόμα δέν ἔχει νά φανερώσει ἐλαττώματα κάποιου ἤ νά θλίψει κάποιον μέ τά λόγια του οὔτε ἔχει ἐνδιαφέροντα μέ κάποιον ἐκτός τῶν δικῶν του ἁμαρτημάτων. Ἀντίθετα, εἶναι εἰρηνικός πρός ὅλους τούς ἀνθρώπους, γιατί αὐτό εἶναι ἐντολή τοῦ Κυρίου[31] καί ὄχι γιατί χαρίζεται σέ κάποια ἄλλη ἀδυναμία.

Γιατί κι ἄν νηστεύει κανείς ὅλη τήν ἑβδομάδα καί κάνει πολλούς κόπους ἔξω ἀπό τήν πορεία αὐτή, πᾶνε χαμένοι ὅλοι οἱ κόποι του.

41. Εἶπε ἄλλοτε: «Αὐτός πού ἀπέκτησε ταπεινοφροσύνη, ἔχει συνείδηση τῶν δικῶν του ἁμαρτιῶν. Ἂν μάλιστα συμπορευθεῖ καί τό πένθος μέ τήν ταπεινοφροσύνη καί παραμείνουν μέσα του καί οἱ δυό ἀρετές, διώχνουν ἀπό τήν ψυχή του κάθε δαιμονικό λογισμό καί τρέφουν τήν ψυχή μέ τή δική της ἀξία καί μέ τίς ἅγιες ἀρετές.

Αὐτός πού ἔχει πένθος καί ταπεινοφροσύνη ἀδιαφορεῖ γιά τούς ὀνειδισμούς ἀπό μέρους τῶν ἀνθρώπων· γιατί αὐτές οἱ ἀρετές εἶναι ἡ πανοπλία του καί τόν προφυλάσσουν ἀπό τήν ὀργή καί τήν ἐκδίκηση καί τόν διδάσκουν νά ὑπομένει ὅσα τοῦ συμβαίνουν.

καὶ διδάσκουσιν αὐτὸν ὑποφέρειν τὰ ἐπερχόμενα αὐτῷ. Ποῖον γὰρ ὄνειδος ἢ θυμὸς δύνανται προσεγγίσαι τῷ πενθοῦντι ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων ἐνώπιον τοῦ Θεοῦ;

42. Εἶπε πάλιν· Τὸ παραρρίψαι ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ ἐν γνώσει καὶ τὸ ὑπακοῦσαι τῶν ἐντολῶν ἐν ταπεινοφροσύνῃ φέρουσι τὴν ἀγάπην, καὶ ἡ ἀγάπη φέρει τὴν ἀπάθειαν.

43. Ἠρωτήθη ὁ ἀββᾶς Ἠσαΐας τί ἐστι ταπείνωσις. Καὶ εἶπεν· Ἡ ταπείνωσίς ἐστι τὸ λογίσασθαι ἑαυτὸν ἁμαρτωλότερον πάντων τῶν ἀνθρώπων καὶ τὸ ἐξουθενεῖν ἑαυτὸν ὡς μηδὲν καλὸν ποιοῦντα ἐνώπιον τοῦ Θεοῦ. Τὸ δὲ ἔργον τῆς ταπεινώσεώς ἐστι τοῦτο, ἡ σιωπὴ καὶ τὸ μὴ μετρεῖν ἑαυτὸν ἔν τινι, τὸ μὴ φιλονικεῖν, ἡ ὑποταγή, τὸ βλέμμα ἔχειν χαμαί, τὸ πρὸ ὀφθαλμῶν ἔχειν τὸν θάνατον, τὸ μὴ ψεύδεσθαι, τὸ μὴ ἀργολογεῖν, τὸ μὴ ἀντιλέγειν τῷ μείζονι, τὸ μὴ θέλειν στῆσαι τὸν λόγον ἑαυτοῦ, τὸ ὑποφέρειν ὕβριν, τὸ μισῆσαι τὴν ἀνάπαυσιν, τὸ βιάζεσθαι ἑαυτὸν ἐν παντὶ πράγματι, τὸ νήφειν, τὸ κόψαι τὸ ἴδιον θέλημα, τὸ μὴ παροξῦναί τινα, τὸ μὴ φθονεῖν τινι.

44. Εἶπε πάλιν· Ποίησον τὴν δύναμίν σου γενέσθαι ἀψήφιστον, ἵνα δυνηθῇς σχολάσαι εἰς τὸ κλαῦσαι· καὶ φρόντισον

32. Ἀργός λόγος: ὁ λόγος πού δέν ὠφελεῖ.

33. Τό ἀψήφιστον: Εἶναι συνώνυμο τοῦ "μή μετρεῖν ἑαυτόν", νά μήν ἔχουμε δηλαδή περί πολλοῦ τόν ἑαυτό μας, νά μήν τόν δικαιώνουμε καί νά μήν

Ἀλήθεια ποιά ντροπή ἤ θυμός μποροῦν νά πλησιάσουν τόν ἄνθρωπο, ὁ ὁποῖος πενθεῖ ἐνώπιον τοῦ Θεοῦ γιά τίς ἁμαρτίες του;»

42. Εἶπε ἐπίσης: «Ἡ συνειδητή παράδοση τοῦ ἑαυτοῦ μας στόν Θεό, καί ἡ ὑπακοή στίς ἐντολές του μέ ταπείνωση, φέρνουν τήν ἀγάπη καί ἡ ἀγάπη φέρνει τήν ἀπάθεια».

43. Ρώτησαν τόν ἀββᾶ Ἠσαΐα τί εἶναι ταπείνωση, κι ἐκεῖνος εἶπε: «Ταπείνωση εἶναι νά θεωροῦμε τόν ἑαυτό μας πιό ἁμαρτωλό ἀπ' ὅλους τούς ἀνθρώπους καί νά ἐξουθενώνουμε τόν ἑαυτό μας ὅτι τίποτε τό καλό δέν κάναμε ἐνώπιον τοῦ Θεοῦ.

Καί ἡ ἐργασία τῆς ταπείνωσης εἶναι ἡ ἑξῆς: Νά σιωποῦμε, νά μή ψηφίζουμε τόν ἑαυτό μας σέ καμιά περίπτωση, νά μήν εἴμαστε φιλόνικοι, νά εἴμαστε ἕτοιμοι γιά ὑποταγή, μέ τό βλέμμα χαμηλωμένο, τόν θάνατο νά ἔχουμε πρό ὀφθαλμῶν, νά μήν χρησιμοποιοῦμε τό ψέμα καί τόν ἀργό λόγο[32]. Νά μήν ἀντιμιλοῦμε στόν μεγαλύτερο, νά μή θέλουμε νά περάσει ὁ λόγος μας, νά ὑπομένουμε τίς περιφρονήσεις, νά μισήσουμε τήν ἀνάπαυση, νά βιάζουμε τόν ἑαυτό μας σέ κάθε περίπτωση, νά εἴμαστε νηφάλιοι, νά κόψουμε τό θέλημά μας, νά μήν προκαλοῦμε κανέναν καί νά μή φθονοῦμε κανένα».

44. Εἶπε ἀκόμη: «Βάλε τά δυνατά σου νά μήν ψηφίζεις[33] τόν ἑαυτό σου, γιά νά μπορέσεις νά κλάψεις τίς ἁμαρτίες σου.

τόν ὑπολογίζουμε κατά τρόπον πού περιμένει κανείς ἀναγνώριση ἀπό τούς ἄλλους.

πάσῃ δυνάμει σου μὴ φιλονικῆσαι περὶ πίστεως μηδὲ δογματίσαι, ἀλλ' ἀκολουθῆσαι τῇ καθολικῇ Ἐκκλησίᾳ. Οὐδεὶς γὰρ δύναταί τι καταλαβεῖν τῆς θεότητος.

45. Εἶπε πάλιν· Ὁ κτώμενος τὴν ταπεινοφροσύνην ἑαυτῷ ἐπιφέρει τὴν μέμψιν τοῦ ἀδελφοῦ αὐτοῦ λέγων ὅτι ἐγὼ ἐσφάλην. Ὁ δὲ τοῦ ἀδελφοῦ καταφρονῶν ἔχει ἑαυτὸν ὅτι σοφός ἐστι καὶ μέμφεται καὶ ἐπιπλήττει τὸν πλησίον αὐτοῦ· ὁ δὲ ἑαυτὸν μεμφόμενος οὐδέποτε ἔπληξέ τινα.

46. Εἶπε πάλιν· Μὴ λαλείτω σου ἡ γλῶσσα ἀλλ' ἡ πρᾶξις. Ἔστω σου ὁ λόγος ταπεινὸς ὑπὲρ τὴν πρᾶξιν. Μὴ λαλήσῃς ἐκτὸς συνειδήσεως καὶ μὴ διδάξῃς δίχα ταπεινώσεως, ἵνα ὑποδέξηται ἡ γῆ τὸν σπόρον σου.

47. Εἶπε πάλιν· Οὐκ ἔστι σοφία τὸ λαλῆσαι· σοφία δέ ἐστι τὸ γνῶναι τὸν καιρόν, ὅτε δεῖ λαλῆσαι. Ἐν γνώσει σιώπα· ἐν γνώσει λάλει· πρόσεχε πρὸ τοῦ λαλῆσαι καὶ ἀποκρίνου τὰ δέοντα. Γενοῦ ἄγνωστος ἐν γνώσει, ἵνα ἐκφύγῃς ἐκ πολλῶν κόπων. Ἑαυτῷ γὰρ ἐγείρει κόπους ὁ ἐμφανίζων ἑαυτὸν ἐν γνώσει. Μὴ καυχῶ ἐν γνώσει σου· οὐδεὶς γὰρ οὐδὲν οἶδε. Τέλος δὲ πάντων, τὸ μέμφεσθαι ἑαυτὸν καὶ τὸ εἶναι ὑποκάτω τοῦ πλησίον προσκολλᾷ σε τῇ θεότητι.

---

34. Μέ τήν ἔννοια: Τά λόγια σου νά μήν ἔχουν χαρακτήρα ἐπιδείξεως. Νά μήν ὑπερβαίνουν τά βιώματά σου, νά εἶναι περισσότερο ταπεινά ἀπ' ὅσο ζεῖς τήν ταπείνωση στήν πράξη, ὥστε νά πιάσει ὁ σπόρος πού θά ρίξεις.

35. Ἀπηχεῖ τό: ἓν οἶδα ὅτι οὐδὲν οἶδα. Βλ. Α´ Κορ. 8, 2.

Φρόντισε ἐπίσης μέ ὅλη σου τή δύναμη νά μή φιλονικεῖς γιά θέματα πίστεως οὔτε νά δογματίζεις ἀλλά νά ἀκολουθεῖς τήν μία καθολική Ἐκκλησία. Γιατί κανείς δέν μπορεῖ νά κατανοήσει κάτι σχετικά μέ τήν οὐσία τῆς Θεότητος».

45. Εἶπε πάλι: «Ἐκεῖνος πού ἀποκτᾶ τήν ταπεινοφροσύνη, παίρνει ἐπάνω του τό σφάλμα τοῦ ἀδελφοῦ του, λέγοντας: ἐγώ ἔσφαλα.

Ἐνῶ ἐκεῖνος πού καταφρονεῖ τόν ἀδελφό του, πιστεύει ὅτι ὁ ἴδιος εἶναι σοφός καί κατηγορεῖ καί ἐλέγχει τόν πλησίον του. Ἐκεῖνος ὅμως πού μέμφεται τόν ἑαυτό του δέν πληγώνει ποτέ κανέναν».

46. «Ἄς μή μιλάει ἡ γλώσσα σου –εἶπε ἄλλη φορά– ἀλλά ἡ πράξη. Ὁ λόγος σου νά 'ναι ταπεινός περισσότερο ἀπ' ὅ,τι ἡ πράξη[34].

Μήν μιλήσεις ἐρήμην τῆς συνειδήσεώς σου καί μή διδάξεις χωρίς ταπείνωση, γιά νά δεχθεῖ ἡ γῆ τόν σπόρο σου».

47. «Σοφία δέν εἶναι –εἶπε πάλι– τό νά μιλήσεις. Σοφία εἶναι τό νά ξέρεις πότε εἶναι ἡ κατάλληλη ὥρα νά μιλήσεις. Νά γνωρίζεις γιατί σιωπᾶς, νά γνωρίζεις γιατί μιλᾶς, νά σκέφτεσαι προτοῦ μιλήσεις καί νά λές τά πρέποντα.

Νά ἐπιδιώκεις συνειδητά νά φαίνεσαι χωρίς γνώση (πνευματική), γιά νά γλυτώσεις ἀπό πολλούς κόπους. Γιατί αὐτός πού ἐπιδιώκει νά προβάλλεται γιά τή γνώση του, προκαλεῖ κόπους στόν ἑαυτό του.

Μήν καυχᾶσαι γιά τή γνώση σου· γιατί κανείς δέν γνωρίζει τίποτε[35].

Καί ἀποκορύφωση ὅλων: τό νά μέμφεσαι τόν ἑαυτό σου καί τό νά εἶσαι χαμηλότερα ἀπό τόν πλησίον, σέ ἑνώνει μέ τή Θεότητα».

48. Εἶπεν ὁ ἀββᾶς Ἠσαΐας διὰ τὴν ταπεινοφροσύνην· Μνημονεύσωμεν τοῦ μὴ ἔχοντος ποῦ τὴν κεφαλὴν κλῖναι. Νόησον, ὦ ἄνθρωπε, καὶ μὴ μεγάλα φρόνει. Τίς ὤν, τί γέγονε διὰ σὲ ὁ Δεσπότης σου, ξένος καὶ οἶκον οὐκ ἔχων! Ὢ τῆς ἀφάτου σου φιλανθρωπίας, Κύριε! Τί τοσοῦτον δι᾿ ἐμὲ τὸ πλαστούργημα σαυτὸν ἐταπείνωσας!

Εἰ ὁ τὰ πάντα λόγῳ ποιήσας οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι, τί περισπᾶσαι, ταπεινὲ ἄνθρωπε, περὶ τὰ κτήματα; τί τυφλοῦσαι τῇ ἀπληστίᾳ; τί φαντάζῃ; τί οὐ συνάγεις καὶ τρυγᾷς τὸν ἐκεῖ ἀποκείμενον πλοῦτον; Τὰ πάντα γινώσκων τὸ καλὸν κάτεχε.

49. Εὐκαίρησέ ποτε ὁ ἀββᾶς Θεόδωρος μετὰ ἀδελφῶν. Καὶ ἐσθιόντων αὐτῶν, κατ᾿ εὐλάβειαν ἐλάμβανον τὰ ποτήρια σιωπῶντες καὶ οὐκ ἔλεγον τὸ συγχώρησον. Καὶ εἶπεν ὁ ἀββᾶς Θεόδωρος· Ἀπώλεσαν οἱ μοναχοὶ τὴν εὐγένειαν αὐτῶν, τὸ λέγειν συγχώρησον.

50. Ὁ αὐτὸς εἶπεν· Ἄλλη ἀρετὴ οὐκ ἔστιν ὡς τὸ μὴ ἐξουθενεῖν.

51. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Θεόδωρον λέγων· Θέλω ἐπιτελέσαι τὰς ἐντολάς. Λέγει αὐτῷ ὁ Γέρων περὶ τοῦ ἀββᾶ Θεωνᾶ ὅτι εἶπε καὶ αὐτός ποτε ὅτι θέλω πληρῶσαι τὸν λογισμόν μου μετὰ τοῦ Θεοῦ, καὶ λαβὼν σιτίαν εἰς τὸ ἀρτο-

---

36. Ματθ. 8, 20.

37. Δηλαδή ἐμπαθῶς νά στρέφεις καί νά ἐγκλωβίζεις ψυχικές δυνάμεις στήν ἐπιδίωξη κάποιου σκοποῦ (ἐδῶ πλουτισμοῦ).

48. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας γιά τήν ταπεινοφροσύνη: «Ἂς θυμόμαστε Αὐτόν πού δέν εἶχε ποῦ νά γείρει τό κεφάλι[36]. Κατάλαβέ το, ἄνθρωπε, καί μή μεγαλοφρονεῖς. Ποιός εἶναι καί τί ἔγινε γιά σένα ὁ Δεσπότης σου; Ξένος καί ἄστεγος. Ὢ, ἡ ἄφατη φιλανθρωπία Σου, Κύριε! Γιατί τόσο πολύ ταπεινώθηκες γιά μένα τό πλάσμα Σου!

Ἐάν Αὐτός πού μέ τόν λόγο του δημιούργησε τά πάντα δέν ἔχει ποῦ νά γείρει τό κεφάλι, γιά ποιόν λόγο νά περισπᾶσαι[37], ἐσύ φτωχέ ἄνθρωπε, στήν ἀπόκτηση κτημάτων; Γιατί τυφλώνεσαι ἀπό τήν ἀπληστία;[38] Γιατί κυνηγᾶς φαντασίες; Γιατί δέν μαζεύεις καί δέν κάνεις δικό σου τόν πλοῦτο πού μᾶς περιμένει ἐκεῖ;

Τά πάντα νά γνωρίζεις καί νά κάνεις κτῆμα σου τό καλό»[39].

49. Βρέθηκε κάποτε ὁ ἀββᾶς Θεόδωρος μέ ἀδελφούς καί τήν ὥρα πού ἔτρωγαν, εὐλαβικά ἔπαιρναν τά ποτήρια, ἀμίλητοι, ἀλλά δέν ἔλεγαν τό "συγχώρησον". Εἶπε τότε ὁ ἀββᾶς Θεόδωρος: «Ἔχασαν οἱ μοναχοί τήν εὐγένειά τους, νά λένε: συγχώρησον».

50. Ὁ ἴδιος εἶπε: «Καμιά ἀρετή δέν μπορεῖ νά συγκριθεῖ μέ τό νά μήν ἐξουθενώνουμε τούς ἄλλους».

51. Ἕνας ἀδελφός ἀνέφερε στόν ἀββᾶ Θεόδωρο τόν λογισμό του: «Θέλω νά ἐφαρμόσω τέλεια τίς ἐντολές τοῦ Θεοῦ». Καί ὁ Γέροντας τοῦ μίλησε γιά τόν ἀββᾶ Θεωνᾶ ὅτι κι αὐτός εἶπε κάποτε: Θέλω ὁ λογισμός μου νά ταυτίζεται πλήρως μέ τό θέλημα τοῦ Θεοῦ. Πῆρε κατόπιν σιτάρι καί

---

38. Λουκ. 12, 15-21. 39. Πρβλ. Α΄ Θεσ. 5, 21.

κοπεῖον ἐποίησεν ἄρτους. Καὶ αἰτησάντων αὐτὸν πτωχῶν, ἔδωκε τοὺς ἄρτους. Καὶ πάλιν αἰτησάντων ἄλλων, ἔδωκε τὰ σπυρίδια καὶ τὸ ἱμάτιον ὃ ἐφόρει. Καὶ εἰσῆλθεν εἰς τὸ κελλίον περιζωσάμενος τὸ μαφόριον. Καὶ οὕτω πάλιν ἐμέμφετο ἑαυτὸν λέγων ὅτι οὐκ ἐπλήρωσα τὴν ἐντολὴν τοῦ Θεοῦ.

52. Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Θεοδώρῳ· Εἰπέ μοι ῥῆμα, ὅτι ἀπόλλυμαι. Καὶ μετὰ κόπου εἶπεν αὐτῷ· Ἐγὼ κινδυνεύω καὶ τί σοι ἔχω εἰπεῖν;

53. Ἐλέγετο περὶ αὐτοῦ ὅτι γενόμενος διάκονος ἐν Σκήτει οὐκ ἤθελε καταδέξασθαι διακονεῖν καὶ εἰς πολλοὺς τόπους ἔφυγε. Καὶ πάλιν οἱ Γέροντες ἔφερον αὐτὸν λέγοντες· Μὴ καταλίπῃς τὴν διακονίαν σου. Λέγει αὐτοῖς ὁ ἀββᾶς Θεόδωρος· Ἐάσατέ με, καὶ δέομαι τοῦ Θεοῦ, εἰ πληροφορήσει με στῆναι εἰς τὸν τόπον τῆς λειτουργίας μου. Καὶ δεόμενος τοῦ Θεοῦ ἔλεγεν· Εἰ θέλημά σου ἐστίν, ἵνα στῶ εἰς τὸν τόπον μου, πληροφόρησόν με. Καὶ ἐδείχθη αὐτῷ στῦλος πυρὸς ἀπὸ τῆς γῆς ἕως τοῦ οὐρανοῦ, καὶ φωνὴ λέγουσα· Εἰ δύνασαι γενέσθαι ὡς ὁ στῦλος οὗτος, ὕπαγε διακόνησον. Ὁ δὲ ἀκούσας ἔκρινε μηκέτι καταδέξασθαι.

Ἐλθόντος οὖν αὐτοῦ εἰς τὴν ἐκκλησίαν, ἔβαλον αὐτῷ μετάνοιαν οἱ ἀδελφοὶ λέγοντες· Εἰ οὐ θέλεις διακονεῖν, κἂν τὸ ποτήριον κάτεχε. Καὶ οὐκ ἠνέσχετο λέγων· Ἐὰν μή με

40. Μαφόρι: εἶδος μπέρτας πού κάλυπτε τό κεφάλι καί τούς ὤμους (ὦμος+φέρω, λατινικό maforium).

ἔκανε ψωμιά στό ἀρτοποιεῖο. Τοῦ ζήτησαν ὅμως κάποιοι φτωχοί βοήθεια καί τούς ἔδωσε τά ψωμιά. Καί ἄλλοι ἔπειτα τοῦ ζήτησαν βοήθεια καί τούς δίνει τά ζεμπίλια καί τό ἔνδυμα πού φοροῦσε καί μπῆκε στό κελί του ζωσμένος τό μαφόρι[40]. Ἄν καί ἐνήργησε ἔτσι, καί πάλι κατηγοροῦσε τόν ἑαυτό του λέγοντας: Δέν ἐκπλήρωσα τήν ἐντολή τοῦ Θεοῦ.[41]

52. Ἀδελφός εἶπε στόν ἀββᾶ Θεόδωρο: «Πές μου κάποιον λόγο, γιατί χάνομαι». Καί τοῦ εἶπε μετά δυσκολίας: «Ἐγώ κινδυνεύω καί τί μπορῶ νά σοῦ πῶ;»

53. Ἔλεγαν γι' αὐτόν ὅτι, ὅταν ἔγινε διάκονος στή Σκήτη, δέν ἤθελε νά δεχθεῖ τήν διακονία καί πολλούς τόπους ἄλλαξε γιά νά τό ἀποφύγει. Ἀλλά οἱ Γέροντες τόν ἔφερναν πάλι λέγοντάς του: «Μήν ἐγκαταλείπεις τή διακονία σου». Καί ὁ ἀββᾶς Θεόδωρος τούς εἶπε: «Ἀφῆστε με, καί θά παρακαλέσω τόν Θεό μήπως μέ πληροφορήσει νά μείνω στόν τόπο τῆς διακονίας μου».

Προσευχόταν λοιπόν στόν Θεό καί ἔλεγε: «Ἐάν εἶναι θέλημά σου νά μείνω στόν τόπο μου, πληροφόρησέ με».

Καί τοῦ παρουσιάσθηκε ἕνας στύλος ἀπό φωτιά πού ἡ βάση του ἦταν στή γῆ καί ἔφτανε ὥς τόν οὐρανό, καί μιά φωνή ἔλεγε: «Ἐάν μπορεῖς νά γίνεις σάν τόν στύλο αὐτόν, πήγαινε καί ἀνάλαβε τή διακονία». Ἔτσι, ἔβγαλε τό συμπέρασμα ποτέ νά μήν ἀποδεχθεῖ.

Ὅταν πῆγε στήν ἐκκλησία τοῦ 'βαλαν μετάνοια οἱ ἀδελφοί καί τοῦ εἶπαν: «Ἐάν δέν θέλεις νά διακονεῖς, τουλάχιστον κράτα τό ἅγιο Ποτήριο». Ἀλλά καί αὐτό δέν τό

41. Τά ἀποφθέγματα 50 καί 51 ἀναφέρονται καί στόν Γ΄ τόμο στό κεφ. Περί διακρίσεως, σελ. 62.

ἀφῆτε, ἀναχωρῶ ἐκ τοῦ τόπου τούτου. Καὶ οὕτως αὐτὸν ἀφῆκαν.

54. Ὁ μακάριος Θεόφιλος ὁ ἀρχιεπίσκοπος παρέβαλέ ποτε εἰς τὸ ὄρος τῆς Νιτρίας. Καὶ ἦλθεν ὁ ἀββᾶς τοῦ ὄρους πρὸς αὐτόν, καὶ λέγει αὐτῷ ὁ ἀρχιεπίσκοπος· Τί εὗρες ἐν τῇ ὁδῷ ταύτῃ πλέον, πάτερ; Λέγει αὐτῷ ὁ Γέρων· Τὸ αἰτιᾶσθαι καὶ μέμφεσθαι ἑαυτὸν πάντοτε. Λέγει αὐτῷ ὁ ἀββᾶς Θεόφιλος· Ἄλλη ὁδὸς οὐκ ἔστιν, εἰ μὴ αὕτη.

55. Ὁ αὐτὸς ἀββᾶς Θεόφιλος ὁ ἀρχιεπίσκοπος παρέβαλέ ποτε εἰς τὴν Σκῆτιν. Συναχθέντες δὲ οἱ ἀδελφοὶ εἶπον τῷ ἀββᾷ Παμβῶ· Εἰπὲ ἕνα λόγον τῷ Πάπᾳ, ὅπως ὠφεληθῇ. Λέγει αὐτοῖς ὁ Γέρων· Εἰ οὐκ ὠφελεῖται ἐν τῇ σιωπῇ μου, οὐδὲ ἐν τῷ λόγῳ μου ὠφεληθῆναι ἔχει.

56. Ἔλεγεν ἡ ἀμμᾶς Θεοδώρα ὅτι οὐκ ἄσκησις, οὔτε ἀγρυπνία, οὔτε παντοῖος πόνος σῴζει, εἰ μὴ γνησία ταπεινοφροσύνη. Ἦν γάρ τις ἀναχωρητὴς ἀπελαύνων δαίμονας καὶ ἐξήταζεν αὐτούς· Ἐν τίνι ἐξέρχεσθε; ἐν νηστείᾳ; Καὶ ἔλεγον· Ἡμεῖς οὔτε ἐσθίομεν οὔτε πίνομεν. Ἐν ἀγρυπνίᾳ; Καὶ ἔλεγον· Ἡμεῖς οὐ κοιμώμεθα. Ἐν ἀναχωρήσει; Καὶ ἔλεγον· Ἡμεῖς εἰς τὰς ἐρήμους διάγομεν. Ἐν τίνι οὖν ἐξέρχεσθε; Καὶ ἔλεγον ὅτι οὐδὲν ἡμᾶς νικᾷ, εἰ μὴ ἡ ταπεινοφροσύνη. Ὁρᾷς ὅτι ἡ ταπεινοφροσύνη νικητής ἐστι τῶν δαιμόνων;

42. Διετέλεσε ἀρχιεπίσκοπος Ἀλεξανδρείας ἀπό τό 385-412. Βλ. Μ. Γερ. τ. Α΄, σελ. 76.

δέχθηκε καί τούς εἶπε: «Ἐάν δέν μέ ἀφήσετε, θά φύγω ἀπό τόν τόπο αὐτό». Καί ἔτσι τόν ἄφησαν.

54. Ὁ μακαριστός Θεόφιλος ὁ ἀρχιεπίσκοπος[42] ἐπισκέφθηκε κάποτε τό ὄρος τῆς Νιτρίας. Τόν προϋπάντησε ὁ ὑπεύθυνος ἀββᾶς τοῦ Ὄρους, καί ὁ ἀρχιεπίσκοπος τοῦ ὑπέβαλε τήν ἐρώτηση: «Τί περισσότερο βρῆκες, ἀββᾶ, σ' αὐτόν τόν τρόπο τῆς ζωῆς ἐδῶ;» Καί ὁ Γέροντας τοῦ εἶπε: «Τό νά ἀποδίδω τήν εὐθύνη τῶν ἐνεργειῶν μου στόν ἑαυτό μου καί αὐτόν νά κατηγορῶ πάντοτε». «Ὄντως –εἶπε ὁ ἀββᾶς Θεόφιλος– δέν ὑπάρχει ἄλλος τρόπος ἐκτός ἀπ' αὐτόν».

55. Ὁ ἴδιος ὁ ἀββᾶς Θεόφιλος ὁ ἀρχιεπίσκοπος πῆγε κάποτε στή Σκήτη. Συγκεντρώθηκαν οἱ ἀδελφοί καί εἶπαν στόν ἀββᾶ Παμβώ: «Πές ἕνα λόγο στόν ἀρχιεπίσκοπο νά ὠφεληθεῖ». «Ἐάν δέν ὠφελεῖται –ἀποκρίθηκε ὁ Γέροντας– μέ τή σιωπή μου οὔτε κι ἀπ' τά λόγια μου θά ὠφεληθεῖ».

56. Ἔλεγε ἡ ἀμμᾶς Θεοδώρα ὅτι οὔτε ἡ ἄσκηση σώζει οὔτε ἡ ἀγρυπνία οὔτε ὁποιοσδήποτε κόπος, παρά μόνο ἡ ταπεινοφροσύνη. Ἦταν ἕνας ἀναχωρητής πού ἔτρεπε σέ φυγή τούς δαίμονες καί τούς ἐξέταζε μέ ἐρωτήματα: «Μέ τι βγαίνετε ἀπό τόν ἄνθρωπο; Μέ νηστεία;» Καί ἔλεγαν: Εμεῖς οὔτε τρῶμε οὔτε πίνουμε».

«Μέ ἀγρυπνία;» Καί ἀπαντοῦσαν: «Ἐμεῖς δέν κοιμόμαστε». «Μέ τήν ἐρημική ζωή;» Καί ἔλεγαν: «Ἐμεῖς στίς ἐρήμους ζοῦμε».

«Μέ τί λοιπόν φεύγετε;» Καί εἶπαν: «Τίποτε δέν μᾶς νικάει παρά μόνο ἡ ταπεινοφροσύνη».

Βλέπεις ὅτι ἡ ταπεινοφροσύνη εἶναι ὁ νικητής τῶν δαιμόνων;

57. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ ὅτι εἰπέ ποτε τῷ ἀδελφῷ αὐτοῦ τῷ μειζοτέρῳ· Ἤθελον ἀμέριμνος εἶναι, ὡς οἱ ἄγγελοι ἀμέριμνοί εἰσι μηδὲν ἐργαζόμενοι, ἀλλ' ἀδιαλείπτως λατρεύοντες τῷ Θεῷ. Καὶ ἀποδυσάμενος τὸ ἱμάτιον αὐτοῦ ἐξῆλθεν εἰς τὴν ἔρημον. Καὶ ποιήσας ἑβδομάδα μίαν ἀνέκαμψε πρὸς τὸν ἀδελφὸν αὐτοῦ.

Καὶ ὡς ἔκρουσε τὴν θύραν, ὑπήκουσεν αὐτῷ πρὶν ἀνοίξει λέγων· Σὺ τίς εἶ; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι, Ἰωάννης ὁ ἀδελφός σου. Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ· Ἰωάννης γέγονεν ἄγγελος καὶ οὐκέτι ἐν ἀνθρώποις ἐστίν. Ὁ δὲ παρεκάλει λέγων· Ἐγώ εἰμι. Καὶ οὐκ ἤνοιξεν αὐτῷ, ἀλλ' ἀφῆκεν αὐτὸν ἕως πρωὶ θλίβεσθαι. Ὕστερον δὲ ἀνοίξας αὐτῷ λέγει· Ἄνθρωπος εἶ· χρείαν ἔχεις πάλιν ἐργάζεσθαι, ἵνα τραφῇς. Καὶ ἔβαλε μετάνοιαν λέγων· Συγχώρησόν μοι.

58. Ἤκουσεν ὁ ἀββᾶς Ἰωάννης ἀδελφοῦ εἰς τὸ θέρος λαλοῦντος τῷ πλησίον μετ' ὀργῆς· Ἔ! καὶ σύ· καὶ ἀφήσας τὸν θερισμὸν ἔφυγεν.

59. Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης ὅτι ἡ πύλη τοῦ οὐρανοῦ ἐστιν ἡ ταπείνωσις, καὶ οἱ Πατέρες ἡμῶν διὰ πολλῶν ὕβρεων χαίροντες εἰσῆλθον εἰς τὴν πόλιν τοῦ Θεοῦ.

60. Εἶπε πάλιν· Ἡ ταπεινοφροσύνη καὶ ὁ φόβος τοῦ Θεοῦ ὑπεράνω εἰσὶ πασῶν τῶν ἀρετῶν.

61. Εἶπε πάλιν· Τίς πέπρακε τὸν Ἰωσήφ; Καὶ ἀπεκρίθη τις ἀδελφὸς λέγων· Οἱ ἀδελφοὶ αὐτοῦ. Λέγει αὐτῷ ὁ Γέρων· Οὐχί, ἀλλ' ἡ ταπείνωσις αὐτοῦ πέπρακεν αὐτόν· ἠδύνατο

57. Ἔλεγαν γιά τόν ἀββᾶ Ἰωάννη τόν Κολοβό* ὅτι εἶπε κάποτε στόν ἀδελφό του τόν μεγάλο: «Θά ἤθελα νά εἶμαι ἀμέριμνος ὅπως εἶναι οἱ ἄγγελοι ἀμέριμνοι· δέν δουλεύουν καθόλου ἀλλά ἀδιαλείπτως λατρεύουν τόν Θεό». Ἔβγαλε στή συνέχεια τό ἐπανωφόρι του καί πῆγε στήν ἔρημο. Ἔκανε ἐκεῖ μιά ἑβδομάδα καί γύρισε πίσω στόν ἀδελφό του.

Χτύπησε τήν πόρτα κι ἐκεῖνος τοῦ εἶπε πρίν ἀνοίξει: «Ποιός εἶσαι ἐσύ;» «Ἐγώ εἶμαι –εἶπε ἐκεῖνος– ὁ Ἰωάννης ὁ ἀδελφός σου». «Ὁ Ἰωάννης –τοῦ ἀπάντησε– ἔγινε ἄγγελος καί δέν ἀναστρέφεται τούς ἀνθρώπους». «Ἐγώ εἶμαι» τόν παρακαλοῦσε· ἀλλά δέν τοῦ ἄνοιξε, τόν ἄφησε νά ταλαιπωρεῖται ὥς τό πρωί. Κατόπιν ἄνοιξε καί τοῦ εἶπε: «Ἄνθρωπος εἶσαι καί εἶναι ἀνάγκη νά δουλεύεις γιά νά ζήσεις». Τοῦ ἔβαλε μετάνοια τότε λέγοντας «Συγχώρεσέ με».

58. Ὅταν ὁ ἀββᾶς Ἰωάννης ἦταν στό θέρος, ἄκουσε ἕναν ἀδελφό νά λέει ὀργισμένος στόν διπλανό του: «Ἔ, κι ἐσύ». Παράτησε λοιπόν τόν θερισμό (ὁ ἀββᾶς Ἰωάννης) κι ἔφυγε.

59. Ἔλεγε ὁ ἀββᾶς Ἰωάννης: «Ἡ πόρτα τοῦ οὐρανοῦ εἶναι ἡ ταπείνωση. Καί οἱ Πατέρες μας, περνώντας μέ χαρά μέσα ἀπό πολλές καταφρονήσεις, μπῆκαν στήν πόλη τοῦ Θεοῦ».

60. Εἶπε ἐπίσης: «Ἡ ταπεινοφροσύνη καί ὁ φόβος τοῦ Θεοῦ εἶναι πάνω ἀπ' ὅλες τίς ἀρετές».

61. Ρώτησε κάποια φορά: «Ποιός πούλησε τόν Ἰωσήφ;» «Οἱ ἀδελφοί του» ἀποκρίθηκε ἕνας ἀδελφός. «Ὄχι» τοῦ λέει ὁ Γέροντας «ἡ ταπείνωσή του τόν πούλησε· γιατί μποροῦσε



Ποιμενικό τοπίο στή Βηθλεέμ

γὰρ εἰπεῖν ὅτι ἀδελφὸς αὐτῶν εἰμι καὶ ἀντιλέξαι, ἀλλὰ σιωπήσας τῇ ταπεινώσει ἑαυτὸν πέπρακε. Καὶ ἡ ταπείνωσις αὐτοῦ κατέστησεν αὐτὸν ἡγούμενον εἰς Αἴγυπτον.

62. Εἶπεν ὁ ἀββᾶς Ἰωάννης· Τὸ ἐλαφρὸν φορτίον ἐάσαντες, τουτέστι τὸ ἑαυτοὺς μέμφεσθαι, τὸ βαρὺ ἐβαστάσαμεν, τουτέστι τὸ ἑαυτοὺς δικαιοῦν.

63. Ὁ αὐτὸς ἐκάθητο εἰς τὴν ἐκκλησίαν καὶ ἐστέναξεν ἀγνοῶν ὅτι ἐστί τις ὄπισθεν αὐτοῦ. Γνοὺς δὲ ἔβαλε μετάνοιαν λέγων· Συγχώρησόν μοι, ἀββᾶ· οὔπω γὰρ κατηχήθην.

43. Γέν. κεφ. 37 κ.έ.



"...καὶ ἐτελεύτησεν Ἰακὼβ καὶ οἱ πατέρες ἡμῶν, καὶ μετετέθησαν εἰς Συχέμ" (Πράξ. 7, 15-16)

νά πεῖ "εἶμαι ἀδελφός τους" καί νά ἀντιδράσει, ἀλλά σώπασε καί χάρη στήν ταπείνωση πούλησε τόν ἑαυτό του. Καί ἡ ταπείνωσή του τόν κατέστησε ἄρχοντα στήν Αἴγυπτο[43]».

62. Εἶπε ὁ ἀββᾶς Ἰωάννης: «Ἀφήσαμε τό ἐλαφρύ φορτίο, δηλαδή τό νά μεμφόμαστε τόν ἑαυτό μας καί κουβαλᾶμε τό βαρύ, δηλαδή τό νά δικαιώνουμε τόν ἑαυτό μας».

63. Ὁ ἴδιος καθόταν στή σύναξη καί στέναξε μή γνωρίζοντας ὅτι κάποιος εἶναι πίσω του. Ὅταν τό κατάλαβε, ἔβαλε μετάνοια λέγοντας: «Συγχώρεσέ με, ἀββᾶ· εἶμαι ἀκόμη ἀκατήχητος».

64. Ὁ αὐτὸς εἶπε τῷ ἀδελφῷ αὐτοῦ· Εἰ καὶ πάνυ εὐτελεῖς ἐσμεν ἐνώπιον τῶν ἀνθρώπων, ἀλλὰ θαρρῶμεν, ὅπως τιμηθῶμεν ἐνώπιον τοῦ Θεοῦ.

65. Ὁ αὐτὸς γέγονε ζέων τῷ πνεύματι. Παραβαλὼν οὖν τις αὐτῷ ἐπήνεσεν αὐτοῦ τὸ ἔργον. Εἰργάζετο δὲ τὴν σειρὰν καὶ ἐσιώπησε. Πάλιν ἐκεῖνος ἐκίνησεν αὐτῷ λόγον, καὶ πάλιν ἐσιώπησε. Τὸ τρίτον, λέγει τῷ παραβαλόντι· Ἀφ' οὗ εἰσῆλθες ἐνταῦθα, ἔβαλες τὸν Θεὸν ἀπ' ἐμοῦ.

66. Ὁ αὐτὸς ἐκάθητό ποτε ἐν Σκήτει, καὶ οἱ ἀδελφοὶ αὐτοῦ κύκλῳ αὐτοῦ ἐρωτῶντες τοὺς λογισμοὺς ἑαυτῶν. Καὶ λέγει αὐτῷ εἷς τῶν Γερόντων· Ἰωάννη, ὡς πόρνη καλλωπίζουσα ἑαυτήν, οὕτως εἶ, ἥτις πληθύνει τοὺς ἐραστὰς αὐτῆς. Καὶ περιπτυξάμενος αὐτὸν ὁ ἀββᾶς Ἰωάννης λέγει· Ἀλήθειαν λέγεις, πάτερ. Καὶ μετὰ ταῦτα εἶπέ τις τῶν μαθητῶν αὐτοῦ· Ἆρα οὐ ταράσσῃ ἔνδον, ἀββᾶ; Καὶ λέγει· Οὐχί, ἀλλ' ὡς εἰμὶ ἔξωθεν, οὕτω καὶ ἔσωθεν.

67. Εἶπέ τις τῶν Πατέρων περὶ αὐτοῦ ὅτι· Τίς ἐστιν Ἰωάννης, ὅτι διὰ τῆς ταπεινώσεως αὐτοῦ ἐκρέμασεν ὅλην τὴν Σκῆτιν ἐν τῷ μικρῷ δακτύλῳ αὐτοῦ.

68. Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς ὅτι Γέρων τις

44. Ρωμ. 12, 11.

45. Σειρά: Ἔτσι ὀνόμαζαν τά σχοινιά ἤ τίς πλεξοῦδες πού ἔκαναν οἱ μοναχοί μέ φοινικόφυλλα καί βλαστούς φοινίκων ἤ καί μέ βοῦρλα. Συρράπτον-

64. Ὁ ἴδιος εἶπε στόν ἀδελφό του: «Ἄν καί δέν ἔχουμε καμία ἀξία ἐνώπιον τῶν ἀνθρώπων, πιστεύουμε ὅμως νά μᾶς τιμήσει ὁ Θεός».

65. Ὁ ἴδιος ὁ ἀββᾶς ἦταν πάντοτε μέ πολύ ζῆλο πνευματικό καί ἐνθουσιασμό[44]. Κάποτε λοιπόν τόν ἐπισκέφθηκε κάποιος καί παίνεψε τή δουλειά του. Δούλευε δηλαδή τή σειρά[45] καί δέν μίλησε. Σέ λίγο ὁ ἐπισκέπτης ἄρχισε πάλι νά τοῦ μιλάει κι ἐκεῖνος πάλι δέν ἔβγαλε μιλιά. Ὅταν γιά τρίτη φορά ἐπανέλαβε, τοῦ εἶπε: «Ἀπό τή στιγμή πού μπῆκες ἐδῶ μέσα μοῦ ἀπομάκρυνες τόν Θεό».

66. Ὁ ἀββᾶς Ἰωάννης μόναζε κάποτε στή Σκήτη καί οἱ μαθητές του κάθονταν γύρω του καί τόν συμβουλεύονταν γιά τούς λογισμούς τους. Τοῦ λέει λοιπόν ἕνας Γέροντας: «Ἰωάννη, σάν μιά πόρνη πού καλλωπίζει τόν ἑαυτό της καί πληθαίνει τούς ἐραστές της, ἔτσι εἶσαι κι ἐσύ». Τόν ἀγκαλιάζει τότε ὁ ἀββᾶς Ἰωάννης καί τοῦ λέει: «Ἀλήθεια εἶναι, πάτερ, αὐτό πού λές».

Κατόπιν τόν ρώτησε ἕνας ἀπό τούς μαθητές του: «Ἄραγε δέν ταράζεσαι μέσα σου, ἀββᾶ;» «Ὄχι –τοῦ λέει– ὅπως εἶμαι ἀπ' ἔξω, ἔτσι εἶμαι κι ἀπό μέσα».

67. Σχετικά μέ τό ποιός εἶναι ὁ Ἰωάννης, εἶπε κάποιος ἀπό τούς Πατέρες ὅτι μέ τήν ταπείνωσή του κρέμασε ὅλη τή Σκήτη στό μικρό του δάκτυλο.

68. Εἶπε ὁ Ἰωάννης ὁ Κολοβός ὅτι κάποιος Γέροντας, προχωρημένος στήν πνευματική ζωή, ἔγινε ἔγκλειστος·

τας τίς πλεξοῦδες σχημάτιζαν τά ζεμπίλια, τά πανέρια, τά καλάθια καί ἄλλα παρόμοια χρήσιμα σκεύη.

πνευματικὸς ἀπέκλεισεν ἑαυτὸν καὶ ἦν ἐπίσημος ἐν τῇ πόλει καὶ δόξαν πολλὴν ἔχων. Ἐδηλώθη δὲ τούτῳ ὅτι μέλλει τις τῶν ἁγίων ἀναλύειν καὶ δεῦρο, ἄσπασαι αὐτὸν πρὶν κοιμηθῆναι. Καὶ ἐνεθυμήθη ἐν ἑαυτῷ ὅτι, ἐὰν ἐξέλθω ἡμέρας, ἐπιτρέχουσί μοι οἱ ἄνθρωποι καὶ πολλή μοι ἡ δόξα γίνεται καὶ οὐκ ἀναπαύομαι ἐνταῦθα· ἀπέρχομαι οὖν ὀψὲ τῇ σκοτίᾳ καὶ λανθάνω πάντας.

Ὀψὲ οὖν ἐξῆλθεν ἐκ τοῦ κελλίου ὡς θέλων λαθεῖν. Καὶ ἰδοὺ ἐκ τοῦ Θεοῦ πέμπονται δύο ἄγγελοι μετὰ λαμπάδων φαίνοντες αὐτῷ. Καὶ λοιπὸν πᾶσα ἡ πόλις κατέδραμε βλέπουσα τὴν δόξαν. Καὶ ὅσον ἔδοξε φεύγειν τὴν δόξαν, πλέον ἐδοξάσθη. Ἐν τούτῳ πληροῦται τὸ γεγραμμένον· Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

69. Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὁ Θηβαῖος· Ὀφείλει ὁ μοναχὸς πρὸ πάντων τὴν ταπεινοφροσύνην κατορθῶσαι· αὕτη γάρ ἐστιν ἡ πρώτη ἐντολὴ τοῦ Σωτῆρος λέγοντος· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν.

70. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν περὶ τοῦ ἀββᾶ Ἰσιδώρου ὅτι ἔπλεκε δέμα θαλλίων κατὰ νύκτα, καὶ παρεκάλουν αὐτὸν οἱ ἀδελφοὶ λέγοντες· Ἀνάπαυσον σεαυτὸν ὀλίγον, ὅτι λοιπὸν ἐγήρασας. Καὶ ἔλεγεν αὐτοῖς ὅτι ἐὰν καύσωσιν Ἰσίδωρον καὶ τὴν σποδὸν αὐτοῦ ἀνέμῳ σκορπίσωσιν, οὐδὲ μία μοι χάρις ἀκμήν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ὧδε ἦλθε δι' ἡμᾶς.

46. Ματθ. 23, 12.

47. Ματθ. 5, 3.

ἀλλά ἦταν πολύ γνωστός στούς κατοίκους τῆς πόλεως καί εἶχε μεγάλη φήμη. Τοῦ ἀνακοινώθηκε λοιπόν ὅτι κάποιος ἅγιος ἄνθρωπος εἶναι ἑτοιμοθάνατος· «ἔλα –τοῦ εἶπαν– νά τόν ἀσπασθεῖς πρίν κοιμηθεῖ». Καί σκέφθηκε ὁ Γέροντας: «Ἐάν βγῶ μέρα, θά τρέχουν ἀπό πίσω μου οἱ ἄνθρωποι καί θά μοῦ γίνει πολλή δόξα καί δέν ἀναπαύομαι σέ τέτοια πράγματα. Θά βγῶ λοιπόν ἀργά μέ τό σκοτάδι καί δέν θά μέ δεῖ κανείς».

Βγῆκε πράγματι ἀργά τό βράδυ ἀπό τό κελί του, καθώς ἤθελε νά μήν τόν δοῦν. Καί νά πού στέλλονται ἀπό τόν Θεό δυό ἄγγελοι μέ λαμπάδες πού ἔφεγγαν πρός αὐτόν. Ἔτσι ὅλη ἡ πόλη βλέποντας τή λαμπρότητα αὐτή, ἔτρεξαν νά τόν δοῦν. Ὅσο λοιπόν ἦταν ἀποφασισμένος νά ἀποφύγει τή δόξα τῶν ἀνθρώπων, τόσο πιό πολύ δοξάσθηκε.

Στό πρόσωπό του ἐκπληρώθηκε τό ρητό: «Ὅποιος ὑψώσει τόν ἑαυτό του θά ταπεινωθεῖ· καί ὅποιος ταπεινώσει τόν ἑαυτό του θά ὑψωθεῖ[46]».

69. Εἶπε ὁ ἀββᾶς Ἰωάννης ὁ Θηβαῖος: «Ὀφείλει ὁ μοναχός πάνω ἀπ' ὅλα νά ἀποκτήσει τήν ταπεινοφροσύνη· γιατί αὐτή εἶναι ἡ πρώτη ἐντολή τοῦ Σωτῆρος πού εἶπε: Μακάριοι ὅσοι ἔχουν ταπεινό φρόνημα, γιατί δική τους εἶναι ἡ Βασιλεία τῶν Οὐρανῶν[47]».

70. Ἔλεγε ὁ ἀββᾶς Ποιμήν γιά τόν ἀββᾶ Ἰσίδωρο ὅτι ἔπλεκε ἕνα δεμάτι φοινικόκλαδα κάθε νύκτα. Τόν παρακαλοῦσαν οἱ ἀδελφοί καί τοῦ ἔλεγαν: «Ξεκούρασε τόν ἑαυτό σου, γιατί γέρασες πιά». Κι ἐκεῖνος ἀπαντοῦσε «κι ἄν κάψουν τόν Ἰσίδωρο καί σκορπίσουν τήν στάχτη του στούς ἀνέμους, οὔτε καί αὐτό μπορεῖ νά προστεθεῖ στό ἐνεργητικό μου ὡς μιά θεάρεστη πράξη, ἀφοῦ ὁ Υἱός τοῦ Θεοῦ ἦρθε ἐδῶ στή γῆ γιά χάρη μας».

71. Ὁ αὐτὸς εἶπε περὶ τοῦ ἀββᾶ Ἰσιδώρου ὅτι ἔλεγον αὐτῷ οἱ λογισμοί· Μέγας εἶ ἄνθρωπος. Καὶ ἔλεγε πρὸς αὐτούς· Μή εἰμι κατὰ τὸν Ἀντώνιον ἢ ἐγενόμην ὅλως κατὰ τὸν ἀββᾶν Παμβὼ ἢ ὡς οἱ λοιποὶ Πατέρες οἱ τῷ Θεῷ εὐαρεστήσαντες; Ὅτε ταῦτα παρεισήνεγκεν, ἀνεπαύετο· ὅτε δὲ ἡ ἔχθρα ἐποίει αὐτὸν ὀλιγοψυχῆσαι, ὡς ὅτι μετὰ ταῦτα πάντα εἰς κόλασιν ἔχεις βληθῆναι, ἔλεγεν αὐτὸς πρὸς αὐτοὺς ὅτι κἂν εἰς κόλασιν ἐμβληθῶ, ὑμᾶς ὑποκάτω εὑρίσκω.

72. Ὁ αὐτὸς ἔλεγεν· Ἐπειδὴ μέγα τῆς ταπεινοφροσύνης τὸ ὕψος καὶ τῆς ἀλαζονείας τὸ πτῶμα, συμβουλεύω ὑμῖν ἐκεῖνο μὲν ἀσπάσασθαι, τούτῳ δὲ μὴ περιπεσεῖν.

73. Εἶπεν ὁ ἀββᾶς Ἰσαάκ· Ὅτε ἤμην νεώτερος, ἐκαθήμην μετὰ τοῦ ἀββᾶ Κρονίου, καὶ οὐδέποτε εἰπέ μοι ποιῆσαι ἔργον καίπερ γέρων ὢν καὶ τρέμων, ἀλλὰ δι' ἑαυτοῦ ἠγείρετο καὶ παρεῖχε τὸ βαυκάλιον ἐμοὶ καὶ πᾶσιν ὁμοίως. Καὶ μετὰ τοῦ ἀββᾶ Θεοδώρου τῆς Φέρμης ἐκάθισα, καὶ οὐδὲ αὐτὸς ἔλεγέ μοι ποιῆσαι τίποτε, ἀλλὰ καὶ τὴν τράπεζαν δι' ἑαυτοῦ ἐτίθει καὶ ἔλεγεν· Ἀδελφέ, ἐὰν θέλῃς, δεῦρο φάγε. Ἐγὼ δὲ πρὸς αὐτὸν ἔλεγον· Ἀββᾶ, ἦλθον πρὸς σέ, ἵνα ὠφεληθῶ, καὶ πῶς οὐ λέγεις μοι τίποτε ποιῆσαι; Ὁ δὲ Γέρων πάντα ἐσιώπα, καὶ ἀπῆλθον καὶ ἀνήγγειλα τοῖς Γέρουσι. Καὶ ἐλθόντες πρὸς αὐτὸν οἱ Γέροντες εἶπον αὐτῷ· Ἀββᾶ, ἦλθεν ὁ ἀδελφὸς πρὸς τὴν ἁγιωσύνην σου ὠφεληθῆναι, καὶ διατί οὐ λέγεις αὐτῷ, ἵνα ποιήσῃ τίποτε; Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Μὴ γὰρ κοινοβιάρχης εἰμί, ἵνα διατάξωμαι αὐτῷ; Ἐγὼ τέως οὐδὲν λέγω αὐτῷ, ἀλλ' ἐὰν θέλῃ, ὃ βλέπει ποιοῦντά με, ποιήσῃ καὶ αὐτός.

48. Πρβλ. Α' Πέτρ. 5, 5-6.

71. Ὁ ἴδιος εἶπε γιά τόν ἀββᾶ Ἰσίδωρο ὅτι ὁ λογισμός τοῦ ἔλεγε: «Εἶσαι σπουδαῖος ἄνθρωπος». Καί τοῦ ἀπαντοῦσε: «Μήν εἶμαι στά μέτρα τοῦ ἀββᾶ Ἀντωνίου ἤ ἔφθασα σέ ὅλα τόν ἀββᾶ Παμβώ ἤ καί τούς ἄλλους Πατέρες πού εὐαρέστησαν στόν Θεό;» Καί σάν ἔλεγε αὐτά στόν λογισμό του, αἰσθανόταν ἀνάπαυση. Ὅταν ὅμως οἱ δαίμονες τόν ἔκαναν νά ὀλιγοψυχήσει μέ τόν λογισμό ὅτι τάχα στό τέλος σέ περιμένει ἡ κόλαση, ἔλεγε σ' αὐτούς ὅτι κι ἄν μέ ρίξουν στήν κόλαση, ἐσεῖς θά εἶστε πιό κάτω ἀπό μένα.

72. Ὁ ἴδιος ἔλεγε: «Ἐπειδή εἶναι μεγάλο τό ὕψος τῆς ταπεινοφροσύνης, καί τῆς ἀλαζονείας τό βάραθρο, σᾶς συμβουλεύω νά ἐγκολπωθεῖτε τό πρῶτο καί στό δεύτερο νά μήν περιπέσετε[48]».

73. Εἶπε ὁ ἀββᾶς Ἰσαάκ: «Στά νεανικά μου χρόνια ἀσκήτευα μαζί μέ τόν ἀββᾶ Κρόνιο, καί ποτέ δέν μοῦ εἶπε νά κάνω κάποια δουλειά ἄν καί ἦταν γέρος καί ἔτρεμε· ἀντίθετα σηκωνόταν μόνος του καί πρόσφερε τό κανάτι τοῦ νεροῦ σέ μένα ἀλλά καί σέ ὅλους.

Ἀσκήτευσα καί μέ τόν ἀββᾶ Θεόδωρο τῆς Φέρμης*· οὔτε κι αὐτός μοῦ ἔλεγε νά κάνω κάτι· τήν τράπεζα μόνος του τήν ἑτοίμαζε καί ἔλεγε: "Ἀδελφέ, ἄν θέλεις ἔλα νά φᾶς". Κι ἐγώ τοῦ ἔλεγα: "Ἀββᾶ, ἦρθα κοντά σου γιά νά ὠφεληθῶ καί γιατί δέν μοῦ λές νά κάνω κάτι;" Ὁ Γέροντας πάντοτε ἔμενε σιωπηλός. Πῆγα λοιπόν καί τό ἀνέφερα στούς Γέροντες. Κι ἐκεῖνοι ἦρθαν καί τοῦ εἶπαν: "Ἀββᾶ, ὁ ἀδελφός ἦρθε στήν ἁγιοσύνη σου γιά νά ὠφεληθεῖ, καί γιατί δέν τοῦ λές νά κάνει κάτι;" Καί ὁ Γέροντας εἶπε: "Μήν εἶμαι τάχα κοινοβιάρχης γιά νά τόν διατάξω; Ἐγώ δέν πρόκειται νά τοῦ πῶ τίποτε, ἀλλά, ἄν θέλει, αὐτό πού βλέπει νά κάνω ἐγώ, ἄς τό κάνει κι αὐτός".

Ἀπὸ τότε οὖν προελάμβανον καὶ ἐποίουν, εἴ τι ἔμελλεν ὁ Γέρων ποιεῖν, αὐτὸς δέ, εἴ τι ἐποίει, σιωπῶν ἐποίει. Καὶ τοῦτό με ἐδίδαξε, τὸ ποιεῖν μετὰ σιωπῆς πάντα.

74. Εἶπεν ὁ ἀββᾶς Ἰσαὰκ ὅτι οὐδέποτε εἰσήνεγκα εἰς τὸ κελλίον μου λογισμὸν κατὰ ἀδελφοῦ θλίψαντός με· κἀγὼ ἐσπούδασα μὴ ἀφεῖναι ἀδελφὸν εἰσενεγκεῖν εἰς τὸ κελλίον αὐτοῦ κατ᾽ ἐμοῦ λογισμόν.

75. Εἶπεν ὁ ἀββᾶς Ἰάκωβος ὅτι ἐπαινούμενον δεῖ λογίζεσθαι τὰς ἁμαρτίας αὐτοῦ καὶ ἐννοεῖν ὅτι οὐκ ἔστιν ἄξιος τῶν λεγομένων.

76. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Κρόνιον· Ποίῳ τρόπῳ ἔρχεται ἄνθρωπος εἰς ταπεινοφροσύνην; Λέγει αὐτῷ ὁ Γέρων ὅτι διὰ τοῦ φόβου τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ ἀδελφός· Καὶ διὰ ποίου πράγματος ἔρχεται εἰς τὸν φόβον τοῦ Θεοῦ; Λέγει αὐτῷ ὁ Γέρων· Τὸ κατ᾽ ἐμέ, ἵνα συστείλῃ ἑαυτὸν ἀπὸ παντὸς πράγματος καὶ δώσῃ ἑαυτὸν εἰς κόπον σωματικόν, ὅσην ἔχει ἰσχύν, καὶ μνημονεύσῃ τῆς ἐκ τοῦ σώματος ἐξόδου καὶ τῆς κρίσεως τοῦ Θεοῦ.

77. Εἶπεν ὁ ἀββᾶς Κρόνιος ὅτι διηγήσατο ἡμῖν ὁ ἀββᾶς Ἰωσὴφ ὁ τοῦ Πηλουσίου ὅτι καθημένου μου εἰς τὸ Σινᾶ, ἦν ἐκεῖ ἀδελφὸς καλὸς καὶ ἀσκητής, ἀλλὰ καὶ κατὰ τὸ σῶμα εὐειδής, ἤρχετο δὲ εἰς τὴν ἐκκλησίαν εἰς τὴν σύναξιν φορῶν πολύρραφον καὶ μικρὸν μαφόριον παλαιόν. Καὶ θεωρῶν αὐτὸν καθ᾽ ἅπαξ οὕτως εἰς τὴν σύναξιν ἐρχόμενον λέγω αὐτῷ· Ἀδελφέ, οὐ βλέπεις τοὺς ἀδελφοὺς πῶς εἰσιν ὡς ἄγγελοι εἰς τὴν ἐκκλησίαν; Πῶς σὺ πάντοτε οὕτως ἔρχῃ ὧδε; Ὁ

49. Βλ. σελ. 50, ὑποσημ. 40.

Ἔτσι ἀπό τότε προλάμβανα καί ἔκανα ὅ,τι ἦταν νά κάνει ὁ Γέροντας· καί ὁ ἴδιος ὅ,τι ἔκανε, τό ἔκανε ἀμίλητος. Καί μοῦ ἔμαθε αὐτό τό μάθημα, νά κάνω τά πάντα σιωπηλός».

74. Εἶπε ὁ ἀββᾶς Ἰσαάκ: «Ποτέ δέν ἔφερα μέσα στό κελί μου λογισμό ἐναντίον ἀδελφοῦ, πού μέ στεναχώρεσε. Καί ἀπό μέρους μου εἶχα τήν ἔννοια νά μή δώσω ἀφορμή σέ ἀδελφό νά φέρει στό κελί του λογισμό ἐναντίον μου».

75. Εἶπε ὁ ἀββᾶς Ἰάκωβος ὅτι ὅταν ἐπαινεῖται κανείς, πρέπει νά σκέφτεται τίς ἁμαρτίες του καί νά αἰσθάνεται ὅτι δέν ἀξίζει γι᾽ αὐτά πού λέγονται.

76. Ρώτησε ἀδελφός τόν ἀββᾶ Κρόνιο: «Μέ ποιόν τρόπο φθάνει ὁ ἄνθρωπος στήν ταπεινοφροσύνη;» «Μέ τόν φόβο τοῦ Θεοῦ» ἀπαντᾶ ὁ Γέροντας. «Καί τί κάνοντας –ρωτάει πάλι ὁ ἀδελφός– φθάνει στόν φόβο τοῦ Θεοῦ;» «Ὅπως τά βλέπω ἐγώ –λέει ὁ Γέροντας– μέ τό νά περιμαζεύει τόν ἑαυτό του ἀπό κάθε τι καί νά τόν δίνει σέ κόπο σωματικό μέ ὅση δύναμη ἔχει, καί νά θυμᾶται τήν ἔξοδό του ἀπό τόν κόσμο αὐτό καί τήν κρίση τοῦ Θεοῦ».

77. Εἶπε ὁ ἀββᾶς Κρόνιος ὅτι ὁ ἀββᾶς Ἰωσήφ ἀπό τό Πηλούσιο μᾶς διηγήθηκε τό ἑξῆς: «Ὅταν μόναζα στό Σινᾶ βρισκόταν ἐκεῖ ἕνας καλός ἀδελφός καί ἀσκητικός ἀλλά καί στήν ἐμφάνιση ὡραῖος. Αὐτός λοιπόν ἐρχόταν στή σύναξη τῆς ἐκκλησίας ντυμένος μ᾽ ἕνα χιλιομπαλωμένο, κοντό καί παλιό μαφόρι[49]. Καί βλέποντάς τον νά ἔρχεται ἔτσι στή σύναξη πάντοτε, τοῦ εἶπα: "Ἀδελφέ, δέν βλέπεις τούς ἀδελφούς πῶς εἶναι σάν ἄγγελοι μέσα στήν ἐκκλησία; Πῶς σύ ἔρχεσαι ἐδῶ ἔτσι πάντοτε;" Κι ἐκεῖνος εἶπε: "Συγχώρε-

δὲ ἔφη· Συγχώρησόν μοι, ἀββᾶ, ὅτι οὐκ ἔχω ἄλλα. Καὶ λαβὼν αὐτὸν ἐν τῷ κελλίῳ μου ἔδωκα αὐτῷ λεβήτωνα καὶ εἴ τι ἄλλο ἔχρῃζεν. Καὶ ἐφόρει λοιπὸν ὡς καὶ οἱ λοιποὶ ἀδελφοί. Καὶ ἦν ἰδεῖν αὐτὸν ὡς ἄγγελον.

Ἐγένετο δέ ποτε χρεία τοῖς Πατράσιν ἀποστεῖλαι δέκα ἀδελφοὺς πρὸς τὸν βασιλέα διά τινα χρείαν. Καὶ ἐψηφίσαντο καὶ αὐτὸν μετὰ τῶν ὑπαγόντων. Ὡς δὲ ἤκουσεν, ἔβαλε μετάνοιαν τοῖς Πατράσι λέγων· Διὰ τὸν Κύριον συγχωρήσατέ μοι, ὅτι δοῦλός εἰμί τινος μεγάλου τῶν ἐκεῖ, καὶ ἐὰν γνωρίσῃ με, ἀποσχηματίζει με καὶ φέρει με πάλιν εἰς τὸ δουλεύειν αὐτῷ. Μετὰ οὖν τὸ πεισθῆναι τοὺς Πατέρας καὶ ἀφεῖναι αὐτόν, ἔμαθον ὕστερον παρά τινος ἀκριβῶς ἐπισταμένου αὐτόν, ὅτι ὅτε ἦν ἐν τῷ κόσμῳ, ἔπαρχος πραιτωρίων ὑπῆρχε· καί, ἵνα μὴ γνωσθῇ καὶ ὄχλησιν εὕρῃ ἐκ τῶν ἀνθρώπων, τοῦτο προεφασίσατο. Τοσαύτη ἦν ἡ σπουδὴ τοῖς Πατράσι φεύγειν τὴν δόξαν καὶ τὴν ἀνάπαυσιν τοῦ κόσμου τούτου.

78. Γέγονέ τις ἐν Σκήτει μοναχός, ἀββᾶς Καρίων λεγόμενος. Οὗτος ἐσχηκὼς δύο τέκνα, ἐάσας αὐτὰ τῇ ἰδίᾳ γυναικὶ ἀνεχώρησε. Μετὰ δὲ καιρόν, λιμοῦ γενομένου ἐν τῇ Αἰγύπτῳ, στενωθεῖσα ἡ γυνὴ αὐτοῦ ἦλθεν ἐν Σκήτει φέρουσα τὰ δύο παιδία αὐτῆς μεθ' ἑαυτῆς. Ἦν δὲ τὸ ἓν ἀρρενικόν, λεγόμενον Ζαχαρίας, τὸ δὲ ἕτερον θηλυκόν. Καὶ καθίσασα πόρρωθεν τοῦ Γέροντος ἐν τῷ ἕλει –ἕλος γὰρ παράκειται ἐν τῇ Σκήτει, ἔνθα καὶ αἱ ἐκκλησίαι ᾠκοδόμηνται καὶ αἱ πηγαὶ

50. Λεβήτων-ωνος: ἡ λ. αὐτή τοῦ ἀρχαίου κειμένου, πού τή μεταφράζουμε ὡς ἔνδυμα, ἄλλοτε σημαίνει ράσο καί ἄλλοτε κολόβιο.

σέ με, ἀββᾶ, δέν ἔχω ἄλλα". Τόν πῆρα κατόπιν στό κελί μου καί τοῦ ἔδωσα ἕνα ἔνδυμα[50] καί ὅ,τι ἄλλο χρειαζόταν. Ἔτσι ἐρχόταν στό ἑξῆς ντυμένος ὅπως καί οἱ ἄλλοι ἀδελφοί καί ἔμοιαζε σάν ἄγγελος.

Μετά ἀπό καιρό παρουσιάσθηκε ἡ ἀνάγκη νά στείλουν οἱ Πατέρες δέκα ἀδελφούς στόν βασιλιά γιά κάποιο θέμα. Καί ἀποφάσισαν νά συγκαταλεχθεῖ καί αὐτός στήν ἀποστολή. Ἀλλά αὐτός μόλις τό ἄκουσε ἔβαλε μετάνοια στούς Πατέρες καί εἶπε: "Γιά χάρη τοῦ Κυρίου συγχωρῆστε με· εἶμαι δοῦλος κάποιου ἀξιωματούχου τοῦ παλατιοῦ καί ἐάν μέ γνωρίσει, θά μέ ἀποσχηματίσει καί θά μέ πάρει πάλι στήν ὑπηρεσία του". Ὄντως οἱ Πατέρες πείσθηκαν καί τόν ἄφησαν· ἀργότερα ὅμως ἔμαθαν ἀπό κάποιον πού τόν γνώριζε πολύ καλά ὅτι, πρίν γίνει μοναχός, ἦταν διοικητής τῶν ἀνακτόρων καί γιά νά μήν τόν ἀντιληφθεῖ κανένας ἀπό τούς ἀνθρώπους πού τόν γνώριζαν καί τοῦ δημιουργήσουν πρόβλημα, χρησιμοποίησε τήν πρόφαση πού ἀνέφερε. Μέ τόσο μεγάλο ζῆλο οἱ Πατέρες ἀπέφευγαν τήν δόξα καί τήν καλοπέραση στή ζωή αὐτή».

78. Ἔζησε κάποτε στή Σκήτη μοναχός πού ὀνομαζόταν Καρίων*. Αὐτός εἶχε δυό παιδιά πού τά ἄφησε στή γυναίκα του, καί ἔφυγε στήν ἔρημο. Μετά ἀπό λίγο καιρό ἔπεσε πείνα στήν Αἴγυπτο. Ἡ γυναίκα του βρέθηκε σέ πολύ δύσκολη θέση καί μαζί μέ τά δυό της παιδιά πῆγε στή Σκήτη. Τό ἕνα ἀπό τά παιδιά ἦταν ἀγόρι, πού τό ὄνομά του ἦταν Ζαχαρίας, καί τό ἄλλο κορίτσι. Στάθηκε λοιπόν μακριά ἀπό τόν Γέροντα, στό Ἕλος[51].

Κοντά στή Σκήτη εἶναι ἕνα ἕλος ἀπ' ὅπου καί οἱ μοναστικοί οἰκισμοί προμηθεύονται ὑλικά ἀλλά εἶναι καί οἱ

51. Ἕλος: Πρόκειται γιά τόπο βαλτώδη στήν ἔρημο τῆς Σκήτης. Βλ. Μ. Β΄, σελ. 442, ὑποσημ. 20.

τῶν ὑδάτων εἰσί· συνήθεια δὲ ἦν ἐν τῇ Σκήτει, ἵνα εἰ ἔλθῃ γυνὴ λαλῆσαι ἀδελφῷ αὐτῆς ἢ ἄλλῳ διαφέροντι αὐτῇ, ἀπὸ μακρόθεν καθεζομένων αὐτῶν ἀπ' ἀλλήλων ὁμιλῶσιν ἀλλήλοις. Τότε λέγει ἡ γυνὴ τῷ ἀββᾷ Καρίωνι· Ἰδοὺ γέγονας μοναχὸς καὶ λιμός ἐστι. Τίς οὖν τρέφει τὰ τέκνα σου; Λέγει αὐτῇ ὁ ἀββᾶς Καρίων· Ἀπόστειλόν μοι αὐτὰ ὧδε. Λέγει ἡ γυνὴ τοῖς τέκνοις· Ἀπέλθετε πρὸς τὸν πατέρα ὑμῶν.

Ἐρχομένων οὖν αὐτῶν πρὸς τὸν πατέρα αὐτῶν, τὸ θῆλυ ὑπέστρεψε πρὸς τὴν μητέρα αὐτῆς, τὸ δὲ ἀρρενικὸν ἦλθε πρὸς τὸν ἴδιον πατέρα. Τότε λέγει αὐτῇ· Ἰδοὺ καλῶς ἐγένετο· λάβε σὺ τὸ θῆλυ καὶ ἄπελθε, κἀγὼ τὸ ἀρρενικόν.

Ἀνέτρεφεν οὖν αὐτὸ ἐν τῇ Σκήτει, πάντων εἰδότων ὅτι τέκνον αὐτοῦ ἐστιν. Ὡς δὲ ἡλικίας γέγονε, γογγυσμὸς ἐγένετο ἐν τῇ ἀδελφότητι περὶ αὐτοῦ. Καὶ ἀκούσας ὁ ἀββᾶς Καρίων λέγει τῷ τέκνῳ αὐτοῦ Ζαχαρίᾳ· Ἐγείρου, ἄγωμεν ἐντεῦθεν, ὅτι γογγύζουσιν οἱ Πατέρες. Λέγει οὖν αὐτῷ ὁ μικρός· Ἀββᾶ, πάντες οἴδασιν ἐνταῦθα ὅτι υἱός σου εἰμί· ἐὰν δὲ ἀλλαχοῦ ἀπέλθωμεν, οὐκ ἔχουσιν εἰπεῖν ὅτι υἱός σου εἰμί. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἐγείρου, ἄγωμεν ἐν τῇ Θηβαΐδι. Καὶ ἀπῆλθον ἐκεῖσε.

Ὡς δὲ λαβόντες κελλίον ἐκάθισαν ὀλίγας ἡμέρας, κἀκεῖ ὁ αὐτὸς γογγυσμὸς γέγονε περὶ τοῦ παιδίου. Τότε λέγει αὐτῷ ὁ πατὴρ αὐτοῦ· Ζαχαρία, ἐγείρου, ἄγωμεν ἐν τῇ Σκήτει. Καὶ ὀλίγων ἡμερῶν παρελθουσῶν, πάλιν γογγυσμὸς ἐγένετο περὶ αὐτοῦ. Τότε Ζαχαρίας ὁ παῖς ἐλθὼν εἰς τὴν λίμνην τοῦ νίτρου καὶ ἀποδυσάμενος κατῆλθε κάτω μέχρι τῆς ῥινὸς αὐτοῦ καταβαπτίσας ἑαυτόν. Καὶ μείνας ἐπὶ πολλὰς ὥρας, ὅσον ἠδύνατο, ἠφάνισε τὸ ἑαυτοῦ σῶμα· γέγονε γὰρ ὡς λελωβημένος. Καὶ ἀνελθὼν ἐφόρεσε τὰ ἱμάτια αὐτοῦ καὶ ἀπῆλθε πρὸς τὸν ἴδιον πατέρα καὶ μόλις ἐπέγνω αὐτόν.

πηγές τοῦ νεροῦ. Καί ὑπῆρχε συνήθεια στή Σκήτη ἄν πήγαινε καμιά γυναίκα γιά νά μιλήσει μέ τόν ἀδελφό της ἤ ἄλλον συγγενή της, νά μιλοῦν μένοντας σέ ἀπόσταση ἀρκετή μεταξύ τους.

Εἶπε λοιπόν ἡ γυναίκα στόν ἀββᾶ Καρίωνα: «Νά, πού ἔγινες μοναχός καί ἔπεσε πείνα. Ποιός θά θρέψει τά παιδιά σου;» «Στεῖλ' τα μου ἐδῶ» τῆς λέει ὁ ἀββᾶς Καρίων. «Πηγαίνετε στόν πατέρα σας» λέει ἡ γυναίκα στά παιδιά της.

Καθώς λοιπόν πήγαιναν πρός τόν πατέρα τους, τό κορίτσι γύρισε στή μητέρα του, ἐνῶ τό ἀγόρι πῆγε στόν πατέρα του. Τότε λέει ὁ ἀββᾶς: «Νά, καλό ἦταν αὐτό· πάρε ἐσύ τό κορίτσι καί φύγε, καί ἐγώ θά κρατήσω τό ἀγόρι».

Τό ἀνέτρεφε λοιπόν στή Σκήτη καί ὅλοι ἤξεραν ὅτι εἶναι τό παιδί του. Ὅταν μεγάλωσε, ἄρχισαν οἱ ψίθυροι στήν ἀδελφότητα γι' αὐτόν. Τό πληροφορήθηκε ὁ ἀββᾶς Καρίων καί εἶπε στό παιδί του Ζαχαρία: «Ἑτοιμάσου νά φύγουμε ἀπ' ἐδῶ, γιατί δυσανασχετοῦν οἱ Πατέρες». Λέει τότε ὁ μικρός: «Ἀββᾶ, ὅλοι ἐδῶ ξέρουν ὅτι εἶμαι γιός σου. Ἐάν πᾶμε ἀλλοῦ, δέν θά μποροῦν νά ποῦν ὅτι εἶμαι γιός σου». «Σήκω λοιπόν –τοῦ λέει ὁ πατέρας του– νά πᾶμε στήν Θηβαΐδα». Καί ἔφυγαν ἀπό κεῖ.

Φθάνοντας στή Θηβαΐδα πῆραν ἕνα κελί καί ἄρχισαν τή ζωή τους ἐκεῖ. Ἀλλά σέ λίγες μέρες οἱ ἴδιοι ψίθυροι ἀκούστηκαν γιά τό παιδί. «Σήκω, Ζαχαρία –τοῦ λέει τότε ὁ πατέρας του– νά γυρίσουμε στή Σκήτη». Πρίν περάσουν ὅμως πολλές μέρες, οἱ ἴδιοι ψίθυροι πάλι ἔγιναν γιά τό παιδί.

Καί τότε ὁ Ζαχαρίας, τό παιδί, πάει στή λίμνη τοῦ νίτρου, βγάζει τά ροῦχα του καί βυθίζεται μέσα στό νίτρο μέχρι τή μύτη. Ἔμεινε ἐκεῖ πολλές ὧρες, ὅσο ἄντεχε, καί κατέστρεψε ὅλη τήν ἐπιδερμίδα τοῦ σώματός του. Ἔγινε δηλαδή σάν λεπρός. Βγαίνοντας ἔβαλε τά ροῦχα του καί πῆγε στόν πατέρα του, ὁ ὁποῖος μετά δυσκολίας τόν γνώρισε.

Ἀπελθόντος δὲ αὐτοῦ εἰς τὴν ἁγίαν Κοινωνίαν κατὰ τὸ ἔθος, ἀπεκαλύφθη τῷ ἁγίῳ Ἰσιδώρῳ τῷ πρεσβυτέρῳ τῆς Σκήτεως ὅπερ ἐποίησε. Καὶ ἰδὼν αὐτὸν καὶ θαυμάσας εἶπε· Ζαχαρίας, ὁ παῖς, τῇ Κυριακῇ τῇ παρελθούσῃ ἦλθε καὶ ἐκοινώνησεν ὡς ἄνθρωπος· νῦν δὲ ἄγγελος ἐγένετο.

79. Εἶπεν ὁ ἀββᾶς Λογγῖνος· Ὥσπερ ὁ νεκρὸς οὐκ ἐσθίει, οὕτως οὔτε ὁ ταπεινόφρων δύναται κρῖναι ἄνθρωπον, κἂν ἴδῃ αὐτὸν προσκυνοῦντα εἰδώλοις.

80. Συνήχθησάν ποτε οἱ Πατέρες τῆς Σκήτεως περὶ τοῦ Μελχισεδὲκ καὶ ἐπελάθοντο καλέσαι τὸν ἀββᾶν Κόπρην. Ὕστερον δὲ καλέσαντες αὐτὸν ἠρώτησαν περὶ τούτου. Ὁ δὲ τύψας τὸ στόμα αὐτοῦ ἐπὶ τρεῖς, εἶπεν· Οὐαί σοι, Κόπρη· οὐαί σοι, Κόπρη· οὐαί σοι, Κόπρη, ὅτι ἃ ἐνετείλατό σοι ὁ Θεὸς ποιῆσαι ἐγκατέλιπες καὶ ἃ οὐ ζητεῖ παρὰ σοῦ ἐρευνᾷς. Καὶ ἀκούσαντες οἱ ἀδελφοὶ ταῦτα ἔφυγον εἰς τὰ κελλία αὐτῶν.

81. Ἠρωτήθη ὁ ἀββᾶς Λογγῖνος· Ποία ἀρετὴ μείζων ἐστὶ πάντων, πάτερ; Καὶ εἶπεν ὁ Γέρων· Λογίζομαι ὅτι ὥσπερ ἡ ὑπερηφανία χείρων πάντων τῶν ἁμαρτημάτων ἐστίν, ὥστε καὶ ἐξ αὐτῶν τῶν οὐρανῶν ἔρριψέ τινας, οὕτως οὖν καὶ ἡ ταπεινοφροσύνη ἰσχύει ἐξ αὐτῶν τῶν ἀβύσσων ἀνενέγκαι ἄνθρωπον, κἂν ὡς δαίμων ἐστὶν ἁμαρτήσας. Ὅθεν καὶ ὁ Κύριος μακαρίζει τοὺς πτωχοὺς τῷ πνεύματι.

52. Μελχισεδέκ: Βλ. Μ. Γερ. τ. Α΄, σελ. 46, ὑποσημ. 18.

Καί τήν ἡμέρα πού πῆγε στήν ἐκκλησία νά κοινωνήσει, ὅπως συνήθιζαν, ἀποκαλύφθηκε στόν ἅγιο Ἰσίδωρο, τόν πρεσβύτερο τῆς Σκήτης, αὐτό πού ἔκανε. Ὅταν τόν εἶδε, ἔμεινε ἔκθαμβος καί εἶπε: «Ὁ Ζαχαρίας, τό παλικάρι, τήν Κυριακή τήν περασμένη ἦρθε καί κοινώνησε ὡς ἄνθρωπος· τώρα ὅμως ἔγινε ἄγγελος».

79. Εἶπε ὁ ἀββᾶς Λογγῖνος: «Ὅπως ὁ νεκρός δέν τρώει, ἔτσι καί ὁ ταπεινόφρων δέν μπορεῖ νά κρίνει ἄνθρωπο, κι ἄν ἀκόμη τόν δεῖ νά προσκυνάει εἴδωλα».

80. Συγκεντρώθηκαν κάποτε οἱ Πατέρες τῆς Σκήτης νά συζητήσουν σχετικά μέ τόν Μελχισεδέκ[52] καί ξέχασαν νά καλέσουν τόν ἀββᾶ Κόπρη. Κατόπιν ὅμως τόν κάλεσαν καί τόν ρώτησαν γι' αὐτό τό θέμα. Κι ἐκεῖνος χτύπησε τό στόμα του τρεῖς φορές καί εἶπε: «Ἀλίμονό σου, Κόπρη· ἀλίμονό σου, Κόπρη· ἀλίμονό σου, Κόπρη· διότι αὐτά πού σοῦ παρήγγειλε ὁ Θεός νά κάνεις τά ἐγκατέλειψες, καί ἐρευνᾶς αὐτά πού δέν τά ζητάει ἀπό σένα». Μόλις ἄκουσαν αὐτό τόν λόγο οἱ ἀδελφοί, ἔφυγαν στά κελιά τους.

81. Ρώτησαν τόν ἀββᾶ Λογγίνο: «Ποιά ἀπό ὅλες τίς ἀρετές εἶναι μεγαλύτερη, πάτερ;» Καί ὁ Γέροντας εἶπε: «Σκέφτομαι ὅτι ὅπως ἡ ὑπερηφάνεια εἶναι ἡ χειρότερη ἀπ' ὅλες τίς ἁμαρτίες, ἀφοῦ κι ἀπό τόν οὐρανό ἔριξε κάποιους, ἀντίστοιχα καί ἡ ταπεινοφροσύνη ἔχει τή δύναμη καί ἀπ' αὐτά τά ἀπύθμενα βάθη νά ἀνεβάσει πάνω τόν ἄνθρωπο, ἔστω κι ἄν ἔχει ἁμαρτήσει ὅσο καί ὁ διάβολος. Γι' αὐτό καί ὁ Κύριος μακαρίζει αὐτούς πού ἔχουν ταπεινό φρόνημα[53]».

53. Ματθ. 5, 3.

82. Διηγήσατο περὶ ἑαυτοῦ ὁ ἀββᾶς Μακάριος λέγων· Ὅτε ἤμην νεώτερος καὶ ἐκαθήμην εἰς κελλίον εἰς Αἴγυπτον, ἐκράτησάν με καὶ ἐποίησαν κληρικὸν εἰς τὴν πόλιν· καὶ μὴ θέλων καταδέξασθαι, ἔφυγον εἰς ἕτερον τόπον. Καὶ ἦλθε πρός με εὐλαβὴς κοσμικὸς καὶ ἐλάμβανε τὸ ἐργόχειρόν μου καὶ διηκόνει μοι.

Συνέβη δὲ ἀπὸ πειρασμοῦ παρθένον τινὰ εἰς τὴν κώμην ἐκπεσεῖν, καὶ λαβοῦσα κατὰ γαστρὸς ἠρωτᾶτο τίς εἴη ὁ τοῦτο πεποικώς. Ἡ δὲ ἔλεγεν· Ὁ ἀναχωρητής. Καὶ ἐξελθόντες ἔλαβόν με εἰς τὴν κώμην καὶ ἐκρέμασαν εἰς τὸν τράχηλόν μου ἠσβολωμένας χύτρας καὶ ὠτία κούφων καὶ περιεπόμπευσάν με ἐν τῇ πόλει κατὰ ἄμφοδον τύπτοντές με καὶ λέγοντες· Οὗτος ὁ μοναχὸς ἔφθειρε τὴν παρθένον ἡμῶν· λάβετε αὐτόν, λάβετε. Καὶ ἔτυψάν με παρὰ μικρὸν τοῦ ἀποθανεῖν.

Ἐλθὼν δέ τις τῶν Γερόντων εἶπεν· Ἕως πότε τύπτετε τὸν ξένον μοναχόν; Ὁ δὲ διακονῶν μοι ἠκολούθει ὀπίσω μου αἰδούμενος· ἦσαν γὰρ ὑβρίζοντες αὐτὸν πολλὰ καὶ λέγοντες· Ἰδοὺ ὁ ἀναχωρητής, ὃν σὺ ἐμαρτύρεις, τί ἐποίησε. Καὶ λέγουσιν οἱ γονεῖς αὐτῆς· Οὐκ ἀπολύομεν αὐτόν, ἕως οὗ δῷ ἐγγυητὴν τοῦ τρέφειν αὐτήν. Καὶ εἶπον τῷ διακονητῇ μου καὶ ἐνεγγυήσατό με.

Καὶ ἀπελθὼν εἰς τὸ κελλίον μου ἔδωκα αὐτῷ ὅσα εἶχον σπυρίδια λέγων· Πώλησον αὐτὰ καὶ δὸς τῇ γυναικί μου φαγεῖν. Καὶ ἔλεγον τῷ λογισμῷ μου· Μακάριε, ἰδοὺ εὗρες σεαυτῷ γυναῖκα· χρὴ οὖν ἐργάζεσθαι μικρὸν περισσόν, ἵνα τρέφῃς αὐτήν. Καὶ ἠργαζόμην νύκτα καὶ ἡμέραν καὶ ἔπεμπον αὐτῇ.

Καὶ ὅτε ἦλθεν ὁ καιρὸς τῇ ἀθλίᾳ τεκεῖν, ἔμεινεν ἐπὶ πολλὰς ἡμέρας καὶ οὐκ ἔτικτε. Καὶ λέγουσιν αὐτῇ· Τί ἐστι

82. Ὁ ἀββᾶς Μακάριος* ἀναφερόμενος κάποτε στή ζωή του εἶπε: «Ὅταν ἤμουν νέος καί μόναζα σέ κάποιο κελί στήν Αἴγυπτο, μ' ἔπιασαν καί μ' ἔκαναν κληρικό στήν πόλη. Ἀλλά ἐπειδή δέν ἤθελα νά ἀποδεχθῶ τό ἔργο αὐτό, ἔφυγα σέ ἄλλο τόπο. Ἐκεῖ παρουσιάσθηκε ἕνας εὐλαβής κοσμικός ὁ ὁποῖος ἔπαιρνε τό ἐργόχειρο πού ἔκανα καί μέ ἐξυπηρετοῦσε.

Συνέβη τόν καιρό ἐκεῖνο μιά παρθένος στήν πόλη αὐτή ἀπό δαιμονική ἐπήρεια νά πέσει σέ σαρκικό ἁμάρτημα. Ὅταν ἔγινε ἀντιληπτό ὅτι κυοφοροῦσε, τή ρωτοῦσαν ποιός τόλμησε καί τό 'κανε αὐτό. Καί ἐκείνη ἔλεγε "ὁ ἀναχωρητής". Ἦλθαν λοιπόν στό κελί, μ' ἔπιασαν, μοῦ πέρασαν στό λαιμό χύτρες καπνισμένες καί χερούλια ἀπό πήλινα σκεύη καί μέ διαπόμπευσαν σ' ὅλες τίς συνοικίες τῆς πόλης χτυπώντας με καί λέγοντας: "Αὐτός ὁ μοναχός διέφθειρε τήν κόρη μας. Ἁρπάξτε τον, ἁρπάξτε τον". Καί μέ χτύπησαν τόσο πολύ πού κόντεψα νά πεθάνω.

Πλησίασε κάποια στιγμή ἕνας Γέροντας καί τούς εἶπε: "Ὡς πότε θά χτυπᾶτε τόν ξένο μοναχό;" Καί ὁ διακονητής μου μέ ἀκολουθοῦσε ἀπό πίσω ντροπιασμένος, γιατί τόν ἔλουζαν μέ βρισιές καί τοῦ ἔλεγαν: "Νά, τί ἔκανε ὁ ἀναχωρητής γιά τόν ὁποῖο μᾶς μιλοῦσες". Καί οἱ γονεῖς της ἔλεγαν "δέν τόν ἀφήνουμε, ἑωσότου βάλει ἐγγυητή ὅτι θά ἀναλάβει τήν διατροφή της". Εἶπα λοιπόν στόν διακονητή μου καί ἐγγυήθηκε γιά μένα.

Ὅταν πῆγα στό κελί μου τοῦ ἔδωσα ὅσα ζεμπίλια εἶχα καί τοῦ εἶπα: Πούλησέ τα καί δῶσε τα στή γυναίκα μου νά ἔχει νά τρώει. Καί ἔλεγα μέ τόν λογισμό μου: Μακάριε, νά πού ἀπέκτησες καί γυναίκα· πρέπει λοιπόν νά δουλεύεις λίγο παραπάνω γιά νά τήν τρέφεις. Ἔτσι δούλευα νύχτα καί μέρα καί τῆς ἔστελνα.

Ὅταν ἔφτασε ὁ καιρός τῆς γέννας, πέρασαν πολλές μέρες καί δέν μποροῦσε ἡ δύστυχη νά γεννήσει. Τῆς λένε τότε:

τοῦτο; Ἡ δὲ εἶπεν· Ἐγὼ οἶδα ὅτι τὸν ἀναχωρητὴν ἐσυκοφάντησα καὶ ψευσαμένη ᾐτιασάμην, καὶ οὗτος οὐκ ἔχει πρᾶγμα, ἀλλ' ὁ δεῖνα ὁ νεώτερος.

Καὶ ἐλθὼν ὁ διακονῶν μοι χαίρων ἔλεγεν ὅτι οὐκ ἠδυνήθη τεκεῖν ἡ παρθένος ἐκείνη, ἕως οὗ ὡμολόγησε λέγουσα ὅτι οὐκ ἔχει πρᾶγμα ὁ ἀναχωρητής, ἀλλ' ἐψευσάμην κατ' αὐτοῦ· καὶ ἰδοὺ πᾶσα ἡ κώμη θέλει ἐλθεῖν ὧδε μετὰ δόξης καὶ μετανοῆσαί σοι. Ἐγὼ δὲ ἀκούσας ταῦτα, ἵνα μὴ θλίψωσί με οἱ ἄνθρωποι, ἀνέστην καὶ ἔφυγον ὧδε εἰς Σκῆτιν. Αὕτη ἐστὶν ἡ ἀρχὴ τῆς αἰτίας, δι' ἣν ἦλθον ὧδε.

83. Ἔλεγεν ὁ ἀββᾶς Πέτρος ὅτι ἐν ἀκακίᾳ τοῦ ἀββᾶ Μακαρίου πολιτευομένου πρὸς πάντας τοὺς ἀδελφούς, ἔφησαν αὐτῷ τινες· Διατί οὕτω σεαυτὸν ποιεῖς; Ὁ δὲ εἶπε· Δώδεκα ἔτη ἐδούλευσα τῷ Κυρίῳ μου, ἵνα χαρίσηταί μοι τὸ χάρισμα τοῦτο, καὶ πάντες μοι συμβουλεύετε ἀποθέσθαι αὐτό;

84. Παρερχόμενός ποτε ἀπὸ τοῦ Ἕλους εἰς τὸ κελλίον ἑαυτοῦ ὁ ἀββᾶς Μακάριος ἐβάσταζε θαλλία. Καὶ ἰδοὺ ὑπήντησεν αὐτῷ ὁ διάβολος κατὰ τὴν ὁδὸν μετὰ δρεπάνου. Καὶ ὡς ἠθέλησε κροῦσαι αὐτόν, οὐκ ἴσχυσε καὶ λέγει αὐτῷ· Πολλὴ βία ἀπὸ σοῦ, Μακάριε, ὅτι οὐ δύναμαι πρὸς σέ. Ἰδοὺ γὰρ εἴ τι ποιεῖς κἀγὼ ποιῶ· σὺ νηστεύεις, κἀγώ· ἀγρυπνεῖς, κἀγὼ ὅλως οὐ κοιμῶμαι. Ἕν ἐστι μόνον, ἐν ᾧ νικᾷς με. Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· Ποῖον τοῦτο; Ὁ δὲ ἔφη· Ἡ ταπείνωσίς σου· καὶ διὰ τοῦτο οὐ δύναμαι πρὸς σέ.

85. Παρέβαλέ ποτε ὁ ἀββᾶς Μακάριος τῷ ἀββᾷ Ἀντω-

54. Βλ. σελ. 67, ὑποσημ. 51.

Γιά ποιόν λόγο συμβαίνει αὐτό; Κι ἐκείνη εἶπε: "Ἐγώ γνωρίζω τόν λόγο· συκοφάντησα τόν ἀναχωρητή καί ἄδικα τόν κατηγόρησα. Δέν φταίει ὁ ἀναχωρητής ἀλλά ὁ τάδε νεαρός".

Ἦρθε τότε χαρούμενος ὁ διακονητής μου καί μοῦ λέει: Δέν μποροῦσε νά γεννήσει ἡ κοπέλα ἐκείνη, ἑωσότου ὁμολόγησε ὅτι δέν φταίει ὁ ἀναχωρητής, εἶπα ψέμα ἐναντίον του. Καί ὅλη ἡ πόλη εἶναι ξεσηκωμένη νά 'ρθει ἐδῶ ἐν πομπῇ καί νά σοῦ βάλει μετάνοια.

Μόλις τ' ἄκουσα αὐτά, γιά νά ἀποφύγω τήν ἐνόχληση ἀπό μέρους τῶν ἀνθρώπων, σηκώθηκα καί ἦρθα ἐδῶ στή Σκήτη. Αὐτή ἦταν ἡ ἀρχική αἰτία πού ἦρθα ἐδῶ».

83. Ἔλεγε ὁ ἀββᾶς Πέτρος ὅτι ὁ ἀββᾶς Μακάριος φερόταν μέ πολλή ἀνεξικακία πρός ὅλους τούς ἀδελφούς καί τοῦ 'παν κάποιοι: «Γιατί μειώνεις τόσο τόν ἑαυτό σου;» Κι ἐκεῖνος εἶπε: «Δώδεκα χρόνια ὑπηρέτησα τόν Κύριό μου ζητώντας του νά μοῦ δώσει τό χάρισμα αὐτό καί τώρα μέ συμβουλεύετε ὅλοι νά τό πετάξω;»

84. Πήγαινε κάποτε ὁ ἀββᾶς Μακάριος ἀπό τό Ἕλος[54] στό κελί του κρατώντας βλαστούς. Καί ξαφνικά τόν συναντάει ὁ διάβολος πάνω στόν δρόμο μ' ἕνα δρεπάνι στό χέρι. Ἔκανε νά τόν χτυπήσει ἀλλά δέν τό κατόρθωσε καί τοῦ λέει: «Πολλή ἀντίσταση ὑπάρχει σέ σένα, Μακάριε, γιατί ἡ δύναμή μου δέν ἐνεργεῖ ἐπάνω σου. Ὅ,τι κάνεις, κάνω κι ἐγώ· ἐσύ νηστεύεις, νηστεύω κι ἐγώ· ἐσύ ἀγρυπνεῖς, ἐγώ δέν κοιμᾶμαι καθόλου. Ἕνα πρᾶγμα μόνο εἶναι στό ὁποῖο μέ νικᾶς». «Καί ποιό εἶναι αὐτό;» τόν ρωτάει ὁ ἀββᾶς Μακάριος. «Ἡ ταπείνωσή σου –ἀπαντᾶ– καί γι' αὐτό δέν μπορῶ νά σέ νικήσω».

85. Ἐπισκέφθηκε κάποια φορά ὁ ἀββᾶς Μακάριος τόν ἀββᾶ Ἀντώνιο· καί ἀφοῦ τοῦ μίλησε ὁ Γέροντας, ὁ Μα-

νίῳ, καὶ λαλήσας αὐτῷ, ὑπέστρεψεν εἰς Σκῆτιν. Καὶ ἦλθον οἱ Πατέρες εἰς ἀπάντησιν αὐτοῦ. Καὶ ὡς ἐλάλουν, εἶπεν αὐτοῖς ὁ Γέρων· Ἔφην τῷ ἀββᾷ Ἀντωνίῳ ὡς οὐκ ἔχομεν προσφορὰν ἐν τῷ τόπῳ ἡμῶν. Καὶ ἤρξαντο οἱ Πατέρες λαλεῖν περὶ ἄλλων καὶ οὐκ ἠρώτησαν ἔτι τὴν ἀπόκρισιν μαθεῖν παρὰ τοῦ Γέροντος, οὔτε ὁ Γέρων αὐτοῖς εἶπε.

Τοῦτο οὖν ἔλεγέ τις τῶν Πατέρων, ὅτι ἐὰν ἴδωσιν οἱ Πατέρες ὅτι λανθάνει τοὺς ἀδελφοὺς τοῦ ἐρωτῆσαι περὶ πράγματος, ὀφείλουσιν αὐτοὶ ἀναγκάζειν αὐτοὺς εἰπεῖν τὴν ἀρχὴν τοῦ λόγου, ἐὰν δὲ μὴ ἀναγκασθῶσιν ὑπὸ τῶν ἀδελφῶν, οὐκέτι λαλοῦσι τὸν λόγον, ἵνα μὴ εὑρεθῶσιν ὡς μὴ ἐπερωτώμενοι καὶ λαλοῦντες, καὶ ὡς ἀργολογία εὑρίσκεται.

86. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου ὅτι εἰ προσήρχετο αὐτῷ ἀδελφὸς ὡς ἁγίῳ Γέροντι καὶ μεγάλῳ μετὰ φόβου, οὐδὲν ἐλάλει αὐτῷ. Εἰ δὲ ἔλεγεν αὐτῷ τις τῶν ἀδελφῶν ὡς ἐξουθενῶν αὐτόν· Ἀββᾶ, ἄρα, ὅταν ἦς καμηλίτης καὶ ἔκλεπτες νίτρον καὶ ἐπώλεις αὐτό, οὐκ ἔδερνόν σε οἱ τηρηταί; Εἰ ταῦτά τις ἔλεγεν αὐτῷ, ἐλάλει αὐτῷ μετὰ χαρᾶς, εἴ τι αὐτὸν ἠρώτα.

87. Ἐπέστη ποτὲ δαίμων τῷ ἀββᾷ Μακαρίῳ μετὰ μαχαίρας θέλων τὸν πόδα αὐτοῦ κόψαι. Καὶ διὰ τὴν ταπεινοφροσύνην αὐτοῦ μὴ δυνηθείς, λέγει αὐτῷ· Ὅσα ἔχετε καὶ ἡμεῖς ἔχομεν· μόνῃ δὲ τῇ ταπεινοφροσύνῃ διαφέρετε ἡμῶν καὶ κρατεῖτε.

88. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου τοῦ Αἰγυπτίου ὅτι ἀνέβαινέ ποτε ἐκ τῆς Σκήτεως εἰς τὸ ὄρος τῆς Νιτρίας.

κάριος γύρισε πίσω στή Σκήτη. Οἱ Πατέρες πῆγαν νά τόν αντήσουν. Καθώς μιλοῦσαν, τούς εἶπε ὁ Γέροντας: «Εἶπα στόν ἀββᾶ Ἀντώνιο ὅτι στόν τόπο μας δέν ἔχουμε "προσφορά"[55]». Ἀλλά οἱ Πατέρες ἄρχισαν νά μιλοῦν γιά ἄλλα πράγματα καί δέν ρώτησαν νά μάθουν τί ἀπάντησε ὁ Γέροντας ἀλλά οὔτε καί ὁ ἀββᾶς τούς εἶπε.

Αὐτό ἀκριβῶς ἔλεγε κάποιος ἀπό τούς Πατέρες, ὅτι δηλαδή ἐάν δοῦν οἱ Πατέρες πώς οἱ ἀδελφοί ξεχνοῦν νά ρωτήσουν γιά κάποιο θέμα, ὀφείλουν οἱ ἴδιοι νά τούς παρακινοῦν νά τό ξεκινήσουν τό θέμα. Ἄν ὅμως δέν τούς ἀναγκάσουν οἱ ἀδελφοί, δέν ἀναφέρονται οἱ Πατέρες πιά στό θέμα γιά νά μήν ὑποπέσουν σέ ἀργολογία, καθώς θά μιλοῦν χωρίς νά τούς ἔχουν ρωτήσει.

86. Ἔλεγαν γιά τόν ἀββᾶ Μακάριο ὅτι ἐάν τόν ἐπισκεπτόταν κανένας ἀδελφός μέ πολλή συστολή θεωρώντας τον ἅγιο καί μεγάλο Γέροντα, δέν τοῦ μιλοῦσε καθόλου. Ἐνῶ ἄν τοῦ ἔλεγε ὁ ἀδελφός σάν νά τόν ἐξουθένωνε «ἀββᾶ, ὅταν ἦσουν καμηλιέρης καί ἔκλεβες νίτρο καί τό πουλοῦσες, δέν σέ ἔδερναν οἱ ἐπιστάτες;», ἄν λοιπόν τέτοια τοῦ ἔλεγε κανείς, μιλοῦσε μαζί του εὐχαρίστως γιά ὅ,τι τόν ρωτοῦσε.

87. Ἐμφανίσθηκε κάποτε ὁ δαίμονας στόν ἀββᾶ Μακάριο μ' ἕνα μαχαίρι νά τοῦ κόψει τό πόδι. Καί χάρη στήν απεινοφροσύνη τοῦ ἀββᾶ, δέν τό κατόρθωσε καί τοῦ εἶπε: «Ὅσα ἔχετε κι ἐμεῖς τά ἔχουμε· διαφέρετε μόνο ὡς πρός τήν ταπεινοφροσύνη ἀπό μᾶς καί γι' αὐτό μᾶς νικᾶτε».

88. Ἔλεγαν γιά τόν ἀββᾶ Μακάριο τόν Αἰγύπτιο ὅτι κάποτε ἀνέβαινε ἀπό τή Σκήτη στό ὄρος τῆς Νιτρίας. Σάν

55. Δηλαδή Θεία Λειτουργία.

Καὶ ὡς ἤγγισεν εἰς τὸν τόπον, εἶπε τῷ μαθητῇ αὐτοῦ· Πρόλαβε μικρόν. Καὶ ἐν τῷ προάγειν αὐτὸν συναντᾷ τινι ἱερεῖ τῶν Ἑλλήνων. Καὶ κράξας αὐτῷ ὁ ἀδελφὸς ἐφώνησε λέγων· Ἔ, ἔ, δαῖμον, ποῦ τρέχεις; Στραφεὶς δ' ἐκεῖνος δίδωσιν αὐτῷ πληγὰς καὶ ἀφῆκεν αὐτὸν ἡμιθανῆ καὶ ἄρας τὸ ξύλον ἔτρεχε.

Καὶ προβάντος ὀλίγον συναντᾷ αὐτῷ ὁ ἀββᾶς Μακάριος τρέχοντι καὶ λέγει αὐτῷ· Σωθείης, σωθείης, καματηρέ. Καὶ θαυμάσας ἦλθε πρὸς αὐτὸν καὶ εἶπε· Τί καλὸν εἶδες ἐν ἐμοί, ὅτε προσηγόρευσάς με; Ὅτι εἶδόν σε, φησὶν ὁ Γέρων, κοπιῶντα, καὶ οὐκ οἶδας ὅτι εἰς κενὸν κοπιᾷς. Λέγει αὐτῷ καὶ αὐτός· Ἐγὼ ἐπὶ τῷ ἀσπασμῷ σου κατενύγην καὶ ἔμαθον ὅτι τοῦ μέρους τοῦ Θεοῦ εἶ· ἄλλος δὲ κακὸς μοναχὸς ὑπαντήσας μοι ὕβρισέ με, κἀγὼ ἔδωκα αὐτῷ πληγὰς εἰς θάνατον. Καὶ ἔγνω ὁ Γέρων ὅτι ὁ μαθητὴς αὐτοῦ ἐστι. Καὶ κρατήσας τοὺς πόδας αὐτοῦ ὁ ἱερεὺς ἔλεγεν· Οὐκ ἀφῶ σε, ἐὰν μὴ ποιήσῃς με μοναχόν.

Καὶ ἦλθεν ἐπάνω, ὅπου ἦν ὁ μαθητής, καὶ ἐβάσταξαν καὶ ἤνεγκαν αὐτὸν εἰς τὴν ἐκκλησίαν τοῦ ὄρους. Καὶ ἰδόντες τὸν ἱερέα μετ' αὐτοῦ ἐξέστησαν καὶ ἐποίησαν αὐτὸν μοναχόν, καὶ πολλοὶ τῶν Ἑλλήνων ἐγένοντο δι' αὐτοῦ χριστιανοί. Ἔλεγεν οὖν ὁ ἀββᾶς Μακάριος ὅτι ὁ λόγος ὁ κακὸς καὶ τὸν καλὸν ποιεῖ κακόν, καὶ ὁ καλὸς ὁ λόγος καὶ τὸν κακὸν ποιεῖ καλόν.

89. Ἔλεγεν ὁ ἀββᾶς Μακάριος ὅτι ὅτε ἤμην νεώτερος, ἀκηδιάσας ἐν τῷ κελλίῳ ἐξῆλθον εἰς τὴν ἔρημον λέγων τῷ λογισμῷ μου ὅτι ᾧ ἐὰν ἀπαντήσῃς, ἐρώτησον αὐτὸν χάριν

56. Ἀκηδία: Βλ. Μ. Γερ. τ. Β', σελ. 60, ὑποσημ. 34.

πλησίασαν τόν τόπο, λέει στόν μαθητή του: «Πήγαινε ἐσύ λίγο πιό μπροστά». Καί καθώς ἐκεῖνος προχωροῦσε, συνάντησε ἕναν ἱερέα τῶν εἰδωλολατρῶν. Ἔβγαλε κραυγή ὁ ἀδελφός καί τόν φώναξε λέγοντας: «Ἔ, ἔ, διάβολε, ποῦ τρέχεις;» Στράφηκε τότε ἐκεῖνος, τόν ξυλοφόρτωσε καί τόν ἄφησε μισοπεθαμένο. Πῆρε κατόπιν τό ξύλο καί ἔτρεχε.

Ὅταν προχώρησε λίγο, τόν εἶδε ὁ ἀββᾶς Μακάριος νά τρέχει καί τοῦ λέει: «Νά σωθεῖς, νά σωθεῖς, ἀκούραστε». Ἀπόρησε ἐκεῖνος, τόν πλησίασε καί τοῦ εἶπε: «Τί καλό εἶδες σέ μένα καί μοῦ μίλησες ἔτσι;» «Ἐπειδή σέ εἶδα –εἶπε ὁ Γέροντας– κουρασμένο καί δέν γνωρίζεις ὅτι στά χαμένα κοπιάζεις». Κι ἐκεῖνος τοῦ ἀπαντᾶ: «Μαλάκωσε ἡ ψυχή μου μέ τόν χαιρετισμό σου καί κατάλαβα ὅτι εἶσαι ἄνθρωπος τοῦ Θεοῦ. Ἐνῶ κάποιος κακός μοναχός πού μέ συνάντησε, μέ ἔβρισε κι ἐγώ τόν χτύπησα τοῦ θανατᾶ». Κατάλαβε ὁ Γέροντας ὅτι ἐπρόκειτο γιά τόν μαθητή του. Τοῦ ἀγκαλιάζει λοιπόν τά πόδια ὁ ἱερεύς καί τοῦ λέει: «Δέν θά σέ ἀφήσω, ἐάν δέν μέ κάνεις μοναχό».

Πῆγαν κατόπιν ἐκεῖ ὅπου βρισκόταν ὁ μαθητής, τόν σήκωσαν στά χέρια καί τόν μετέφεραν στήν ἐκκλησία τοῦ ὄρους. Μόλις εἶδαν οἱ ἀδελφοί τόν ἱερέα τῶν εἰδωλολατρῶν μαζί τους, ἔμειναν ἔκπληκτοι. Πράγματι τόν ἔκαναν μοναχό καί χάρη σ' αὐτόν πολλοί εἰδωλολάτρες ἔγιναν χριστιανοί.

Ἔλεγε λοιπόν ὁ ἀββᾶς Μακάριος ὅτι ὁ λόγος ὁ κακός καί τόν καλό τόν κάνει κακό, ἐνῶ ὁ καλός λόγος καί τόν κακό τόν μεταβάλλει σέ καλό.

89. Εἶπε ὁ ἀββᾶς Μακάριος: «Ὅταν ἤμουν νέος μ' ἔπιασε κάποτε ἡ ἀκηδία[56] μέσα στό κελί καί βγῆκα στήν ἔρημο λέγοντας μέ τόν λογισμό μου "ὅποιον συναντήσεις ρώτησέ τον κάτι νά ὠφεληθεῖς". Πράγματι συνάντησα ἕνα παιδί

ὠφελείας. Καὶ εὗρον παιδίον βόσκον βοΐδια καὶ λέγω αὐτῷ· Τί ποιήσω, παιδίον, ὅτι πεινῶ; Λέγει μοι· Καὶ φάγε. Πάλιν εἶπον ὅτι ἔφαγον καὶ πάλιν πεινῶ. Πάλιν λέγει μοι· Καὶ πάλιν φάγε. Καὶ πάλιν εἶπον ὅτι πολλάκις ἔφαγον καὶ πάλιν πεινῶ. Τότε λέγει μοι· Τάχα ὄνος εἶ, ἀββᾶ, ὅτι πάντοτε τρώγειν θέλεις; Καὶ ὠφεληθεὶς ἀνεχώρησα.

90. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μωυσέως ὅτι ἐγένετο κληρικὸς καὶ ἐπέθηκαν αὐτῷ τὴν ἐπωμίδα. Καὶ λέγει αὐτῷ ὁ ἀρχιεπίσκοπος· Ἰδοὺ γέγονας ὁλόλευκος, ἀββᾶ Μωυσῆ. Λέγει αὐτῷ ὁ Γέρων· Ἆρα τὰ ἔξω, κύρι ὁ πάπας, ἢ τὰ ἔσω;

Θέλων δὲ ὁ ἀρχιεπίσκοπος δοκιμάσαι αὐτὸν λέγει τοῖς κληρικοῖς· Ὅταν εἰσέρχηται ὁ ἀββᾶς Μωυσῆς εἰς τὸ ἱερατεῖον, διώξατε αὐτὸν καὶ ἀκολουθήσατε αὐτῷ, ἵνα ἀκούσητε τί λέγει.

Εἰσῆλθεν οὖν ὁ Γέρων, καὶ ἐπετίμησαν αὐτῷ καὶ ἐδίωξαν λέγοντες· Ὕπαγε ἔξω, Αἰθίοψ. Ὁ δὲ ἐξελθὼν ἔλεγεν ἑαυτῷ· Καλῶς σοι ἐποίησαν, σποδόδερμε, μελανέ· μὴ ὢν ἄνθρωπος τί ἔρχῃ μετὰ ἀνθρώπων;

91. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Μωυσῆν λέγων· Ὁρῶ ἐνώπιόν μου πρᾶγμα καὶ οὐ δύναμαι αὐτὸ κατασχεῖν. Λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν μὴ γένῃ νεκρὸς ὡς οἱ ταφέντες, οὐ δύνασαι αὐτὸ κατασχεῖν.

92. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Μωυσῆν λέγων ποίῳ τρόπῳ νεκροῖ ἑαυτὸν ἄνθρωπος ἀπὸ τοῦ πλησίον. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων ὅτι, ἐὰν μὴ θήσῃ ἄνθρωπος ἐν τῇ καρδίᾳ αὐτοῦ ἑαυτὸν ἤδη τριήμερον ὄντα ἐν μνημείῳ, οὐ φθάνει εἰς τὸν λόγον τοῦτον.


πού ἔβοσκε μοσχάρια καί τοῦ εἶπα: “Τί νά κάνω, παιδί μου, πού πεινῶ;” “Φάγε” μοῦ λέει. Τοῦ ξαναλέω “ἔφαγα καί πάλι πεινῶ”. “Καί πάλι φάγε” μοῦ ἀπαντᾶ. Γιά τρίτη φορά τοῦ λέω “πολλές φορές ἔφαγα καί πάλι πεινῶ”. Τότε μοῦ λέει “Ἴσως εἶσαι γάιδαρος, ἀββᾶ, ἀφοῦ ὅλη τήν ὥρα θέλεις νά μασᾶς”. Ἔτσι ὠφελήθηκα καί ἐπέστρεψα».

90. Ἔλεγαν γιά τόν ἀββᾶ Μωυσῆ* ὅτι ὅταν ἔγινε κληρικός καί τοῦ φόρεσαν τά ἄμφια, τοῦ λέει ὁ ἀρχιεπίσκοπος: «Νά, ἔγινες ὁλόλευκος, ἀββᾶ Μωυσῆ». Καί ὁ Γέροντας τοῦ λέει: «Ἄραγε, δεσπότη μου, στά ἔξω ἤ στά μέσα;»


Ὁ ἀρχιεπίσκοπος θέλοντας νά τόν δοκιμάσει λέει στούς κληρικούς: «Ὅταν θά μπαίνει ὁ ἀββᾶς Μωυσῆς στό ἱερό βῆμα, διῶξτε τον καί παρακολουθῆστε τον νά ἀκούσετε τί θά πεῖ». Καθώς λοιπόν μπῆκε ὁ Γέροντας μέσα, τόν ἀποπῆραν καί τόν ἔδιωξαν λέγοντας: «Πήγαινε ἔξω, ἀράπη». Κι ἐκεῖνος βγῆκε καί μονολογοῦσε: «Καλά σοῦ ἔκαναν, σταχτόδερμε, μαῦρε. Ἀφοῦ δέν εἶσαι ἄνθρωπος, γιατί ἔρχεσαι ἀνάμεσα σέ ἀνθρώπους;»

91. Κάποιος ἀδελφός ἔθεσε στόν ἀββᾶ Μωυσῆ τό ἑξῆς θέμα: «Βλέπω μπροστά μου, εἶπε, ἕναν πειρασμό καί δέν μπορῶ νά ὑπερισχύσω». Ὁ Γέροντας τοῦ ἀποκρίθηκε: «Ἐάν δέν νεκρωθεῖς, ὅπως αὐτοί πού εἶναι στόν τάφο, δέν μπορεῖς νά τόν ὑπερνικήσεις».

92. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Μωυσῆ μέ ποιόν τρόπο νεκρώνει τόν ἑαυτό του ὁ ἄνθρωπος ἔναντι τοῦ πλησίον. Καί τοῦ ἀπάντησε ὁ Γέροντας: «Ἐάν δέν βάλει ὁ ἄνθρωπος μέσα στήν καρδιά του ὅτι ὁ ἑαυτός του εἶναι ἤδη τριήμερος νεκρός μέσα στόν τάφο, δέν εἶναι σέ θέση νά καταλάβει καί νά πραγματοποιήσει τόν λόγο αὐτόν».



Κοιλάδα τῆς ἁγίας Αἰκατερίνης - Σινᾶ



Ὄρος τῆς ἁγίας Αἰκατερίνης - Σινᾶ

93. Εἶπεν ὁ ἀββᾶς Μωυσῆς· Ἐὰν μὴ ἄνθρωπος ἔχῃ ἐν τῇ καρδίᾳ αὐτοῦ ὅτι ἁμαρτωλός ἐστιν, ὁ Θεὸς οὐκ εἰσακούει αὐτοῦ. Καὶ εἶπεν ὁ ἀδελφός· Τί ἐστιν ἔχειν ἐν τῇ καρδίᾳ αὐτοῦ ὅτι ἁμαρτωλός ἐστιν; Καὶ λέγει ὁ Γέρων ὅτι εἴ τις βαστάζει τὰς ἁμαρτίας αὐτοῦ, οὐ βλέπει τὰς τοῦ πλησίον αὐτοῦ.

94. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Μωυσῆν λέγων· Ἐν παντὶ κόπῳ τοῦ ἀνθρώπου τί ἐστι τὸ βοηθοῦν αὐτῷ; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ὁ Θεός ἐστιν ὁ βοηθῶν· γέγραπται γάρ· Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Καὶ εἶπεν ὁ ἀδελφός· Αἱ νηστεῖαι καὶ αἱ ἀγρυπνίαι, ἃς ποιεῖ ἄνθρωπος, τί γίνονται; Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Αὗται ποιοῦσι τὴν ψυχὴν ταπεινωθῆναι· γέγραπται γάρ· Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἐὰν ἡ ψυχὴ ποιήσῃ τοὺς καρποὺς τούτους, σπλαγχνίζεται ὁ Θεὸς ἐπ' αὐτὴν δι' αὐτῶν.

95. Ἠρώτησε πάλιν ὁ ἀδελφὸς ὅτι ἰδοὺ ἄνθρωπος δέρει τὸν δοῦλον αὐτοῦ δι' ἁμαρτίαν ἣν ἔπραξε· τί ἐρεῖ ὁ δοῦλος; Λέγει ὁ Γέρων· Ἐάν ἐστι δοῦλος καλός, ἐρεῖ· Ἐλέησόν με, ἡμάρτηκα. Λέγει αὐτῷ ὁ ἀδελφός· Οὐδὲν ἄλλο λέγει; Λέγει ὁ Γέρων· Οὐχί. Ἀφ' οὗ γὰρ τὴν μέμψιν ἐπιτίθησιν ἐφ' ἑαυτῷ καὶ εἴπῃ ἡμάρτηκα, εὐθέως σπλαγχνίζεται ἐπ' αὐτὸν ὁ κύριος αὐτοῦ.

96. Εἶπεν ὁ ἀββᾶς Ματώης· Ὅσον ἐγγίζει ἄνθρωπος τῷ Θεῷ, τοσοῦτον ἁμαρτωλὸν ἑαυτὸν λέγει. Ἠσαΐας γὰρ ὁ προφήτης ἰδὼν τὸν Θεόν, τάλανα καὶ ἀκάθαρτον ἔλεγεν ἑαυτόν.

57. Ψαλμ. 45, 2. 58. Ψαλμ. 24, 18. 59. Ἡσ. 6, 5.

93. Εἶπε ὁ ἀββᾶς Μωυσῆς: «Ἐάν ὁ ἄνθρωπος δέν κρατᾶ μέσα στήν καρδιά του ὅτι εἶναι ἁμαρτωλός, ὁ Θεός δέν τόν εἰσακούει». «Καί τί σημαίνει –ρωτάει ὁ ἀδελφός– νά κρατᾶς στήν καρδιά σου ὅτι εἶσαι ἁμαρτωλός;» Καί ἀπαντᾶ ὁ Γέροντας: «Ἐκεῖνος πού σηκώνει συνειδητά τίς ἁμαρτίες του, δέν βλέπει τίς ἁμαρτίες τοῦ πλησίον».

94. Ἀδελφός ρώτησε τόν ἀββᾶ Μωυσῆ: «Σέ κάθε κόπο πού κάνει ὁ ἄνθρωπος, τί εἶναι αὐτό πού θά τόν βοηθήσει;»

«Ὁ Θεός –τοῦ ἀπαντᾶ ὁ Γέροντας– εἶναι αὐτός πού βοηθάει· διότι εἶναι γραμμένο στή Γραφή: Ὁ Θεός εἶναι καταφυγή καί δύναμή μας καί βοηθός πανίσχυρος στίς θλίψεις πού μᾶς βρίσκουν[57]». «Καί οἱ νηστεῖες –ξαναρωτᾶ ὁ ἀδελφός– καί οἱ ἀγρυπνίες πού κάνει ὁ ἄνθρωπος, τί σκοπό ἔχουν;» «Αὐτές –τοῦ λέει ὁ Γέροντας– ταπεινώνουν τήν ψυχή. Καί ἡ Γραφή λέει: Δές τήν ταπείνωσή μου καί τόν κόπο μου καί συγχώρεσε ὅλες τίς ἁμαρτίες μου[58]. Καί ἐάν ἡ ψυχή θά φέρει τούς καρπούς αὐτούς, θά τήν σπλαχνιστεῖ ὁ Θεός χάρη σ' αὐτά».

95. Ρώτησε πάλι ὁ ἀδελφός: «Νά, κάποιος δέρνει τόν δοῦλο του γιά κάποιο σφάλμα πού ἔκανε. Τί θά τοῦ πεῖ ὁ δοῦλος;» «Ἐάν εἶναι δοῦλος καλός –τοῦ λέει ὁ Γέροντας– θά πεῖ: Σπλαχνίσου με, ἁμάρτησα». «Τίποτε ἄλλο δέν λέει;» ρωτάει ὁ ἀδελφός. «Τίποτε –ἀπαντᾶ ὁ Γέροντας– ἐφόσον ἀποδίδει τήν εὐθύνη στόν ἑαυτό του καί λέει "ἔσφαλα", εὐθύς ὁ κύριός του τόν σπλαχνίζεται».

96. Εἶπε ὁ ἀββᾶς Ματώης: «Ὅσο περισσότερο προσεγγίζει ὁ ἄνθρωπος τόν Θεό, τόσο πιό πολύ ἁμαρτωλό χαρακτηρίζει τόν ἑαυτό του. Ὁ προφήτης Ἠσαΐας ὅταν εἶδε τόν Θεό ἀποκαλοῦσε τόν ἑαυτό του ταλαίπωρο καί βρωμερό[59]».

97. Ἔλεγε πάλιν· Ὅτε ἤμην νεώτερος, ἔλεγον ἐν ἑαυτῷ ὅτι τάχα τίποτε ἐργάζομαι ἀγαθόν· νῦν δὲ ὡς ἐγήρασα, βλέπω ὅτι οὐκ ἔχω ἓν ἔργον ἐν ἑαυτῷ καλόν.

98. Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Ματώη καὶ λέγει αὐτῷ· Πῶς οἱ Σκητιῶται ἐποίουν περισσότερον τῆς Γραφῆς ἀγαπῶντες τοὺς ἐχθροὺς αὐτῶν ὑπὲρ ἑαυτούς; Λέγει αὐτῷ ὁ ἀββᾶς Ματώης· Ἐγὼ τέως τὸν ἀγαπῶντά με οὐκ ἔχω ἀγαπᾶν ὡς ἐμαυτόν.

99. Εἶπεν ὁ ἀββᾶς Ἰάκωβος ὅτι παρέβαλον τῷ ἀββᾷ Ματώῃ καὶ ἀνακάμψαντός μου εἶπον αὐτῷ ὅτι θέλω παραβαλεῖν εἰς τὰ Κελλία, καὶ εἶπέ μοι· Ἄσπασαι ἐξ ἐμοῦ τὸν ἀββᾶν Ἰωάννην. Ἐλθὼν δὲ ἐγὼ πρὸς τὸν ἀββᾶν Ἰωάννην λέγω αὐτῷ· Ἀσπάζεταί σε ὁ ἀββᾶς Ματώης. Καὶ λέγει μοι ὁ Γέρων· Ἰδοὺ ὁ ἀββᾶς Ματώης ἀνὴρ Ἰσραηλίτης ἐστίν, ἐν ᾧ δόλος οὐκ ἔστι.

Καὶ πληρωθέντος ἐνιαυτοῦ πάλιν παρέβαλον τῷ ἀββᾷ Ματώῃ καὶ εἶπον αὐτῷ τὸν ἀσπασμὸν τοῦ ἀββᾶ Ἰωάννου. Καὶ λέγει ὁ Γέρων· Οὔκ εἰμι ἄξιος τοῦ λόγου τοῦ Γέροντος· πλὴν τοῦτο γίνωσκε, ὅτι ὅταν ἀκούσῃς Γέροντος τὸν πλησίον δοξάζοντος ὑπὲρ ἑαυτόν, εἰς μέτρα μεγάλα ἔφθασεν· αὕτη γάρ ἐστιν ἡ τελειότης, ὥστε τὸν πλησίον αὐτοῦ δοξάζειν ὑπὲρ ἑαυτόν.

100. Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Ματώης ἀπὸ τῆς Ῥαϊθοῦ εἰς τὰ μέρη Μαγδάλων. Ἦν δὲ ὁ ἀδελφὸς αὐτοῦ μετ' αὐτοῦ. Καὶ κρατήσας ὁ ἐπίσκοπος τὸν Γέροντα ἐχειροτόνησεν αὐτὸν πρεσβύτερον. Καὶ γευομένων αὐτῶν ὁμοῦ, ἔλεγεν αὐτῷ ὁ

97. Ἔλεγε ἐπίσης: «Ὅταν ἤμουν νέος, εἶχα τόν λογισμό ὅτι ἴσως κάποια καλή ἐργασία κάνω. Τώρα ὅμως πού γέρασα, βλέπω ὅτι καμιά καλή ἐργασία δέν ἔχω κάνει».

98. Ἀδελφός ἐπισκέφθηκε τόν ἀββᾶ Ματώη καί τοῦ λέει: «Πῶς οἱ Σκητιῶτες ἔκαναν περισσότερα ἀπ' αὐτά πού λέει ἡ Γραφή ἀγαπώντας τούς ἐχθρούς τους[60] παραπάνω ἀπό τόν ἑαυτό τους;» Καί ὁ ἀββᾶς Ματώης τοῦ εἶπε: «Ἐγώ μέχρι τώρα ἀκόμη δέν ἔχω καταφέρει νά ἀγαπῶ σάν τόν ἑαυτό μου ἐκεῖνον πού μέ ἀγαπᾶ».

99. Εἶπε ὁ ἀββᾶς Ἰάκωβος: «Ἐπισκέφθηκα τόν ἀββᾶ Ματώη καί ὅταν ἔπαιρνα τόν δρόμο τῆς ἐπιστροφῆς, τοῦ εἶπα ὅτι θέλω νά πάω στά Κελλία, καί μοῦ λέει: Χαιρέτησε ἀπό μέρους μου τόν ἀββᾶ Ἰωάννη. Πῆγα λοιπόν στόν ἀββᾶ Ἰωάννη καί τοῦ εἶπα: Σέ ἀσπάζεται ὁ ἀββᾶς Ματώης. Καί ὁ Γέροντας μοῦ λέει: Νά, ὁ ἀββᾶς Ματώης, ἕνας Ἰσραηλίτης στόν ὁποῖο δέν ὑπάρχει δόλος[61].

Ὅταν συμπληρώθηκε χρόνος, ἐπισκέφθηκα πάλι τόν ἀββᾶ Ματώη καί τοῦ εἶπα τόν χαιρετισμό τοῦ ἀββᾶ Ἰωάννη. Τότε μοῦ λέει ὁ Γέροντας: Δέν εἶμαι ἄξιος γιά τά λόγια τοῦ Γέροντα, ὅμως νά ξέρεις τοῦτο: Ὅταν ἀκούσεις Γέροντα νά βάζει τόν πλησίον πιό πάνω ἀπό τόν ἑαυτό του, αὐτός ἔχει φθάσει σέ ὑψηλά μέτρα. Αὐτή εἶναι ἡ τελειότης, νά ἀποδίδει στόν πλησίον του περισσότερη δόξα ἀπ' ὅ,τι στόν ἑαυτό του».

100. Ἔφυγε κάποτε ὁ ἀββᾶς Ματώης ἀπό τή Ραϊθώ καί πῆγε στήν περιοχή Μάγδαλα. Μαζί του ἦταν καί ὁ ἀδελφός του. Ὁ ἐπίσκοπος τοῦ τόπου αὐτοῦ τόν κράτησε καί τόν χειροτόνησε πρεσβύτερο. Τήν ὥρα πού γευμάτιζαν,

60. Ματθ. 5, 43-48. 61. Ἰω. 1, 48.

ἐπίσκοπος· Συγχώρησόν μοι, ἀββᾶ· οἶδα ὅτι οὐκ ἤθελες τὸ πρᾶγμα τοῦτο, ἀλλὰ διὰ τὸ εὐλογηθῆναί με παρὰ σοῦ ἐτόλμησα τοῦτο ποιῆσαι. Εἶπε δὲ αὐτῷ ὁ Γέρων μετὰ ταπεινώσεως· Καὶ ὁ λογισμός μου μικρὸν ἤθελε, πλὴν εἰς τοῦτο ἐγὼ κοπιῶ, ὅτι χωρισθῆναι ἔχω ἀπὸ τοῦ ἀδελφοῦ τοῦ μετ᾽ ἐμοῦ, οὐ βαστάζω γὰρ ὅλας τὰς εὐχὰς ποιῆσαι μόνος. Καὶ λέγει αὐτῷ ὁ ἐπίσκοπος· Εἰ οἶδας ὅτι ἄξιός ἐστιν, ἐγὼ αὐτὸν χειροτονῶ. Λέγει αὐτῷ ὁ ἀββᾶς Ματώης· Εἰ μὲν ἄξιός ἐστιν οὐκ οἶδα, ἓν δὲ οἶδα, ὅτι ἐμοῦ καλλίων ἐστίν.

Ἐχειροτόνησε δὲ καὶ αὐτόν. Καὶ ἐκοιμήθησαν ἀμφότεροι μὴ ἐγγίσαντες θυσιαστηρίῳ ἕνεκεν τοῦ ποιῆσαι προσφοράν. Ἔλεγε δὲ ὁ Γέρων· Πιστεύω εἰς τὸν Θεὸν ὅτι οὐκ ἔχω κρῖμα πολὺ διὰ τὴν χειροτονίαν, ὁπότε οὐ ποιῶ προσφοράν· τῶν γὰρ ἀμέμπτων ἐστὶν ἡ χειροτονία.

101. Ἠρώτησεν ἀδελφὸς τὸν ἀββᾶν Ματώην λέγων· εἰπέ μοι ῥῆμα. Ὁ δὲ εἶπεν αὐτῷ· Ὕπαγε παρακάλεσον τὸν Θεόν, ἵνα δώσῃ πένθος εἰς τὴν καρδίαν σου καὶ ταπείνωσιν· καὶ πρόσεχε πάντοτε τὰς ἁμαρτίας σου· καὶ μὴ κρῖνε ἄλλους, ἀλλὰ γενοῦ ὑποκάτω πάντων· καὶ μὴ ἔχε φιλίαν μετὰ παιδίου, μήτε γνῶσιν μετὰ γυναικός, μήτε φίλον αἱρετικόν· καὶ κόψον τὴν παρρησίαν ἀπὸ σοῦ· καὶ κράτησον τῆς γλώσσης σου καὶ τῆς κοιλίας σου καὶ ἀπὸ οἴνου μικρόν· καὶ ἐάν τις λαλήσῃ περὶ πράγματος οἱουδήποτε, μὴ φιλονίκει μετ᾽ αὐτοῦ, ἀλλ᾽ ἐὰν καλῶς λέγει, εἰπὲ ναί, ἐὰν δὲ καὶ κακῶς, εἰπέ· Σὺ οἶδας πῶς λαλεῖς· καὶ μὴ ἔριζε μετ᾽ αὐτοῦ περὶ ὧν ἐλάλησε. Καὶ αὕτη ἐστὶν ἡ ταπείνωσις.

τοῦ λέει ὁ ἐπίσκοπος: «Συγχώρεσέ με, ἀββᾶ. Γνωρίζω ὅτι δέν τό ἤθελες αὐτό πού ἔγινε, ἀλλά τόλμησα νά τό κάνω γιά νά εὐλογηθῶ ἀπό σένα».

Εἶπε τότε ὁ Γέροντας μέ ταπείνωση: «Καί ὁ λογισμός μου λίγο τό ἤθελε· στενοχωροῦμαι μόνο, πού θά ἀποχωρισθῶ τόν ἀδελφό πού ἔχω μαζί μου, καί δέν ἀντέχω νά κάνω ὅλες τίς εὐχές μόνος». Καί ὁ ἐπίσκοπος τοῦ εἶπε: «Ἐάν ξέρεις ὅτι εἶναι ἄξιος, ἐγώ θά τόν χειροτονήσω». «Ἄν εἶναι ἄξιος –ἀπάντησε ὁ ἀββᾶς Ματώης– δέν τό ξέρω, ἕνα μόνο ξέρω, ὅτι εἶναι καλύτερός μου».

Ἔτσι χειροτόνησε καί αὐτόν. Ἀλλά κοιμήθηκαν καί οἱ δυό καί δέν πλησίασαν τό θυσιαστήριο γιά νά τελέσουν τή θεία Λειτουργία.

Ἔλεγε μάλιστα ὁ Γέροντας: «Πιστεύω στόν Θεό ὅτι δέν θά μοῦ καταλογίσει πολλή εὐθύνη γιά τήν χειροτονία, ὅταν δέν τελῶ θεία Λειτουργία. Γιατί ἡ χειροτονία εἶναι γιά τούς ἄμεμπτους».

101. Παρακάλεσε ἀδελφός τόν ἀββᾶ Ματώη: «Πές μου ἕναν λόγο». Κι ἐκεῖνος τοῦ εἶπε: «Πήγαινε καί παρακάλεσε τόν Θεό νά δώσει πένθος στήν καρδιά σου καί ταπείνωση. Νά ἔχεις πάντοτε στραμμένη τήν προσοχή σου στίς ἁμαρτίες σου, νά μήν κρίνεις ἄλλους, ἀλλά νά βάζεις τόν ἑαυτό σου κάτω ἀπ᾽ ὅλους. Μήν ἔχεις φιλία μέ πολύ νεαρό, μήν ἔχεις γνωριμία μέ γυναίκα οὔτε καί φίλο αἱρετικό.

Κόψε τήν παρρησία σου, κυριάρχησε στή γλώσσα καί στήν κοιλιά καί περιόρισε λίγο καί τό κρασί.

Ἐάν κάποιος σοῦ κάνει λόγο γιά κάποιο θέμα, μή φιλονικήσεις μαζί του· ἀλλά ἄν αὐτά πού λέει εἶναι σωστά, πές του "ναί", ἄν δέν εἶναι σωστά, πές του: "Ἐσύ γνωρίζεις πῶς μιλᾶς" καί μή λογοφέρνεις μαζί του γιά ὅσα εἶπε. Αὐτή εἶναι ἡ ταπείνωση».

102. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ματώην λέγων· Τί ποιήσω ὅτι ἡ γλῶσσά μου θλίβει με, καὶ ὅταν ἔρχωμαι μέσον τῶν ἀνθρώπων, οὐ δύναμαι κατασχεῖν αὐτήν, ἀλλὰ κατακρίνω αὐτοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ, καὶ ἐλέγχω αὐτούς; Τί οὖν ποιήσω; Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν· Εἰ οὐ δύνασαι κατέχειν αὐτήν, φύγε κατὰ μόνας· ἀσθένεια γάρ ἐστιν. Ὁ δὲ καθήμενος μετὰ ἀδελφῶν οὐκ ὀφείλει εἶναι τετραγωνιαῖος, ἀλλὰ στρογγύλος, ἵνα πρὸς πάντας κυλίηται. Καὶ εἶπεν ὁ Γέρων· Οὐ κατὰ ἀρετὴν κάθημαι κατὰ μόνας, ἀλλὰ κατὰ ἀσθένειαν· δυνατοὶ γάρ εἰσιν οἱ εἰσερχόμενοι ἐν μέσῳ τῶν ἀνθρώπων.

103. Εἶπεν ὁ ἀββᾶς Μιὼς περί τινος Γέροντος ὅτι ἦν ἐν Σκήτει, ἦν δὲ ἀπὸ δούλων, ἐγένετο δὲ διακριτικὸς σφόδρα. Καὶ ἤρχετο κατ᾽ ἐνιαυτὸν εἰς Ἀλεξάνδρειαν φέρων τὴν μισθοφορίαν τοῖς κυρίοις αὐτοῦ. Καὶ ὑπήντων αὐτῷ καὶ προσεκύνουν. Ὁ δὲ Γέρων ἔβαλλεν ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἔφερεν, ἵνα νίψῃ τοὺς κυρίους αὐτοῦ. Οἱ δὲ πρὸς αὐτὸν ἔλεγον· Μή, πάτερ, μὴ βαρῇς ἡμᾶς. Ὁ δὲ πρὸς αὐτοὺς ἔλεγεν· Ὁμολογῶ ὅτι δοῦλος ὑμῶν εἰμι καὶ εὐχαριστῶ ὅτι ἀφήκατέ με ἐλεύθερον δουλεύειν τῷ Θεῷ· ἀλλὰ κἀγὼ νίπτω ὑμᾶς, καὶ δέξασθε τὴν μισθοφορίαν μου ταύτην. Οἱ δὲ ἐφιλονίκουν μὴ καταδεχόμενοι. Ἔλεγεν οὖν αὐτοῖς· Ἐὰν μὴ θέλητε δέξασθαι, κάθημαι ὧδε δουλεύων ὑμῖν. Καὶ φοβούμενοι αὐτὸν ἠφίουν, ὃ

62. Μισθοφορία: (φέρω μισθόν). Ἀπό τά συμφραζόμενα συνάγεται ὅτι, ὡς ἀπελεύθερος δοῦλος, πρόσφερε στούς πρώην κυρίους του κάτι ἀπό τήν ἐργασία του· εἴτε σέ εἶδος εἴτε σέ χρῆμα ἀπό εὐγνωμοσύνη ἤ ὑπῆρχε κάποιος σχετικός νόμος. Ἐφ. 6, 5-9. Πρβλ. Α΄ Κορ. 7, 21.

102. Ἀδελφός ρώτησε τόν ἀββᾶ Ματώη: «Τί νά κάνω πού μέ στενοχωρεῖ ἡ γλώσσα μου, γιατί σάν βρεθῶ ἀνάμεσα σέ ἀνθρώπους, δέν μπορῶ νά τήν συγκρατήσω καί τούς κατακρίνω γιά κάθε καλή πράξη ἀλλά καί τούς ἐλέγχω. Τί νά κάνω λοιπόν;»

Καί ὁ Γέροντας ἀποκρίθηκε: «Ἐάν δέν μπορεῖς νά κυριαρχήσεις στή γλώσσα σου, πᾶνε νά ζήσεις μόνος· γιατί αὐτό εἶναι ἀδυναμία σου. Αὐτός πού μένει μαζί μέ ἀδελφούς, δέν πρέπει νά εἶναι τετράγωνος, ἀλλά στρογγυλός γιά νά κυλάει πρός ὅλους». Καί πρόσθεσε ὁ Γέροντας: «Τό ὅτι ζῶ μόνος δέν εἶναι ἀπό ἀρετή ἀλλά ἀπό ἀδυναμία. Δυνατοί εἶναι αὐτοί πού βάζουν τόν ἑαυτό τους ἀνάμεσα σέ ἀνθρώπους».

103. Εἶπε ὁ ἀββᾶς Μιώς γιά κάποιον Γέροντα πού ἦταν στή Σκήτη ὅτι προερχόταν ἀπό τήν τάξη τῶν δούλων καί ὅτι ἀπέκτησε σέ μεγάλο βαθμό τό χάρισμα τῆς διακρίσεως.

Αὐτός λοιπόν πήγαινε κάθε χρόνο στήν Ἀλεξάνδρεια γιά τήν μισθοφορία[62] στούς κυρίους του. Ἐκεῖνοι μόλις τόν συναντοῦσαν, τόν προσκυνοῦσαν. Καί ὁ Γέροντας ἔριχνε νερό στή λεκάνη καί τήν ἔφερνε γιά νά πλένει τά πόδια τῶν κυρίων του. Διαμαρτύρονταν ἐκεῖνοι λέγοντας: «Μή, πάτερ, μή βαραίνεις τή συνείδησή μας». Ἀλλά αὐτός τούς ἔλεγε: «Ὁμολογῶ ὅτι εἶμαι δοῦλος σας· καί εὐχαριστῶ πού μέ ἀφήσατε ἐλεύθερο νά ὑπηρετῶ τόν Θεό, καί ἐγώ πλένω τά πόδια σας· δεχθεῖτε, παρακαλῶ, τήν προσφορά μου αὐτή». Ἐκεῖνοι ἀντέλεγαν, γιατί δέν ἤθελαν νά δεχθοῦν, καί αὐτός τότε τούς ἔλεγε: «Ἐάν δέν δεχθεῖτε, θά μείνω ἐδῶ νά εἶμαι δοῦλος σας». Ἀπό φόβο λοιπόν τόν ἄφηναν νά κάνει

ἐβούλετο ποιῆσαι, καὶ προέπεμπον αὐτὸν μετὰ πολλῶν χρειῶν καὶ πολλῆς τιμῆς, ἵνα ποιῇ ὑπὲρ αὐτῶν ἀγάπην. Καὶ διὰ τοῦτο ἐγένετο ὀνομαστὸς εἰς Σκῆτιν καὶ ἀγαπητός.

104. Παρέβαλεν ὁ ἀββᾶς Μακάριος πρὸς τὸν ἀββᾶν Παχώμιον τὸν Ταβεννησιώτην. Ὁ δὲ ἀββᾶς Παχώμιος ἠρώτα αὐτὸν λέγων ὅτι εἰσὶν ἀδελφοὶ ἄτακτοι· καλόν ἐστι παιδεῦσαι αὐτούς; Λέγει αὐτῷ ὁ ἀββᾶς Μακάριος· Παίδευσον καὶ κρίνων δικαίως τοὺς ὑπὸ σέ· ἔξω δὲ μὴ κρίνῃς τινάς· γέγραπται γάρ· Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; Τοὺς δὲ ἔξω ὁ Θεὸς κρίνει.

105. Εἶπεν ὁ ἀββᾶς Νεῖλος· Μακάριός ἐστι μοναχὸς ὁ πάντων περίψημα ἑαυτὸν λογιζόμενος.

106. Τὰ περὶ τοῦ ἀββᾶ Νισθερώου ἀκούσας ὁ ἀββᾶς Ποιμὴν καθεζομένου εἰς κοινόβιον, ἐπεθύμησεν αὐτὸν ἰδεῖν καὶ ἐδήλωσε τῷ ἀββᾷ αὐτοῦ, ἵνα ἀποστείλῃ αὐτόν. Καὶ μὴ βουλόμενος ἀποστεῖλαι αὐτὸν μόνον οὐκ ἀπέστειλε.

Μετὰ δὲ μικρὰς ἡμέρας ὁ οἰκονόμος τοῦ κοινοβίου ἔχων λογισμὸν παρεκάλεσε τὸν ἀββᾶν αὐτοῦ ἀπολῦσαι αὐτὸν πρὸς τὸν ἀββᾶν Ποιμένα θέλων ἐξειπεῖν αὐτῷ τοὺς ἑαυτοῦ λογισμούς. Ὁ δὲ ἀπέλυσεν αὐτὸν εἰπών· Λάβε καὶ τὸν ἀδελφὸν μετὰ σοῦ, ὅτι ἐδήλωσέ μοι ὁ Γέρων περὶ αὐτοῦ, καὶ μὴ θαρρῶν ἀποστεῖλαι αὐτὸν μόνον, οὐκ ἔπεμψα.

63. Α΄ Κορ. 5, 12-13.

64. Πρβλ. Α΄ Κορ. 4, 13.

αὐτό πού ἤθελε καί τόν ξεπροβοδοῦσαν τιμώντας τον ἰδιαίτερα καί δίνοντάς του πολλά ἀγαθά, γιά νά κάνει ἐλεημοσύνες γιά χάρη τους. Μέ τόν τρόπο αὐτό ἔγινε γνωστό τό ὄνομά του στή Σκήτη καί τόν ἀγαποῦσαν.

104. Πῆγε ὁ ἀββᾶς Μακάριος στόν ἀββᾶ Παχώμιο* τόν Ταβεννησιώτη. Καί ὁ ἀββᾶς Παχώμιος ζήτησε τή γνώμη του γιά τό ἑξῆς: «Εἶναι κάποιοι ἀδελφοί ἄτακτοι, τοῦ εἶπε. Εἶναι καλό νά τούς τιμωρήσουμε γιά νά τούς παιδαγωγήσουμε;» Καί ὁ ἀββᾶς Μακάριος τοῦ ἀποκρίθηκε: «Τιμώρησε τούς ὑποτακτικούς σου κρίνοντάς τους δίκαια. Ἄλλους πού εἶναι ἔξω ἀπό τήν δικαιοδοσία σου μήν τούς κρίνεις. Γιατί ἡ Γραφή λέει: Τούς μέσα δέν κρίνετε ἐσεῖς; Τούς ἔξω ὁ Θεός τούς κρίνει[63]».

105. Εἶπε ὁ ἀββᾶς Νεῖλος*: «Μακάριος εἶναι ὁ μοναχός ὁ ὁποῖος θεωρεῖ τόν ἑαυτό του ἀπόβρασμα τῆς κοινωνίας[64]».

106. Ὅταν πληροφορήθηκε ὁ ἀββᾶς Ποιμήν τά σχετικά μέ τόν ἀββᾶ Νισθερῶο, πού μόναζε σέ κοινόβιο, ἐπεθύμησε νά τόν δεῖ. Φανέρωσε τήν ἐπιθυμία του στόν ἀββᾶ τοῦ Νισθερώου γιά νά τόν στείλει. Ἀλλά ὁ ἀββᾶς δέν ἤθελε νά τόν στείλει μόνο του καί ἔτσι δέν τοῦ 'δωσε εὐλογία νά πάει.

Ὕστερα ἀπό λίγες μέρες ὁ οἰκονόμος τοῦ κοινοβίου εἶχε τόν λογισμό νά πάει στόν ἀββᾶ Ποιμένα, γιατί ἤθελε νά τοῦ ἐξαγορεύσει τούς λογισμούς του. Παρακάλεσε λοιπόν τόν ἀββᾶ του νά τοῦ δώσει τήν εὐλογία νά πάει. Ὁ ἀββᾶς τοῦ 'δωσε τήν εὐλογία λέγοντάς του: «Πάρε καί τόν ἀδελφό μαζί σου (τόν Νισθερῶο), γιατί ὁ Γέροντας μοῦ μίλησε γι' αὐτόν, ἀλλά δέν τόλμησα νά τόν στείλω μόνο, καί ἔτσι δέν πῆγε».

Ὡς δὲ ἦλθε πρὸς τὸν Γέροντα ὁ οἰκονόμος, ἐλάλησεν αὐτῷ τοὺς ἑαυτοῦ λογισμούς, καὶ ἐθεράπευσεν αὐτόν. Μετὰ δὲ τοῦτο ἠρώτα ὁ Γέρων τὸν ἀδελφὸν λέγων· Ἀββᾶ Νισθερῶε, πόθεν ἐκτήσω τὴν ἀρετὴν ταύτην ὅτι, ὅταν τί ποτε συμβῇ θλῖψις εἰς τὸ κοινόβιον, οὐ λαλεῖς οὐδὲ μεσάζεις; Καὶ πολλὰ βιασθεὶς ὁ ἀδελφὸς ὑπὸ τοῦ Γέροντος εἶπεν· Συγχώρησόν μοι, ἀββᾶ· ὅτε εἰσῆλθον τὴν ἀρχὴν εἰς τὸ κοινόβιον, εἶπον τῷ λογισμῷ μου ὅτι σὺ καὶ ὁ ὄνος ἕν ἐστε· ὥσπερ ὁ ὄνος δέρεται καὶ οὐ λαλεῖ, ὑβρίζεται καὶ οὐδὲν ἀποκρίνεται, οὕτω καὶ σύ, καθὼς καὶ ὁ ψαλμῳδὸς λέγει· Κτηνώδης ἐγενήθην παρὰ σοί, κἀγὼ διὰ παντὸς μετὰ σοῦ».

107. Εἶπεν ὁ ἀββᾶς Ξάνθιος· Ὁ κύων κρείσσων μού ἐστι, διότι καὶ ἀγάπην ἔχει καὶ εἰς κρίσιν οὐκ ἔρχεται.

108. Εἶπεν ὁ ἀββᾶς Ὀρσίσιος· Πλίνθος ὠμὴ βαλλομένη εἰς θεμέλιον ἐγγὺς ποταμοῦ οὐχ ὑπομένει μίαν ἡμέραν· ὀπτὴ δέ, ὡς λίθος, διαμένει. Οὕτως ἄνθρωπος σαρκικὸν φρόνημα ἔχων καὶ μὴ πυρωθεὶς κατὰ τὸν Ἰωσὴφ τῷ φόβῳ τοῦ Θεοῦ, λύεται προελθὼν εἰς ἀρχήν· πολλοὶ γὰρ τῶν τοιούτων οἱ πειρασμοὶ ἐν μέσῳ ἀνθρώπων ὄντων. Καλὸν δέ τινα εἰδότα τὰ ἴδια μέτρα, ἀποφεύγειν τὸ βάρος τῆς ἀρχῆς. Οἱ δὲ ἑδραῖοι τῇ πίστει ἀμετακίνητοί εἰσι.

Περὶ αὐτοῦ γὰρ τοῦ ἁγιωτάτου Ἰωσήφ, ἐὰν θελήσῃ τις λαλῆσαι, λέγει ὅτι οὐκ ἐπίγειος ἦν, πόσα ἐπειράσθη καὶ ἐν ποίᾳ χώρᾳ, ὅπου οὐκ ἦν τότε ἴχνος θεοσεβείας. Ἀλλ' ὁ Θεὸς τῶν πατέρων αὐτοῦ ἦν μετ' αὐτοῦ καὶ ἐξείλετο αὐτὸν ἐκ πάσης θλίψεως. Καὶ νῦν ἐστι μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῇ

65. Ψαλμ. 72, 22-23.

66. Α' Κορ. 15, 58.

Ὅταν λοιπόν ἔφτασε ὁ οἰκονόμος στόν Γέροντα, τοῦ εἶπε τούς λογισμούς του καί ὁ Γέροντας τόν ἀνέπαυσε. Κατόπιν ρώτησε ὁ Γέροντας τόν ἀδελφό Νισθερῶο: «Ἀββᾶ Νισθερῶε, πῶς ἀπέκτησες τήν ἀρετή αὐτή; Δηλαδή ὅποτε συμβεῖ κάποια στενοχώρια στό κοινόβιο, ἐσύ δέν μιλᾶς καί δέν παρεμβαίνεις». Καί ἐπειδή πιέσθηκε ἀπό τόν Γέροντα ὁ ἀδελφός, εἶπε: «Ἀββᾶ, συγχώρα με· ὅταν πρωτομπῆκα στό κοινόβιο, εἶπα στόν λογισμό μου: ἐσύ καί ὁ ὄνος εἶστε ἕνα πράγμα. Ὅπως τόν ὄνο τόν χτυποῦν καί δέν μιλάει, τόν βρίζουν καί δέν ἀπαντάει, ἔτσι κι ἐσύ, σύμφωνα καί μ' αὐτό πού λέει ὁ Ψαλμωδός: Ἔγινα ἐνώπιόν σου ὅμοιος μέ κτῆνος, ἀλλά ἐγώ θά εἶμαι γιά πάντα μαζί Σου[65]».

107. Εἶπε ὁ ἀββᾶς Ξάνθιος: «Τό σκυλί εἶναι σέ καλύτερη μοίρα ἀπό μένα, διότι καί ἀγάπη ἔχει καί δέν θά κριθεῖ».

108. Εἶπε ὁ ἀββᾶς Ὀρσίζιος: «Τοῦβλο ἄψητο, πού τοποθετεῖται σέ θεμέλια κοντά σέ ποτάμι, δέν ἀντέχει οὔτε μιά μέρα. Ἐνῶ τό ψημένο, σάν πέτρα, παραμένει. Τό ἴδιο καί ὁ ἄνθρωπος, πού ἔχει σαρκικό φρόνημα καί δέν ψήθηκε, κατά τό ὑπόδειγμα τοῦ Ἰωσήφ μέσα στόν φόβο τοῦ Θεοῦ, ὅταν ἀνέλθει στήν ἐξουσία, διαλύεται. Πολλούς πειρασμούς ἔχουν αὐτοί, καθώς βρίσκονται ἀνάμεσα σέ ἀνθρώπους. Συνετό λοιπόν εἶναι νά γνωρίζει κανείς τά μέτρα του καί νά ἀποφεύγει τό βάρος τῆς ἐξουσίας. Ὅσοι ὅμως εἶναι θεμελιωμένοι πάνω στήν πίστη, εἶναι ἀμετακίνητοι[66].

Γι' αὐτόν τόν ἁγιότατο Ἰωσήφ ἄν θελήσει κανείς νά μιλήσει, θά πεῖ ὅτι δέν ἦταν ἐπίγειος ἄνθρωπος. Πόσους πειρασμούς ὑπέστη καί σέ ποιά χώρα, ὅπου δέν ὑπῆρχε ἴχνος εὐσέβειας! Ἀλλά ὁ Θεός τῶν πατέρων του ἦταν μαζί του καί τόν γλύτωσε ἀπό ὅλες τίς δοκιμασίες. Καί τώρα

Βασιλείᾳ τῶν Οὐρανῶν. Καὶ ἡμεῖς τοίνυν ἐπιγνόντες τὰ ἑαυτῶν μέτρα, ἀγωνισώμεθα· μόλις γὰρ οὕτω δυνησόμεθα ἐκφυγεῖν τὴν κρίσιν τοῦ Θεοῦ.

109. Ἐκράτησέ ποτε ὁ ἄρχων τῆς χώρας τινὰ τῆς κώμης τοῦ ἀββᾶ Ποιμένος. Καὶ ἦλθον πάντες παρακαλοῦντες τὸν Γέροντα ἀπελθεῖν καὶ ἐκβαλεῖν αὐτόν. Ὁ δὲ εἶπεν· Ἐάσατέ με τρεῖς ἡμέρας, καὶ οὕτως ἔρχομαι. Ηὔξατο οὖν ὁ ἀββᾶς Ποιμὴν πρὸς Κύριον λέγων· Κύριε, μὴ δῷς μοι τὴν χάριν ταύτην, ἐπεὶ οὐκ ἀφίουσί με καθίσαι ἐν τῷ τόπῳ τούτῳ. Ἦλθεν οὖν ὁ Γέρων παρακαλῶν τὸν ἄρχοντα. Ὁ δὲ πρὸς αὐτὸν ἔφη· Περὶ ληστοῦ παρακαλεῖς, ἀββᾶ; Ὁ δὲ Γέρων ἐχάρη ὅτι οὐκ ἐδέξατο τὴν χάριν παρ᾽ αὐτοῦ.

110. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ἀλώνιον λέγων· Τί ἐστιν ἐξουδένωσις; Καὶ εἶπεν ὁ Γέρων· Τὸ εἶναί σε ὑποκάτω τῶν ἀλόγων καὶ εἰδέναι ὅτι ἀκατάκριτά εἰσιν.

111. Ἔλεγεν ὁ ἀββᾶς Ἰωσὴφ ὅτι καθημένων ἡμῶν μετὰ τοῦ ἀββᾶ Ποιμένος, ὠνόμασε τὸν ἀββᾶν Ἀγάθωνα. Καὶ λέγομεν αὐτῷ· Νεώτερός ἐστι, καὶ διατί καλεῖς αὐτὸν ἀββᾶν; Καὶ εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι τὸ στόμα αὐτοῦ ἐποίησεν αὐτὸν καλεῖσθαι ἀββᾶν.

112. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι διὰ τοῦτο ἐν πολλοῖς πειρασμοῖς κείμεθα, ὅτι τὴν τάξιν καὶ τὰ ὀνόματα ἡμῶν οὐ φυλάσσομεν, καθὼς καὶ ἡ Γραφὴ λέγει. Οὐχ ὁρῶμεν τὴν γυναῖκα τὴν Χαναναίαν τὴν ὑποδεξαμένην τὸ ὄνομα αὐτῆς,

βρίσκεται μαζί μέ τούς πατέρες του στή Βασιλεία τῶν Οὐρανῶν.

Καί μεῖς λοιπόν γνωρίζοντας τά μέτρα μας ἄς ἀγωνισθοῦμε· γιατί μόλις ἔτσι θά μπορέσουμε νά ἀποφύγουμε τήν κρίση τοῦ Θεοῦ».

109. Κάποτε ὁ ἄρχοντας τῆς χώρας ἔβαλε στήν φυλακή κάποιον ἀπό τό χωριό τοῦ ἀββᾶ Ποιμένος. Πῆγαν λοιπόν ὅλοι καί παρακαλοῦσαν τόν Γέροντα νά πάει καί νά τόν βγάλει. Κι ἐκεῖνος εἶπε: «Δῶστε μου διωρία τρεῖς μέρες καί μετά θά ρθῶ». Προσευχήθηκε κατόπιν ὁ ἀββᾶς Ποιμήν στόν Κύριο καί εἶπε: «Κύριε, μή μοῦ κάνεις τή χάρη αὐτή, γιατί δέν θά μέ ἀφήσουν νά μονάσω στόν τόπο αὐτόν».

Πῆγε μετά ὁ Γέροντας στόν ἄρχοντα καί τόν παρακάλεσε. Ἐκεῖνος τοῦ εἶπε: «Γιά ληστή μέ παρακαλᾶς, ἀββᾶ;» Καί ὁ Γέροντας χάρηκε πού δέν τοῦ ᾽κανε τή χάρη.

110. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι ἀδελφός ρώτησε τόν ἀββᾶ Ἀλώνιο τί εἶναι ἐξουδένωση. Καί ὁ Γέροντας εἶπε: «Τό νά ᾽σαι πιό κάτω ἀπό τά ἄλογα ζῶα καί νά γνωρίζεις ὅτι αὐτά δέν θά κριθοῦν».

111. Εἶπε ὁ ἀββᾶς Ἰωσήφ ὅτι καθώς καθόμασταν μέ τόν ἀββᾶ Ποιμένα, ἀπεκάλεσε τόν Ἀγάθωνα ἀββᾶ. Καί τοῦ ᾽παμε: «Εἶναι νέος, γιατί τόν ὀνομάζεις ἀββᾶ;» Καί εἶπε ὁ ἀββᾶς Ποιμήν: «Τό στόμα του τόν ἔκανε νά ἀποκαλεῖται ἀββᾶς».

112. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἔχουμε πολλούς πειρασμούς, γιατί δέν ἀποδεχόμαστε τήν τάξη στήν ὁποία εἴμαστε, καθώς καί τό ὄνομά μας, ὅπως μᾶς λέει ἡ Γραφή. Δέν βλέπουμε τή γυναίκα τή Χαναναία πού ἀποδέχθηκε τόν χαρακτηρισμό πού τῆς ἔκανε ὁ Κύριος καί γι᾽ αὐτό τήν

ὅτι ἀνέπαυσεν αὐτὴν ὁ Σωτήρ; Καὶ πάλιν Ἀβιγαίαν, ὅτι εἶπε τῷ Δαβὶδ ὅτι ἐν ἐμοί ἐστιν ἡ ἁμαρτία, καὶ ἤκουσεν αὐτῆς καὶ ἠγάπησεν αὐτήν; Ἀβιγαία πρόσωπον λαμβάνει τῆς ψυχῆς, καὶ Δαβὶδ τῆς θεότητος. Ἐὰν οὖν ἡ ψυχὴ ἑαυτὴν μέμψηται ἐνώπιον Κυρίου, ἀγαπᾷ αὐτὴν ὁ Κύριος.

113. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Μὴ μέτρει σεαυτόν, ἀλλὰ κολλήθητι τῷ καλῶς ἀναστρεφομένῳ.

114. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα· Τὰ ὑψηλὰ τί ἐστι; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Τὸ δικαίωμα.

115. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ὁ ἀββᾶς Παφνούτιος μέγας ἦν καὶ ἔφυγεν εἰς τὰς μικρὰς λειτουργίας.

116. Εἶπε πάλιν ὅτι ἀδελφὸς οἰκῶν ἐν ἀδελφότητι ἠρώτησε τὸν ἀββᾶν Βησσαρίωνα· Τί ποιήσω; Ὁ δὲ Γέρων εἶπεν αὐτῷ· Σιώπα καὶ μὴ μέτρει σεαυτόν.

117. Εἶπε πάλιν ὅτι, ἐὰν σεαυτὸν εὐτελίσῃς, ἕξεις ἀνάπαυσιν εἰς οἷον δ' ἂν τόπον καθήσῃς.

67. Ματθ. 15, 21-28.

68. Α΄ Βασ. 25, 2-40. Ἡ Ἀβιγαία σύζυγος τοῦ Καρμηλίτη ἄρχοντα Νάβαλ. Ὅταν ὁ Νάβαλ ἀρνήθηκε νά δώσει τρόφιμα στούς στρατιῶτες τοῦ Δαβίδ, καί ὁ Δαβίδ ὀργισμένος ἑτοιμαζόταν νά ἐπιτεθεῖ ἐναντίον του, ἡ Ἀβιγαία ἔσωσε τήν κατάσταση μέ τή φρόνησή της ἀναλαμβάνοντας ὅλη τήν εὐθύνη ἡ ἴδια.

69. Ἡ λ. λειτουργία στήν ἐκκλησιαστική-μοναστική πραγματικότητα ἔχει πολλαπλή σημασία, ἀπό τά διακονήματα καί τόν μοναχικό κανόνα ἕως καί τό μυστήριο τῆς Θείας Εὐχαριστίας.

Ὁ ὅρος "μικρές λειτουργίες", ἐδῶ, θά λέγαμε ὅτι ἐκφράζει τή συμμετρία καί τή μεσότητα στήν ὅλη ἄσκηση καί ἐργασία τῆς μοναχικῆς ζωῆς. Συχνά

ἀνέπαυσε[67]; Ἐπίσης τήν Ἀβιγαία[68] πού εἶπε στόν Δαβίδ: Ἐγώ ἔφταιξα, κι ἐκεῖνος τήν ἄκουσε καί τήν ἀγάπησε;

Ἡ Ἀβιγαία ἐκπροσωπεῖ τήν ψυχή καί ὁ Δαβίδ τήν Θεότητα. Ἐάν λοιπόν ἡ ψυχή μεμφθεῖ τόν ἑαυτό της ἐνώπιον τοῦ Κυρίου, ὁ Κύριος τήν ἀγαπᾶ».

113. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Μήν ἔχεις περί πολλοῦ τόν ἑαυτό σου, ἀλλά νά προσκολληθεῖς σέ ἄνθρωπο πού ἡ ζωή του εἶναι σωστή».

114. Ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Τό ὑψηλό φρόνημα τί εἶναι;» Καί ὁ Γέροντας τοῦ εἶπε: «Τό νά ὑπεραμύνεσαι τό δίκιο σου».

115. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι ὁ ἀββᾶς Παφνούτιος* ἦταν μέγας καί ἐντούτοις κατέφευγε στίς μικρές λειτουργίες[69].

116. Εἶπε ἐπίσης ὅτι ἀδελφός, πού ἀνῆκε σέ κοινοβιακή ἀδελφότητα, ρώτησε τόν ἀββᾶ Βησσαρίωνα «τί νά κάνω;» Καί ὁ Γέροντας τοῦ εἶπε: «Νά τηρεῖς σιωπή καί νά μήν ἔχεις περί πολλοῦ τόν ἑαυτό σου».

117. Εἶπε ἀκόμη: «Ἐάν ταπεινώνεις τόν ἑαυτό σου, θά ἔχεις ἀνάπαυση σ' ὁποιονδήποτε τόπο μονάσεις».

...γεται ἀπό τούς Πατέρες ὅτι τό μέγεθος –εἴτε πρός τήν ὑπερβολή εἴτε πρός τήν ἔλλειψη– ἐνδέχεται νά προέρχεται ἀπό τούς δαίμονες. Ἐνῶ ἡ "βασιλική ...", ὅρος πού ἐκφράζει στήν Ὀρθοδοξία τή μεσότητα, τή συμμετρία κατά ...ρίπτωση, ἀπομακρύνει τόν κίνδυνο τῶν παρεκκλίσεων καί ἐξασφαλίζει τή ...βαία πορεία καί κατάληξη. (Βλ. Μ. Γερ. κεφ. Ι΄ Περί διακρίσεως, σελ. 108, ...οσημ. 74, καί ἀποφθ. 93, 170, 277 κ.ἄ.).

Ὁ ὅρος "μικρές λειτουργίες" σήμερα στή μοναστική πραγματικότητα ση... τίς Θεῖες Λειτουργίες πού τελοῦνται κάποιες φορές σέ παρεκκλήσι... ἡ σκήτης μέ ἁπλότητα, ἡσυχία καί συντομία. Ὁπωσδήποτε διαφαίνε... καί ἐδῶ κάποια ἐγγενής σχέση μέ τή θέση τῶν ἀρχαίων ἀββάδων.

118. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἐὰν φθάση ἄνθρωπος εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου, τὸ πάντα καθαρὰ τοῖς καθαροῖς, ὁρᾷ ἑαυτὸν ἐλάττονα πάσης τῆς κτίσεως. Λέγει ὁ ἀδελφός· Πῶς δύναμαι ἑαυτὸν ἐλάττονα τοῦ φονέως ἡγεῖσθαι; Λέγει ὁ Γέρων ὅτι, ἐὰν φθάση ἄνθρωπος εἰς τὸ ῥητόν τοῦτο καὶ ἴδη ἄνθρωπον φονεύοντα, λέγει ὅτι ταύτην τὴν ἁμαρτίαν ἐποίησε μόνην οὗτος, ἐγὼ δὲ φονεύω καθ' ἑκάστην ἡμέραν.

119. Ἤτησεν ὁ ἀδελφὸς περὶ τοῦ αὐτοῦ ῥητοῦ τὸν ἀββᾶν Ἀνούβ, ὡς ὅτι τάδε εἶπεν ὁ ἀββᾶς Ποιμήν. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ἀνοὺβ ὅτι ἐὰν φθάση ἄνθρωπος εἰς τὸ ῥητὸν τοῦτο καὶ ἴδη τὰ ὑστερήματα τοῦ ἀδελφοῦ αὐτοῦ, ποιεῖ τὴν δικαιοσύνην αὐτοῦ καταπιεῖν αὐτά. Λέγει αὐτῷ ὁ ἀδελφός· Ποία ἐστὶν ἡ δικαιοσύνη αὐτοῦ; Ἀπεκρίθη ὁ Γέρων· Ἵνα πάντοτε καταμέμψηται ἑαυτόν.

120. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἐὰν ἄνθρωπος ἑαυτὸν μέμψηται, καρτερεῖ πανταχοῦ.

121. Ἀδελφὸς εἶπε τῷ ἀββᾷ Ποιμένι ὅτι, ἐὰν παραπέσω ἐν οἰκτρῷ παραπτώματι, κατεσθίει με ὁ λογισμός μου καὶ κατηγορεῖ, διατί παρέπεσας. Λέγει αὐτῷ ὁ Γέρων· Ἐν ᾗ ὥρᾳ ὑποπίπτει ἄνθρωπος σφάλματι εἴπη ἥμαρτον, πάραυτα πέπαυται.

122. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ποιμένος ὅτι οὐδέποτε ἤθελε δοῦναι τὸν λόγον αὐτοῦ ἐπάνω ἄλλου Γέροντος, ἀλλὰ μᾶλλον κατὰ πάντα ἐπήνει αὐτόν.

Μέ τό σύντομο αὐτό ἀλλά τόσο περιεκτικό ἀπόφθεγμα, πιθανόν ὁ ἀββᾶς Ποιμήν νά θέλει τελικά νά μᾶς πεῖ ὅτι ὁ ἀββᾶς Παφνούτιος, ἄν καί ἦταν

118. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι, ἄν φτάσει ὁ ἄνθρωπος στά μέτρα πού ἀναφέρει ὁ ἀπόστολος Παῦλος «ὅλα εἶναι καθαρά γιά τούς καθαρούς»[70], θεωρεῖ τόν ἑαυτό του κατώτερο ἀπό ὅλη τήν κτίση». «Καί πῶς μπορῶ –ρωτάει ὁ ἀδελφός– νά θεωρήσω τόν ἑαυτό μου χειρότερο ἀπό τόν φονιά;» Καί ὁ Γέροντας ἀπαντᾶ: «Ἐάν φτάσει ὁ ἄνθρωπος στά μέτρα πού ἀναφέρει τό ρητό αὐτό καί δεῖ κάποιον νά κάνει φόνο, λέει: αὐτός μόνο αὐτή τήν ἁμαρτία ἔκανε, ἐνῶ ἐγώ φονεύω καθημερινά».

119. Γιά τό ἴδιο ρητό ὁ ἀδελφός ζήτησε τή γνώμη τοῦ ἀββᾶ Ἀνούβ, λέγοντας ὅτι ὁ ἀββᾶς Ποιμήν εἶπε τό καί τό. Καί ὁ ἀββᾶς Ἀνούβ τοῦ λέει: «Ἐάν φτάσει ὁ ἄνθρωπος στά μέτρα πού ἀναφέρει τό ρητό καί δεῖ τίς ἐλλείψεις τοῦ ἀδελφοῦ του, βάζει τήν ἀρετή του νά τίς καταπιεῖ (τίς ἐλλείψεις)». «Καί ποιά εἶναι ἡ ἀρετή του στήν περίπτωση αὐτή;» ρωτάει ὁ ἀδελφός. «Ἡ ἀρετή του εἶναι –ἀποκρίνεται ὁ Γέροντας– νά μέμφεται πάντοτε τόν ἑαυτό του».

120. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἐάν ὁ ἄνθρωπος μέμφεται τόν ἑαυτό του, μπορεῖ νά ζήσει μέ καρτερία παντοῦ».

121. Ἀδελφός εἶπε στόν ἀββᾶ Ποιμένα: «Ἐάν πέσω σέ ἐλεεινό παράπτωμα, μέ κατατρώει ὁ λογισμός μου κατηγορώντας με "πῶς ἔγινε καί ἔπεσες;"» Καί ὁ Γέροντας τοῦ λέει: «Ὅποια ὥρα πέσει ὁ ἄνθρωπος σέ κάποιο σφάλμα καί πεῖ "ἥμαρτον", ἀμέσως παύει ὁ λογισμός».

122. Ἔλεγαν γιά τόν ἀββᾶ Ποιμένα ὅτι ποτέ δέν ἤθελε νά ἐκφράσει γνώμη πάνω στή γνώμη ἄλλου Γέροντος, ἀλλά ἐπεδίωκε γενικά νά τόν ἐπαινεῖ.

μέγας", προτιμοῦσε τά ταπεινά.

70. Τίτ. 1, 15.

123. Ἔλεγον ὅτι εἰ ἤρχοντό τινες πρὸς τὸν ἀββᾶν Ποιμένα, ἀπέστελλεν αὐτοὺς πρὸς τὸν ἀββᾶν Ἀνοὺβ πρῶτον, ὅτι αὐτὸς μείζων ἦν τοῖς ἔτεσιν. Ὁ δὲ ἀββᾶς Ἀνοὺβ ἔλεγεν αὐτοῖς· Πρὸς τὸν ἀδελφόν μου Ποιμένα ὑπάγετε, ὅτι αὐτὸς τὸ χάρισμα τοῦ λόγου ἔχει. Εἰ δὲ ἐκάθητο ἐκεῖ ὁ ἀββᾶς Ἀνοὺβ ἐγγὺς τοῦ ἀββᾶ Ποιμένος, οὐκ ἐλάλει ὅλως ὁ ἀββᾶς Ποιμὴν παρόντος αὐτοῦ.

124. Ἀδελφὸς ἐκάθητο ἔξω τῆς κώμης ἑαυτοῦ. Καὶ ἐπὶ πολλὰ ἔτη οὐκ ἀνέβη εἰς τὴν κώμην· καὶ ἔλεγε τοῖς ἀδελφοῖς· Ἰδοὺ πόσα ἔτη ἔχω καὶ οὐκ ἀνέβην καθάπαξ εἰς τὴν κώμην, καὶ ὑμεῖς ἀναβαίνετε. Εἶπον δὲ τῷ ἀββᾷ Ποιμένι περὶ αὐτοῦ. Καὶ εἶπεν ὁ Γέρων· Ἐγὼ εἰ ἤμην, ἀνέβαινον τὴν νύκτα καὶ ἐκύκλουν τὴν κώμην, ἵνα μὴ καυχᾶται ὁ λογισμός μου ὡς μὴ ἀναβαίνοντός μου.

125. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ἄνθρωπος δεῖται τῆς ταπεινοφροσύνης καὶ τοῦ φόβου τοῦ Θεοῦ διὰ παντός, ὥσπερ τῆς πνοῆς τῆς ἐκπορευομένης διὰ τῆς ῥινὸς αὐτοῦ.

126. Ἠρωτήθη ὁ ἀββᾶς Ποιμὴν ὑπὸ ἀδελφοῦ· Πῶς ὀφείλω εἶναι ἐν τῷ τόπῳ ᾧ κατοικῶ; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἔχε φρόνημα παροίκου, ὅπου ἐὰν κατοικῇς, ἵνα μὴ ζητήσῃς τὸν λόγον σου ἔμπροσθεν ἔχειν, καὶ ἀναπαύῃ.

127. Εἶπε πάλιν· Τὸ ῥῖψαι ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ καὶ

71. Ὁ ἀββᾶς Ἀνούβ ἦταν ὁ πρωτότοκος τῶν ἑπτά (φυσικῶν) ἀδελφῶν πού μόναζαν μαζί. Βλ. Μ. Γερ. τ. Α΄, σελ. 462-3.

72. Ὁ ξένος, πού εἶναι προσωρινός κάτοικος μιᾶς χώρας, δέν λαμβάνει

123. Ἔλεγαν ὅτι ἐάν ἔρχονταν κάποιοι στόν ἀββᾶ Ποιμένα, τούς ἔστελνε στόν ἀββᾶ Ἀνούβ πρῶτα, γιατί αὐτός ἦταν μεγαλύτερός του στήν ἡλικία[71]. Καί ὁ ἀββᾶς Ἀνούβ τούς ἔλεγε: «Στόν ἀββᾶ Ποιμένα, τόν ἀδελφό μου, πηγαίνετε, γιατί αὐτός ἔχει τό χάρισμα τοῦ λόγου». Καί ἄν ἔμενε ἐκεῖ ὁ ἀββᾶς Ἀνούβ, κοντά στόν ἀββᾶ Ποιμένα, δέν μιλοῦσε καθόλου ὁ ἀββᾶς Ποιμήν ὅσο ἦταν παρών ἐκεῖνος.

124. Κάποιος ἀδελφός μόναζε ἔξω ἀπό τό χωριό του καί γιά πολλά χρόνια δέν πῆγε στό χωριό του. Καί ἔλεγε στούς ἄλλους μοναχούς: «Νά, πόσα χρόνια ἔχω ἐδῶ καί δέν πῆγα οὔτε μιά φορά στό χωριό, ἐνῶ ἐσεῖς πηγαίνετε».

Ἀνέφεραν στόν ἀββᾶ Ποιμένα γι' αὐτόν· καί εἶπε ὁ Γέροντας: «Ἐγώ ἄν ἤμουν, θά πήγαινα τή νύκτα καί θά ἔφερνα ἕνα γύρο τό χωριό, γιά νά μήν καυχιέται ὁ λογισμός μου πώς τάχα δέν πηγαίνω».

125. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ὁ ἄνθρωπος ἔχει ἀνάγκη ἀπό τήν ταπεινοφροσύνη καί τόν φόβο τοῦ Θεοῦ ὅλη τήν ὥρα, ὅπως συμβαίνει μέ τήν ἀναπνοή ἀπό τή μύτη του».

126. Ρώτησε ἀδελφός τόν ἀββᾶ Ποιμένα: «Πῶς ὀφείλω νά εἶμαι στόν τόπο πού κατοικῶ;» Καί ὁ Γέροντας τοῦ λέει: «Νά ἔχεις φρόνημα ξένου[72] ὅπου κι ἄν κατοικεῖς, γιά νά μή ζητᾶς νά προβάλλεται ὁ λόγος σου ἐνώπιον ὅλων, καί θά εἶσαι ἀναπαυμένος».

127. Εἶπε ἐπίσης: «Τό νά εἶναι παραδομένος κανείς στόν Θεό μέ ἀπόλυτη ἐμπιστοσύνη, τό νά μήν ἔχει περί

μέρος στά κοινά ὅπως οἱ πολίτες τῆς χώρας· τά δικαιώματά του εἶναι περιορισμένα.

τὸ μὴ ἑαυτὸν μετρεῖν καὶ τὸ βάλλειν ὀπίσω αὐτοῦ τὸ ἴδιον θέλημα ἐργαλεῖά εἰσι τῆς ψυχῆς.

128. Ἀδελφὸς ἠρώτησεν αὐτὸν λέγων· Ἀββᾶ, τί με δεῖ προσέχειν καθεζόμενον ἐν τῷ κελλίῳ; Λέγει αὐτῷ ὁ Γέρων· Ἐγὼ τέως ἄνθρωπός εἰμι, ἐν βάθει βορβόρου ὢν ἕως τραχήλου καὶ φορτίον βαστάζων εἰς τὸν αὐχένα καὶ πρὸς τὸν Θεὸν κράζων· ἐλέησόν με.

129. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι εἶπεν ὁ μακάριος ἀββᾶς Ἀντώνιος ὅτι ἡ μεγάλη δυναστεία τοῦ ἀνθρώπου ἐστίν, ἵνα ἐπάνω αὐτοῦ βάλῃ τὸ ἴδιον σφάλμα ἐνώπιον Κυρίου καὶ προσδοκήσῃ πειρασμὸν ἕως ἐσχάτης ἀναπνοῆς.

130. Εἶπε πάλιν μετὰ στεναγμῶν· Πᾶσαι αἱ ἀρεταὶ εἰς τὸν οἶκον τοῦτον εἰσῆλθον παρὰ μίαν ἀρετήν, καὶ ἐκτὸς αὐτῆς κόπῳ ἵσταται ἄνθρωπος. Ἠρώτησαν οὖν αὐτὸν ποία ἐστί, καὶ εἶπεν· Ἵνα ἄνθρωπος μέμψηται ἑαυτόν.

131. Ἀδελφὸς παρέβαλε τῷ ἀββᾷ Ποιμένι καὶ λέγει αὐτῷ· Τί ποιήσω; Λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε πλησίασον μετὰ τοῦ λέγοντος τί θέλω ἐγώ, καὶ ἕξεις ἀνάπαυσιν.

132. Εἶπε πάλιν ὅτι ἔλεγεν ὁ ἀββᾶς Θεωνᾶς ὅτι κἂν κερδήσῃ τις ἀρετήν, ὁ Θεὸς οὐ παρέχει αὐτῷ τὴν χάριν· οἶδε γὰρ ὅτι οὐκ ἦν πιστὸς τοῦ ἰδίου καμάτου, ἀλλ᾽ ἐὰν ἀπέλθῃ πρὸς τὸν πλησίον αὐτοῦ, τότε παραμένει αὐτῷ.

73. Ἢ: "τί θέλω ἐγώ;" μέ τήν ἔννοια "τίς ψηφίζει με;" (= ποιός μέ ὑπολογίζει;)· ἔχει πιάσει δηλαδή τήν ταπείνωση στή βάση της καί δέν ἀποβλέπει

πολλοῦ τόν ἑαυτό του καί τό νά παραιτεῖται ἀπό τό θέλημά του, αὐτά εἶναι ἐργαλεῖα τῆς ψυχῆς».

128. Ἀδελφός ρώτησε τόν ἴδιο ἀββᾶ: «Ἀββᾶ, τί πρέπει νά προσέχω ὅταν "ἡσυχάζω" στό κελί;» Καί τοῦ λέει ὁ Γέροντας: «Ἐγώ πάντως εἶμαι ἕνας ἄνθρωπος βυθισμένος σέ βρωμερή λάσπη ὥς τό λαιμό, μέ φορτίο βαρύ στό σβέρκο, καί κράζω στόν Θεό: ἐλέησέ με».

129. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι ὁ μακάριος ἀββᾶς Ἀντώνιος ἔλεγε: «Ἡ μεγάλη δύναμη τοῦ ἀνθρώπου εἶναι τό νά ἀναλαμβάνει τήν εὐθύνη τῶν σφαλμάτων του ἐνώπιον τοῦ Κυρίου καί νά ἀναμένει πειρασμό μέχρι τελευταίας του ἀναπνοῆς».

130. Εἶπε ἀκόμη στενάζοντας: «Ὅλες οἱ ἀρετές ἦρθαν σ᾽ αὐτό τό σπίτι ἐκτός μιᾶς· καί χωρίς αὐτήν δύσκολα στέκεται ὁ ἄνθρωπος». Τόν ρώτησαν ἀμέσως: «Ποιά εἶναι;» καί ἀποκρίθηκε «τό νά μέμφεται ὁ ἄνθρωπος τόν ἑαυτό του».

131. Ἀδελφός ἐπισκέφθηκε τόν ἀββᾶ Ποιμένα καί τόν ρώτησε: «Τί νά κάνω;» Ὁ Γέροντας τοῦ λέει: «Πήγαινε καί ζῆσε κοντά σ᾽ αὐτόν πού λέει "θά κάνεις αὐτό πού λέω ἐγώ"[73] καί θά βρεῖς ἀνάπαυση».

132. Εἶπε ἐπίσης ὅτι ἔλεγε ὁ ἀββᾶς Θεωνᾶς: Κι ἄν ἀποκτήσει κανείς μιά ἀρετή, ὁ Θεός δέν τοῦ δίνει τή χάρη του. Γιατί ξέρει ὅτι δέν διαφυλάσσει τόν καρπό τοῦ κόπου του. Ἐνῶ ἄν πάει καί μείνει κοντά σέ ἀδελφό του, θά τόν κρατήσει τότε (ἐν. διά τῆς ὑπακοῆς).

ἀναγνώριση, ὁπότε θά τόν μιμηθεῖ καί ὁ ὑποτακτικός.

133. Εἶπε πάλιν· Μὴ πληρώσῃς τὸ θέλημά σου· ἀναγκαῖον δέ ἐστι μᾶλλον ταπεινῶσαι ἑαυτὸν τῷ ἀδελφῷ σου.

134. Εἶπε πάλιν· Ἄνθρωπος ἐὰν τὴν τάξιν αὐτοῦ φυλάσσῃ, οὐ ταράσσεται.

135. Εἶπε πάλιν· Ὃ ἑώρακεν ἄνθρωπος καὶ οὐκ ἐφύλαξε, πῶς τὸν πλησίον αὐτοῦ δύναται διδάξαι;

136. Εἶπε πάλιν· Ἄνθρωπος συνοικῶν τῷ πλησίον αὐτοῦ ὀφείλει εἶναι ὡς στήλη λιθίνη· ὑβριζόμενος καὶ μὴ ὀργιζόμενος, δοξαζόμενος καὶ μὴ ἐπαιρόμενος.

137. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ἐγὼ λέγω ὅτι εἰς τὸν τόπον, ὅπου βάλλεται ὁ σατανᾶς, ἐκεῖ βάλλομαι.

138. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Ἀδελφοὶ οἰκοῦσι μετ' ἐμοῦ· θέλεις κελεύσω αὐτοῖς; Λέγει ὁ Γέρων· Οὐχί, ἀλλὰ ποίησον πρῶτον τὸ ἔργον· καὶ ἐὰν θέλουσι ζῆν, ἑαυτοὺς βλέπουσι. Λέγει αὐτῷ ὁ ἀδελφός· Θέλουσι καὶ αὐτοί, πάτερ, ἵνα κελεύσω αὐτοῖς. Λέγει αὐτῷ ὁ Γέρων· Μή, ἀλλὰ γενοῦ αὐτοῖς τύπος καὶ μὴ νομοθεσία.

139. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Ἐὰν παραβάλῃ σοι ἀδελ-

74. Ἤ: μπροστά στόν ἀδελφό σου.

75. Ἡ τάξη τοῦ μοναχοῦ εἶναι τό ὅλο πρόγραμμα τοῦ νυχθημέρου στό κελί του καί οἱ ἀκολουθίες στόν (Καθολικό) ναό. Ἀλλά μπορεῖ νά ἐννοεῖ ἐδῶ

133. Εἶπε πάλι: «Νά μήν κάνεις τό θέλημά σου. Ἀνάγκη εἶναι νά ταπεινώνεις τόν ἑαυτό σου γιά χάρη τοῦ ἀδελφοῦ σου[74]».

134. Εἶπε πάλι: «Ἄν ὁ ἄνθρωπος κρατάει τήν τάξη[75] του, δέν πέφτει σέ ταραχή».

135. Εἶπε ἐπίσης: «Αὐτό πού γνωρίζει ἕνας ἄνθρωπος καί πού δέν τό τήρησε πῶς μπορεῖ νά τό διδάξει στόν ἄλλον;»

136. Εἶπε ἀκόμη: «Ὁ ἄνθρωπος πού συγκατοικεῖ μέ ἄλλον, πρέπει νά εἶναι σάν πέτρινη στήλη· νά κακολογεῖται καί νά μήν ὀργίζεται, νά δοξάζεται καί νά μήν ὑπερηφανεύεται».

137. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἐγώ λέω ὅτι ἐκεῖ πού θά βάλουν τόν σατανᾶ, ἐκεῖ θά βάλουν κι ἐμένα».

138. Ἀδελφός ρώτησε τόν ἀββᾶ Ποιμένα: «Κάποιοι ἀδελφοί κατοικοῦν μαζί μου. Ἐγκρίνεις νά τούς δίνω ἐντολές;» Ὁ Γέροντας εἶπε: «Ὄχι. Κάνε πρῶτα τό ἔργο τῆς μοναχικῆς ζωῆς. Καί ἐάν θέλουν νά ζήσουν κατά Θεόν, θά παρακολουθοῦν τόν ἑαυτό τους».

«Τό θέλουν καί οἱ ἴδιοι, πάτερ –λέει ὁ ἀδελφός– νά τούς δίνω ἐντολές». «Μήν τό κάνεις αὐτό –συνιστᾶ ὁ Γέροντας– ἀλλά γίνε ὑπόδειγμα σ' αὐτούς καί ὄχι νομοθέτης».

139. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ἐάν σέ ἐπισκεφθεῖ ἕνας

καί τήν ἱεραρχική τάξη· δηλαδή ὁ μοναχός νά φροντίζει νά μένει στήν ταπεινή θέση του καί νά μήν ἐπιδιώκει τά τῶν ἀνωτέρων (πρβλ. ἀπόφθ. 194).

φός, καὶ ἴδῃς ἑαυτὸν μὴ ὠφελούμενον ἐν τῇ εἰσόδῳ αὐτοῦ, ζήτησον ἐν τῇ διανοίᾳ σου καὶ μάθε ποῖος ἦν ὁ λογισμός, ὃν εἶχες πρὸ τῆς εἰσόδου αὐτοῦ, καὶ τότε γνώσῃ τίς ἡ αἰτία τῆς ἀνωφελείας. Ἐὰν δὲ τοῦτο ποιήσῃς μετὰ ταπεινοφροσύνης καὶ ἐννοίας, ἔσῃ ἄμεμπτος ἀπὸ τοῦ πλησίον σου βαστάζων τὰ ἑαυτοῦ ἐλαττώματα. Ἐὰν γὰρ μετὰ εὐλαβείας ποιήσῃ ἄνθρωπος τὸ κάθισμα αὐτοῦ, οὐ μὴ πταίσῃ· ὁ γὰρ Θεὸς ἐνώπιον αὐτοῦ ἐστιν. Ὡς δὲ ἐγὼ ὁρῶ, ἐκ ταύτης τῆς καθέδρας κτᾶται ἄνθρωπος τὸν φόβον τοῦ Θεοῦ.

140. Εἶπε πάλιν· Διὰ τοῦτο ἐν τοσούτῳ καμάτῳ ἐσμέν, ὅτι οὐ συλλαμβάνομεν τὸν ἀδελφὸν ἡμῶν, ὃν ἡ Γραφὴ ἐτύπωσεν ἡμᾶς δέχεσθαι. Ἦ οὐχ ὁρῶμεν τὴν γυναῖκα τὴν Χαναναίαν, ἥτις ἠκολούθησε τῷ Σωτῆρι κράζουσα καὶ παρακαλοῦσα ἰαθῆναι τὴν θυγατέρα αὐτῆς; Καὶ ἀπεδέξατο αὐτὴν ὁ Σωτὴρ καὶ ἀνέπαυσεν.

141. Εἶπε πάλιν ὅτι καθεζομένων Γερόντων ποτὲ καὶ ἐσθιόντων, ἵστατο ὑπηρετῶν ὁ ἀββᾶς Ἀλώνιος, καὶ ἰδόντες αὐτὸν ἐπήνεσαν· ὁ δὲ τὸ σύνολον οὐκ ἀπεκρίθη. Λέγει οὖν τις αὐτῷ κατ᾽ ἰδίαν· Διατί οὐκ ἀπεκρίθης τοῖς Γέρουσιν ἐπαινέσασί σε; Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀλώνιος· Εἰ ἀπεκρίθην αὐτοῖς, εὑρισκόμην καταδεξάμενος τὸν ἔπαινον.

142. Εἶπε πάλιν· Ἡ γῆ ᾗ ἐνετείλατο Κύριος θυσίαν ποιεῖν, αὕτη ἐστὶν ἡ ταπεινοφροσύνη.

ἀδελφός καί δεῖς ὅτι δέν ὠφελεῖσαι μέ τήν ἐπίσκεψή του, ψάξε νά θυμηθεῖς ποιόν λογισμό εἶχες πρίν μπεῖ στό κελί σου, καί τότε θά καταλάβεις γιατί δέν ὠφελεῖσαι. Καί ἄν αὐτό τό κάνεις μέ ταπείνωση καί συνειδητά, θά εἶσαι ἄμεμπτος πρός τόν πλησίον σου, βαστάζοντας τά δικά σου ἐλαττώματα.

Ἄν ὁ ἄνθρωπος μέ εὐλάβεια μένει στό κελί του, δέν θά παραπατήσει, γιατί ὁ Θεός εἶναι ἐνώπιόν του. Καί ὅπως ἐγώ βλέπω, ἀπό τέτοια διαμονή ἀποκτᾶ ὁ ἄνθρωπος τόν φόβο τοῦ Θεοῦ».

140. Εἶπε πάλι: «Γι᾽ αὐτό αἰσθανόμαστε τόσο μεγάλο κόπο, γιατί δέν ἀποδεχόμαστε τόν ἀδελφό μας κατά τά ὑποδείγματα πού μᾶς ἔδωσε ἡ ἁγία Γραφή νά τόν δεχόμαστε. Μήπως δέν βλέπουμε τήν γυναίκα τήν Χαναναία ἡ ὁποία ἀκολούθησε τόν Σωτήρα κράζοντας καί παρακαλώντας νά θεραπευθεῖ ἡ θυγατέρα της; Καί ὁ Σωτήρ τήν ἀποδέχθηκε καί τῆς ἐκπλήρωσε τήν ἐπιθυμία;»[76]

141. Εἶπε πάλιν ὅτι κάποτε πού οἱ Γέροντες καθισμένοι στήν τράπεζα ἔτρωγαν, ἔμενε ἐκεῖ καί τούς διακονοῦσε ὁ ἀββᾶς Ἀλώνιος. Ὅταν τόν εἶδαν, εἶπαν ἐπαινετικά λόγια γι᾽ αὐτόν, ἀλλά ἐκεῖνος δέν ἀποκρίθηκε καθόλου. Τοῦ ᾽πε μετά ἰδιαιτέρως κάποιος ἀπό τούς Γέροντες: «Γιατί δέν εἶπες κάτι στούς Γέροντες πού σέ ἐπαίνεσαν;» «Ἐάν θά μιλοῦσα –τοῦ εἶπε ὁ ἀββᾶς Ἀλώνιος– θά σήμαινε ὅτι δέχθηκα τόν ἔπαινο».

142. Εἶπε ἐπίσης: «Ἡ γῆ στήν ὁποία ἔδωσε ἐντολή ὁ Κύριος νά γίνεται ἡ θυσία, εἶναι ἡ ταπεινοφροσύνη»[77].

---

76. Ματθ. 15, 22-28. 77. Ψαλμ. 50, 18-19.

143. Ἦν τις λεγόμενος ἀββᾶς Παμβώ. Καὶ περὶ τούτου λέγεται ὅτι τρία ἔτη ἔμεινεν αἰτούμενος τὸν Θεὸν καὶ λέγων· Κύριε, μὴ δοξάσῃς με ἐπὶ τῆς γῆς. Καὶ οὕτως ἐδόξασεν αὐτὸν ὁ Θεός, ὥστε μὴ δύνασθαί τινα ἀτενίσαι καὶ ἰδεῖν τὸ πρόσωπον αὐτοῦ ἐκ τῆς δόξης ἧν εἶχεν.

144. Διηγήσατο ὁ ἀββᾶς Πέτρος λέγων ὅτι· Ἀπήλθομεν ἑπτὰ ἀναχωρηταὶ πρὸς τὸν ἀββᾶν Σισόην οἰκοῦντα ἐν τῷ Κλύσματι, παρακαλοῦντες αὐτὸν εἰπεῖν ἡμῖν λόγον. Καὶ εἶπε· Συγχωρήσατέ μοι, ἰδιώτης ἄνθρωπός εἰμι, ἀλλὰ παρέβαλον πρὸς τὸν ἀββᾶν Ὧρ καὶ τὸν ἀββᾶν Ἀθρέ. Ἦν δὲ ἐν ἀσθενείᾳ ὁ ἀββᾶς Ὧρ δέκα καὶ ὀκτὼ ἔτη. Καὶ ἔβαλον αὐτοῖς μετάνοιαν εἰπεῖν μοι λόγον. Καὶ εἶπεν ὁ ἀββᾶς Ὧρ· Τί ἔχω εἰπεῖν σοι; Ἄπελθε καὶ ὃ βλέπεις ποίησον· ὁ Θεὸς ἐκείνου ἐστί, τοῦ πλεονεκτοῦντος, ἤτοι βιαζομένου ἑαυτὸν εἰς πάντα. Οὐκ ἦσαν δὲ ἀπὸ μιᾶς ἐνορίας ὁ ἀββᾶς Ὧρ καὶ ὁ ἀββᾶς Ἀθρέ. Ἐγένετο δὲ μεγάλη εἰρήνη μεταξὺ αὐτῶν, ἕως ἐξῆλθον ἀπὸ τοῦ σώματος· ἦν γὰρ μεγάλη ἡ ὑπακοὴ τοῦ ἀββᾶ Ἀθρὲ καὶ ἡ ταπεινοφροσύνη τοῦ ἀββᾶ Ὧρ.

Ἐποίησα δὲ ὀλίγας ἡμέρας ἀνιχνεύων αὐτούς. Καὶ εἶδον μέγα θαῦμα, ὃ ἐποίησεν ὁ ἀββᾶς Ἀθρέ. Ἤνεγκεν αὐτῷ τις μικρὸν ὀψάριον, καὶ ἠβουλήθη αὐτὸ ποιῆσαι ὁ ἀββᾶς Ἀθρὲ τῷ Γέροντι. Εἶχε δὲ τὴν μάχαιραν κόπτων τὸ ὀψάριον, καὶ ἐκάλεσεν αὐτὸν ὁ ἀββᾶς Ὧρ, καὶ ἀφῆκε τὴν μάχαιραν μέσον τοῦ ὀψαρίου καὶ οὐκ ἔκοψε τὸ ἐπίλοιπον. Καὶ ἐθαύμασα τὴν μεγάλην ὑπακοὴν αὐτοῦ, διότι οὐκ εἶπε· Μακροθύ-

78. Ὁρισμένοι κώδικες γράφουν τό ὄνομα Πιστός καί ἄλλοι τό ὄνομα Πέτρος. Ἀκολουθήσαμε τήν ἀρχαιότερη γραφή.

143. Ἦταν κάποιος πού τόν ἔλεγαν ἀββᾶ Παμβώ*. Γι' αὐτόν λοιπόν λένε ὅτι ἐπί τρία χρόνια παρακαλοῦσε συνεχῶς τόν Θεό καί ἔλεγε: «Κύριε, μή μοῦ δώσεις δόξα πάνω στήν γῆ». Καί τόσο πολύ τόν δόξασε ὁ Θεός, ὥστε νά μή μπορεῖ κανείς νά ἀντικρύσει καί νά δεῖ τό πρόσωπό του ἀπό τή λαμπρότητα πού εἶχε.

144. «Ἑπτά ἀναχωρητές –διηγήθηκε ὁ ἀββᾶς Πέτρος[78]– πήγαμε στόν ἀββᾶ Σισόη*, ὅταν κατοικοῦσε στό Κλύσμα, καί τόν παρακαλέσαμε νά μᾶς πεῖ ἕναν λόγο. Καί μᾶς εἶπε: "Συγχωρῆστε με, ἐγώ εἶμαι ἀγράμματος ἄνθρωπος· ἀλλά πῆγα κάποτε στόν ἀββᾶ Ὧρ καί στόν ἀββᾶ Ἀθρέ.

Ὁ ἀββᾶς Ὧρ ἦταν ἄρρωστος δεκαοκτώ χρόνια. Τούς ἔβαλα λοιπόν μετάνοια, γιά νά μοῦ ποῦν ἕναν λόγο. Καί εἶπε ὁ ἀββᾶς Ὧρ: Τί μπορῶ νά σοῦ πῶ; Πήγαινε καί κάνε αὐτό πού βλέπεις. Ὁ Θεός εἶναι μέ τό μέρος ἐκείνου πού ἐπιζητεῖ τά περισσότερα[79], δηλαδή μ' αὐτόν πού βιάζει τόν ἑαυτό του σέ ὅλα.

Δέν ἦσαν ἀπό τήν ἴδια περιοχή ὁ ἀββᾶς Ὧρ καί ὁ ἀββᾶς Ἀθρέ. Καί ἔζησαν μέ θαυμαστή εἰρήνη μεταξύ τους, ἑωσότου ἔφυγαν ἀπό τόν κόσμο αὐτό. Γιατί ἦταν μεγάλη ἡ ὑπακοή τοῦ ἀββᾶ Ἀθρέ καί ἡ ταπεινοφροσύνη τοῦ ἀββᾶ Ὧρ.

Ἔμεινα λίγες μέρες λοιπόν παρακολουθώντας τή ζωή τους καί εἶδα κάτι πολύ θαυμαστό, πού ἔκανε ὁ ἀββᾶς Ἀθρέ. Κάποιος τοῦ εἶχε φέρει ἕνα μικρό ψάρι καί θέλησε νά τό μαγειρέψει ὁ ἀββᾶς Ἀθρέ γιά τόν Γέροντα. Τήν ὥρα πού ἔκοβε τό ψάρι μέ τό μαχαίρι, τόν φώναξε ὁ ἀββᾶς Ὧρ· παράτησε τό μαχαίρι στό μέσον τοῦ ψαριοῦ καί δέν ἔκοψε τό ὑπόλοιπο. Θαύμασα τήν μεγάλη ὑπακοή του, γιατί δέν

79. Ματθ. 13, 12.



μησον, ἕως κόψω τὸ ὀψάριον. Εἶπον δὲ τῷ ἀββᾷ Ἀθρέ· Ποῦ εὗρες τὴν ὑπακοὴν ταύτην; Καὶ εἰπέ μοι· Οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ Γέροντός ἐστι.

Καὶ ἔλαβέ με λέγων· Δεῦρο βλέπε τὴν ὑπακοὴν αὐτοῦ. Καὶ ἔψησε τὸ ὀψάριον καὶ ἠφάνισεν αὐτὸ θέλων καὶ παρέθηκε τῷ Γέροντι καὶ ἔφαγε μηδὲν λαλήσας. Καὶ εἶπεν αὐτῷ· Καλόν ἐστι, Γέρον; Καὶ ἀπεκρίθη· Καλόν ἐστι πάνυ. Μετὰ ταῦτα ἤνεγκεν αὐτῷ καλὸν σφόδρα. Καὶ εἶπεν· Ἠφάνισα αὐτό, Γέρον. Καὶ ἀπεκρίθη λέγων· Ναί, ἠφάνισας αὐτὸ μικρόν. Καὶ εἰπέ μοι ὁ ἀββᾶς Ἀθρέ· Οἶδας ὅτι ἡ ὑπακοὴ τοῦ Γέροντός ἐστι;



εἶπε: Περίμενε ὥσπου νά κόψω τό ψάρι. Καί εἶπα στόν ἀββᾶ Ἀθρέ: Ποῦ βρῆκες αὐτή τήν ὑπακοή; Δέν εἶναι δική μου –μοῦ εἶπε– τοῦ Γέροντα εἶναι.

Μέ πῆρε ἀπό τό χέρι καί μοῦ λέει: Ἔλα νά δεῖς τήν ὑπακοή τοῦ Γέροντα. Ἔψησε τό ψάρι, τό χάλασε λίγο ἐπίτηδες καί τό παρέθεσε στόν Γέροντα· κι ἐκεῖνος τό ἔφαγε χωρίς νά μιλήσει. Τόν ρώτησε (ὁ ἀββᾶς Ἀθρέ): Εἶναι καλό, Γέροντα; Πολύ καλό, ἀποκρίθηκε. Κατόπιν τοῦ ἔφερε ἕνα μικρό κομμάτι πολύ καλοψημένο καί τοῦ εἶπε: Τό χάλασα αὐτό, Γέροντα. Καί ἀποκρίθηκε ὁ Γέροντας: Ναί, τό χάλασες λίγο. Μοῦ λέει λοιπόν ὁ ἀββᾶς Ἀθρέ: Διαπίστωσες ὅτι ἡ ὑπακοή εἶναι τοῦ Γέροντα;

Καὶ ἐξῆλθον ἀπ' αὐτῶν. Καὶ εἴ τι εἶδον, ἐποίησα τὴν δύναμίν μου φυλάξαι. Ταῦτα εἶπε τοῖς ἀδελφοῖς ὁ ἀββᾶς Σισόης.

Εἷς δὲ ἐξ ἡμῶν παρεκάλεσεν αὐτὸν λέγων· Ποίησον ἀγάπην, εἰπὲ ἡμῖν καὶ αὐτὸς ἕνα λόγον. Καὶ εἶπεν· Ὁ κατέχων τὸ ἀψήφιστον ἐν γνώσει, ἐπιτελεῖ πᾶσαν τὴν Γραφήν. Πάλιν ἕτερος ἐξ ἡμῶν εἶπεν αὐτῷ· Τί ἐστι ξενιτεία, πάτερ; Καὶ εἶπε· Σιωπῶ καὶ οὐκ ἔχω πρᾶγμα ἐν παντὶ τόπῳ, ὅπου ἐὰν ἀπέρχωμαι· καὶ αὕτη ἐστὶν ἡ ξενιτεία.

145. Ἔλεγον περὶ τοῦ ἀββᾶ Πέτρου καὶ τοῦ ἀββᾶ Ἐπιμάχου ὅτι συμφοιτηταὶ ἦσαν εἰς Ῥαϊθώ. Ἐσθιόντων δὲ αὐτῶν ἐν τῇ ἐκκλησίᾳ ἐβιάσαντο αὐτοὺς ἐλθεῖν εἰς τὴν τράπεζαν τῶν Γερόντων. Καὶ μετὰ πολλοῦ κόπου ἀπῆλθεν ὁ ἀββᾶς Πέτρος μόνος.

Καὶ ὡς ἀνέστησαν, λέγει αὐτῷ ὁ ἀββᾶς Ἐπίμαχος· Πῶς ἐτόλμησας ἀπελθεῖν εἰς τὴν τράπεζαν τῶν Γερόντων; Ὁ δὲ ἀπεκρίθη· Εἰ ἐκάθισα μεθ' ὑμῶν, ὡς γέροντα οἱ ἀδελφοὶ ἔμελλον προτρέπεσθαί με εὐλογεῖν πρῶτον, καὶ ὡς μείζων ὑμῶν εἶχον εἶναι· νῦν δὲ ἀπελθὼν ἐγγὺς τῶν Πατέρων μικρότερος πάντων ἤμην καὶ ταπεινότερος τῷ λογισμῷ.

146. Εἶπεν ὁ ἀββᾶς Πέτρος ὅτι οὐ δεῖ ἐπαίρεσθαι, ὅταν ὁ Κύριος ποιήσῃ τι δι' ἡμῶν, ἀλλὰ μᾶλλον εὐχαριστεῖν, ὅτι κατηξιώθημεν προσκληθῆναι ὑπ' αὐτοῦ. Τοῦτο δὲ ἐπὶ πάσης ἀρετῆς ἔλεγε συμφέρειν λογίζεσθαι.

Φύγαμε ἀπ' αὐτούς· καί ὅ,τι εἶδα κατέβαλα κάθε προσπάθεια νά τά τηρήσω". Αὐτά τά εἶπε στούς ἀδελφούς ὁ ἀββᾶς Σισόης.

Ἕνας ἀπό μᾶς τόν παρακάλεσε λέγοντας: "Κάνε ἀγάπη καί πές μας καί σύ ὁ ἴδιος ἕναν λόγο". Καί εἶπε: "Ὅποιος ἔχει συνειδητά τήν ἀρετή νά μήν ψηφίζει τόν ἑαυτό του[80], ἐφαρμόζει ὅλη τήν ἁγία Γραφή". Ἕνας δεύτερος ἀπό τή συντροφιά τόν ρώτησε: "Τί εἶναι ἡ ξενιτεία, πάτερ;" Καί εἶπε ἐκεῖνος: "Ἀσκῶ τή σιωπή καί δέν ἔχω ἀνάμιξη ὅπου κι ἄν πάω. Αὐτή λοιπόν εἶναι ἡ ξενιτεία"».

145. Ἔλεγαν γιά τόν ἀββᾶ Πέτρο καί τόν ἀββᾶ Ἐπίμαχο ὅτι ἦσαν συνασκητές στή Ραϊθώ. Ὅταν γινόταν τράπεζα κάποια φορά στήν ἐκκλησία, τούς βίασαν νά πᾶνε στήν τράπεζα τῶν Γερόντων. Καί μέ πολλή δυσκολία πῆγε ὁ ἀββᾶς Πέτρος μόνος.

Ὅταν σηκώθηκαν ἀπό τήν τράπεζα, τοῦ λέει ὁ ἀββᾶς Ἐπίμαχος: «Πῶς τόλμησες νά πᾶς στήν τράπεζα τῶν Γερόντων;» Κι ἐκεῖνος ἀποκρίθηκε: «Ἐάν καθόμουν μαζί σας, οἱ ἀδελφοί θά μέ προέτρεπαν ὡς γέροντα στήν ἡλικία νά εὐλογήσω πρῶτος, καί θά ἤμουν σάν ἀνώτερός σας. Ἐνῶ τώρα πού πῆγα κοντά στούς Πατέρες, ἤμουν μικρότερος ἀπ' ὅλους καί ταπεινότερος στόν λογισμό».

146. Εἶπε ὁ ἀββᾶς Πέτρος: «Δέν πρέπει νά ὑψηλοφρονοῦμε, ὅταν κάνει ὁ Κύριος κάτι δι' ἡμῶν, ἀλλά μᾶλλον νά τόν εὐχαριστοῦμε πού μᾶς ἀξίωσε νά εἴμαστε προσκαλεσμένοι του. Καί αὐτό –ἔλεγε– συμφέρει νά τό σκεφτόμαστε γιά κάθε ἀρετή».

80. Τό ἀψήφιστον: Βλ. ἀπόφθ. 44, ὑποσημ. 33, σελ. 44.

147. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι ἔλεγεν ὁ ἀββᾶς Παφνούτιος· Εἰς πάσας τὰς ἡμέρας τῆς ζωῆς τῶν Γερόντων δὶς τὸν μῆνα παρέβαλλον αὐτοῖς ἔχων ἀπ' αὐτῶν τὸ διάστημα μίλια δώδεκα. Καὶ πάντα λογισμὸν ἔλεγον αὐτοῖς, καὶ οὐδέν μοι ἕτερον ἔλεγον ἢ τοῦτο, ὅτι εἰς ὃν ἂν τόπον ἀπέλθῃς, μὴ μέτρει σεαυτόν, καὶ ἔσῃ ἀναπαυόμενος.

148. Πέτρος ὁ τῶν Δίου πρεσβύτερος, εἴ ποτε ηὔχετο μετά τινος, ἐπειδὴ διὰ τὴν ἱερωσύνην ἔμπροσθεν ἵστασθαι ἠναγκάζετο, τῇ ταπεινοφροσύνῃ ἑαυτὸν ὀπίσω ἵστα ἐξομολογούμενος, ὡς εἰς τὸν βίον τοῦ ἀββᾶ Ἀντωνίου γέγραπται. Καὶ τοῦτο ἐποίει μηδένα λυπῶν.

149. Παρέβαλέ τις τῶν ἀδελφῶν πρὸς τὸν ἀββᾶν Σισόην εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου. Καὶ λαλούντων αὐτῶν ἔλεγε τῷ ἀββᾷ Σισόῃ· Ἄρτι οὐκ ἔφθασας εἰς τὰ μέτρα τοῦ ἀββᾶ Ἀντωνίου, πάτερ; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Εἰ εἶχον ἕνα τῶν λογισμῶν τοῦ ἀββᾶ Ἀντωνίου, ἐγενόμην ἂν ὅλος ὡς πῦρ· πλὴν οἶδα ἄνθρωπον ὅτι μετὰ καμάτου δύναται βαστάσαι τὸν λογισμὸν αὐτοῦ.

150. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην λέγων· Ὁρῶ ἐμαυτὸν ὅτι ἡ μνήμη τοῦ Θεοῦ παραμένει μοι. Λέγει αὐτῷ ὁ Γέρων· Οὐκ ἔστι μέγα τὸ εἶναι τὸν λογισμόν σου μετὰ τοῦ Θεοῦ· μέγα δέ ἐστι τὸ ἑαυτὸν ὁρᾶν ὑποκάτω πάσης τῆς κτίσεως. Τοῦτο γὰρ καὶ ὁ σωματικὸς κόπος ὁδηγεῖ εἰς τὸν τῆς ταπεινοφροσύνης τρόπον.

81. Τό ρωμαϊκό μίλι ἰσοῦται μέ 1535 μέτρα. Βλ. Μ. Γερ. τ. Β', σελ. 336, ὑποσημ. 34.

147. Εἶπε ὁ ἀββᾶς Ποιμήν ὅτι ὁ ἀββᾶς Παφνούτιος ἔλεγε: «Ὅσον καιρό ζοῦσαν οἱ Γέροντες, δυό φορές τόν μῆνα τούς ἐπισκεπτόμουν, ἄν καί ἀπεῖχα ἀπ' αὐτούς ἀπόσταση δώδεκα μιλίων[81]. Τούς ἔλεγα κάθε λογισμό μου καί τίποτε ἄλλο δέν μέ συμβούλευαν παρά τοῦτο μόνο: σ' ὅποιον τόπο κι ἄν βρεθεῖς, μή μετρᾶς τόν ἑαυτό σου[82] καί θά εἶσαι ἀναπαυμένος».

148. Ὁ Πέτρος ὁ πρεσβύτερος τῆς μονῆς Δίου, ὁσάκις προσευχόταν μαζί μέ κάποιον, ἀναγκαζόταν ὡς ἱερεύς νά στέκεται μπροστά· ἀπό ταπεινοφροσύνη ὅμως τοποθετοῦσε τόν ἑαυτό του μέ τόν λογισμό πίσω, τήν ὥρα πού ἔλεγε τίς εὐχές, ὅπως εἶναι γραμμένο στόν βίο τοῦ ἀββᾶ Ἀντωνίου. Καί κάνοντας αὐτό δέν γινόταν ἀφορμή λύπης σέ κανένα.

149. Κάποιος ἀδελφός πῆγε στόν ἀββᾶ Σισόη, στό ὄρος τοῦ ἀββᾶ Ἀντωνίου. Καθώς μιλοῦσαν, εἶπε στόν ἀββᾶ Σισόη: «Ἀκόμη δέν ἔφθασες στά μέτρα τοῦ ἀββᾶ Ἀντωνίου, πάτερ;» «Ἄν εἶχα ἕναν ἀπό τούς λογισμούς τοῦ ἀββᾶ Ἀντωνίου –τοῦ ἀποκρίθηκε ὁ Γέροντας– θά ἤμουν ὅλος μιά φωτιά. Ἀλλά γνωρίζω ἄνθρωπο πού μέ κόπο πολύ μπορεῖ νά ἀντέξει τόν λογισμό του».

150. Ἀδελφός ἀνέφερε στόν ἀββᾶ Σισόη τό ἑξῆς: «Βλέπω μέσα μου –εἶπε– νά ὑπάρχει πάντοτε ἡ μνήμη τοῦ Θεοῦ». Καί ὁ Γέροντας τοῦ λέει: «Δέν εἶναι σπουδαῖο νά εἶναι ὁ λογισμός σου στόν Θεό. Σπουδαῖο εἶναι νά βλέπεις τόν ἑαυτό σου κατώτερο ἀπ' ὅλη τήν κτίση. Γιατί αὐτό μαζί μέ τόν σωματικό κόπο ὁδηγεῖ στή ζωή τῆς ταπεινοφροσύνης».

82. Βλ. σελ. 44, ὑποσημ. 33.

151. Παρέβαλόν τινες πρὸς τὸν ἀββᾶν Σισόην ἀκοῦσαι παρ' αὐτοῦ λόγον, καὶ οὐδὲν αὐτοῖς ἐλάλησεν. Εἰς πάντα δὲ ἔλεγε· Συγχωρήσατέ μοι. Ἰδόντες δὲ αὐτοῦ τὰ σπυρίδια, εἶπον τῷ μαθητῇ αὐτοῦ Ἀβραάμ· Τί ποιεῖτε τὰ σπυρίδια ταῦτα; Ὁ δὲ εἶπεν· Ὧδε κἀκεῖ ἀναλίσκομεν αὐτά. Ἀκούσας δὲ ὁ Γέρων εἶπε· Καὶ Σισόης ἔνθεν κἀκεῖθεν ἐσθίει. Οἱ δὲ ἀκούσαντες πάνυ ὠφελήθησαν καὶ ἀπῆλθον μετὰ χαρᾶς οἰκοδομηθέντες εἰς τὴν ταπείνωσιν αὐτοῦ.

152. Τρεῖς Γέροντες παρέβαλον τῷ ἀββᾷ Σισόῃ ἀκούοντες τὰ περὶ αὐτοῦ. Καὶ λέγει αὐτῷ ὁ πρῶτος· Πάτερ, πῶς δύναμαι σωθῆναι ἀπὸ τοῦ πυρίνου ποταμοῦ; Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῷ. Λέγει αὐτῷ ὁ δεύτερος· Πάτερ, πῶς δύναμαι σωθῆναι ἀπὸ τοῦ βρυγμοῦ τῶν ὀδόντων καὶ ἐκ τοῦ σκώληκος τοῦ ἀκοιμήτου; Λέγει αὐτῷ ὁ τρίτος· Πάτερ, τί ποιήσω, ὅτι ἡ μνήμη τοῦ σκότους τοῦ ἐξωτέρου φονεύει με;

Ἀποκριθεὶς δὲ ὁ Γέρων εἶπεν αὐτοῖς· Ἐγὼ οὐδενὸς τούτων μέμνημαι· φιλεύσπλαγχνος γὰρ ὢν ὁ Θεός, ἐλπίζω ὅτι ποιεῖ μετ' ἐμοῦ ἔλεος. Ἀκούσαντες δὲ τὸν λόγον τοῦτον οἱ Γέροντες ἀπῆλθον λυπούμενοι.

Μὴ θέλων δὲ ὁ Γέρων ἐᾶσαι αὐτοὺς λυπουμένους ἀπελθεῖν, ἐπιστρέψας αὐτοὺς εἶπε· Μακάριοί ἐστε, ἀδελφοί· ἐζήλωσα γὰρ ὑμᾶς. Ὁ πρῶτος γὰρ ὑμῶν εἶπε περὶ τοῦ πυρίνου ποταμοῦ καὶ ὁ δεύτερος περὶ τοῦ ταρτάρου καὶ ὁ τρίτος περὶ τοῦ σκότους. Εἰ οὖν τοιαύτης μνήμης κυριεύει ὁ νοῦς ὑμῶν, ἀδύνατον ὑμᾶς ἁμαρτῆσαι. Τί δὲ ποιήσω ἐγὼ ὁ σκληροκάρδιος μὴ συγχωρούμενος εἰδέναι ὅτι κἂν ἔστι κόλασις τοῖς ἀνθρώποις, καὶ ἐκ τούτου ἐν πάσῃ ὥρᾳ ἁμαρτάνω; Καὶ μετανοήσαντες εἶπον αὐτῷ· Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν.

83. Ψαλμ. 47, 8.


151. Ἐπισκέφθηκαν κάποιοι τόν ἀββᾶ Σισόη γιά ν' ἀκούσουν κάποιον ὠφέλιμο λόγο ἀπ' αὐτόν, ἀλλά δέν τούς εἶπε τίποτε. Διαρκῶς ἔλεγε: «Συγχωρῆστε με». Ὅταν πάλι εἶδαν τά ζεμπίλια, ρώτησαν τόν μαθητή του Ἀβραάμ: «Τί τά κάνετε αὐτά τά ζεμπίλια;» Κι ἐκεῖνος ἀπάντησε: «Τά διαθέτουμε ἐδῶ κι ἐκεῖ». Καί μόλις τ' ἄκουσε ὁ Γέροντας εἶπε: «Κι ὁ Σισόης τρώει ἀπ' ἐδῶ καί ἀπ' ἐκεῖ». Κι ἐκεῖνοι, ὅταν τ' ἄκουσαν, ὠφελήθηκαν πολύ καί ἔφυγαν χαρούμενοι καί οἰκοδομημένοι ἀπ' τήν ταπείνωσή του.

152. Τρεῖς Γέροντες πού ἄκουγαν σχετικά μέ τόν ἀββᾶ Σισόη, τόν ἐπισκέφθηκαν. Καί τοῦ λέει ὁ πρῶτος: «Πάτερ, πῶς μπορῶ νά σωθῶ ἀπ' τόν πύρινο ποταμό;» Ἀλλ' ἐκεῖνος δέν τοῦ ἀπάντησε. Τοῦ λέει ὁ δεύτερος: «Πάτερ, πῶς μπορῶ νά σωθῶ ἀπ' τό τρίξιμο τῶν δοντιῶν καί ἀπ' τό ἀκοίμητο σκουλήκι;» Τοῦ λέει καί ὁ τρίτος: «Πάτερ, τί νά κάνω πού ἡ θύμηση τοῦ ἐξώτερου σκοταδιοῦ μέ σκοτώνει;»

Κι ὁ Γέροντας ἀποκρίθηκε καί τούς εἶπε: «Ἐγώ δέν φέρνω στή μνήμη μου τίποτε ἀπ' αὐτά, γιατί ἐλπίζω πώς ὁ Θεός, καθώς εἶναι φιλεύσπλαχνος, θά μ' ἐλεήσει».

Μέ τήν ἀπάντηση αὐτή οἱ Γέροντες ἔφυγαν λυπημένοι.

Ἀλλά ὁ Γέροντας μή θέλοντας νά τούς ἀφήσει νά φύγουν λυπημένοι, τούς γύρισε πίσω καί τούς εἶπε: «Εὐτυχισμένοι εἶστε, ἀδελφοί, καί σᾶς ζηλεύω. Γιατί ὁ πρῶτος ἀπό σᾶς μίλησε γιά τόν πύρινο ποταμό, ὁ δεύτερος γιά τόν τάρταρο κι ὁ τρίτος γιά τό σκοτάδι. Ἄν, λοιπόν, κυριαρχεῖ τέτοια μνήμη στόν νοῦ σας, εἶναι ἀδύνατο νά ἁμαρτήσετε. Τί νά κάνω ὅμως ἐγώ ὁ σκληρόκαρδος, πού δέν μπορῶ νά καταλάβω ὅτι ὑπάρχει κάν κόλαση γιά τούς ἀνθρώπους καί κατά συνέπειαν κάθε στιγμή ἁμαρτάνω;» Καί ἀφοῦ τοῦ ἔβαλαν μετάνοια, εἶπαν: «Ὅπως ἀκριβῶς τ' ἀκούσαμε, ἔτσι καί τά βρήκαμε»[83].



Ἡ Ναζαρέτ

153. Ἐλθόντος ποτὲ τοῦ ἀββᾶ Σισόη εἰς τὸ Κλύσμα, παρέβαλον αὐτῷ κοσμικοὶ ἰδεῖν αὐτόν. Καὶ πολλὰ λαλησάντων αὐτῶν, οὐκ ἀπεκρίθη αὐτοῖς λόγον. Ὕστερον δὲ εἷς ἐξ αὐτῶν εἶπε· Τί θλίβετε τὸν Γέροντα; Οὐκ ἐσθίει, διὰ τοῦτο οὐδὲ λαλεῖν δύναται. Ἀπεκρίθη ὁ Γέρων· Ἐγώ, ὅτ᾽ ἂν γένηταί μοι χρεία, ἐσθίω· καὶ ὅτ᾽ ἂν γένηται χρεία, λαλῶ.

154. Ἦλθόν ποτε ἀρειανοὶ πρὸς τὸν ἀββᾶν Σισόην εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου καὶ ἤρξαντο καταλαλεῖν τῶν ὀρθοδόξων. Ὁ δὲ Γέρων οὐκ ἀπεκρίθη αὐτοῖς οὐδέν. Καὶ φωνήσας τὸν ἑαυτοῦ μαθητὴν εἶπεν· Ἀβραάμ, φέρε μοι τὸ βιβλίον τοῦ ἁγίου Ἀθανασίου καὶ ἀνάγνωθι αὐτό. Καὶ σιωπῶντος αὐτοῦ ἐγνώσθη ἡ αἵρεσις αὐτῶν, καὶ ἀπέλυσεν αὐτοὺς μετ᾽ εἰρήνης.

155. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην τὸν Θηβαῖον λέγων· Εἰπέ μοι ῥῆμα. Καὶ λέγει· Τί σοι ἔχω εἰπεῖν; ὅτι εἰς τὴν Καινὴν Γραφὴν ἀναγινώσκω καὶ εἰς τὴν Παλαιὰν ἀνακάμπτω.

156. Ὁ αὐτὸς ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην τὸν τῆς Πέτρας τὸ ῥητόν, ὃ εἶπεν ὁ ἀββᾶς Σισόης ὁ Θηβαῖος, καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Ἐγὼ εἰς τὴν ἁμαρτίαν κοιμῶμαι καὶ εἰς τὴν ἁμαρτίαν ἐγείρομαι.

157. Εἶπεν ὁ ἀββᾶς Σισόης· Ζήτει τὸν Θεὸν καὶ μὴ ζήτει ποῦ κατοικεῖ.

153. Πῆγε κάποτε ὁ ἀββᾶς Σισόης στό Κλύσμα καί πῆγαν καί κάποιοι λαϊκοί γιά νά τόν δοῦν. Καί ἐνῶ πολλά τοῦ εἶπαν οἱ λαϊκοί, ἐκεῖνος δέν τούς ἀπάντησε καθόλου. Στό τέλος ἕνας ἀπ᾽ αὐτούς εἶπε: «Γιατί τόν στενοχωρεῖτε τόν Γέροντα; Δέν τρώει καί γι᾽ αὐτό δέν μπορεῖ καί νά μιλήσει». Κι ὁ Γέροντας τότε ἀποκρίθηκε: «Ἐγώ, ὅταν ὑπάρξει ἀνάγκη, τρώγω, καί ὅταν ὑπάρξει ἀνάγκη, μιλῶ».

154. Πῆγαν κάποτε ἀρειανοί στόν ἀββᾶ Σισόη, στό ὄρος τοῦ ἀββᾶ Ἀντωνίου καί ἄρχισαν νά κατηγοροῦν τούς ὀρθοδόξους, ἀλλ᾽ ὁ Γέροντας δέν τούς ἀποκρίθηκε καθόλου. Καί ἀφοῦ φώναξε τόν μαθητή του, εἶπε: «Ἀβραάμ, φέρε μου τό βιβλίο τοῦ ἁγίου Ἀθανασίου καί διάβασέ το[84]». Καί ἐνῶ ἐκεῖνος σιωποῦσε, ἔγινε φανερή ἡ αἵρεσή τους καί τούς ἄφησε νά φύγουν μέ εἰρήνη.

155. Ἕνας ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη τόν Θηβαῖο*, λέγοντας: «Πές μου κάτι ὠφέλιμο». Καί τοῦ ἀπαντᾶ: «Τί νά σοῦ πῶ; Ὅτι διαβάζω τήν Καινή Διαθήκη καί γυρίζω μέ τή ζωή μου πίσω στήν Παλαιά;»

156. Ὁ ἴδιος ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη πού ἔμενε στήν Πέτρα γιά τό ρητό πού εἶπε ὁ ἀββᾶς Σισόης ὁ Θηβαῖος, καί τοῦ εἶπε ὁ Γέροντας: «Ἐγώ ἁμαρτωλός κοιμᾶμαι καί ἁμαρτωλός ξυπνῶ».

157. Εἶπε ὁ ἀββᾶς Σισόης: «Ζήτα τόν Θεό καί μήν ψάχνεις ποῦ κατοικεῖ».

---

84. Πρόκειται περί τῶν «Κατά Ἀρειανῶν» λόγων τοῦ Μ. Ἀθανασίου, πού περιλαμβάνονται στά Δογματικά του.

158. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην λέγων· Τί ποιήσω; Λέγει αὐτῷ· Τὸ πρᾶγμα, ὃ ζητεῖς, τὸ σφόδρα σιωπᾶν καὶ ἡ ταπείνωσις· γέγραπται γάρ· Μακάριοι οἱ ἐμμένοντες ἐν αὐτοῖς. Οὕτω γὰρ δύνασαι σωθῆναι.

159. Εἶπεν ὁ ἀββᾶς Σισόης τινὶ ἀδελφῷ· Πῶς ἔχεις; Ὁ δὲ ἔφη· Τὰς ἡμέρας ἀναλίσκω, πάτερ. Καὶ λέγει ὁ Γέρων· Ἐὰν κἀγὼ ἀνήλισκον ἡμέρας, εὐχαριστῶ.

160. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην λέγων· Εἰπέ μοι ῥῆμα. Ὁ δὲ ἔφη· Τί μοι ἀναγκάζεις λαλῆσαι ἀργῶς; ἰδού, ὃ βλέπεις ποίησον.

161. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη ὅτι καθημένου αὐτοῦ ἔκραξε μεγάλῃ τῇ φωνῇ· Ὢ ταλαιπωρία! Λέγει αὐτῷ ὁ μαθητὴς αὐτοῦ· Τί ἔχεις, πάτερ; Λέγει αὐτῷ ὁ Γέρων· Ἕνα ἄνθρωπον ζητῶ λαλῆσαι καὶ οὐχ εὑρίσκω.

162. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη ὅτι ἠσθένησε. Καὶ καθημένων Γερόντων πρὸς αὐτὸν ἐλάλει τισί. Λέγουσιν αὐτῷ· Τί βλέπεις, ἀββᾶ; Καὶ λέγει αὐτοῖς· Ὁρῶ τινας ἐλθόντας ἐπ' ἐμὲ καὶ παρακαλῶ αὐτούς, ἵνα ἐάσωσί με μικρὸν μετανοῆσαι. Λέγει αὐτῷ εἷς τῶν Γερόντων· Καὶ ἐὰν ἐάσωσί σε, ἀπ' ἄρτι δύνασαι χρησιμεῦσαι εἰς μετάνοιαν; Λέγει αὐτῷ ὁ Γέρων· Εἰ καὶ οὐ δύναμαι ποιῆσαι, ἀλλὰ στενάζω ἐπάνω τῆς ψυχῆς μου μικρὸν καὶ ἀρκεῖ μοι.

85. Πρβλ. Ἠσ. 30, 18.

158. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη: «Τί νά κάνω;» Καί τοῦ λέει: «Αὐτό πού ζητᾶς εἶναι τό νά σιωπᾶς πολύ, καί ἡ ταπείνωση· γιατί ἔχει γραφεῖ: Μακάριοι αὐτοί πού μένουν σταθεροί σ' αὐτά[85], διότι ἔτσι μπορεῖς νά σωθεῖς».

159. Εἶπε ὁ ἀββᾶς Σισόης σέ κάποιον ἀδελφό: «Πῶς πᾶς;» Κι ἐκεῖνος εἶπε: «Τίς ἡμέρες μου ξοδεύω, πάτερ». Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἐάν κι ἐγώ ξόδευα μόνον ἡμέρες (καί ὄχι καί τίς νύκτες), θά ἤμουν εὐχαριστημένος».

160. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη λέγοντας: «Πές μου κάτι ὠφέλιμο». Κι ἐκεῖνος εἶπε: «Τί μέ σπρώχνεις σέ ἀργολογία; Νά, αὐτό πού βλέπεις κάνε το».

161. Ἔλεγαν γιά τόν ἀββᾶ Σισόη πώς ἐκεῖ πού καθόταν, ἔβγαλε μιά μεγάλη φωνή: «Ὢ τί ταλαιπωρία!» Ὁπότε τόν ρωτᾶ ὁ μαθητής του: «Τί σοῦ συμβαίνει, πάτερ;» Καί τοῦ λέει ὁ Γέροντας: «Ἕναν ἄνθρωπο ψάχνω γιά νά μιλήσω καί δέν βρίσκω».

162. Ἔλεγαν γιά τόν ἀββᾶ Σισόη ὅτι ἀρρώστησε. Καί ἐνῶ κάθονταν κάποιοι Γέροντες κοντά του, μιλοῦσε σέ κάποιους ἄλλους. Τόν ρωτᾶνε τότε οἱ Γέροντες: «Τί βλέπεις, ἀββᾶ;» Καί τούς ἀπαντᾶ: «Βλέπω κάποιους πού ἔρχονται γιά μένα καί τούς παρακαλῶ νά μ' ἀφήσουν λίγο ἀκόμη νά μετανοήσω».

Τότε τοῦ λέει ἕνας ἀπ' τούς Γέροντες: «Καί ἐάν σ' ἀφήσουν, τώρα πιά μπορεῖ νά σοῦ χρησιμεύσει αὐτό γιά μετάνοια;» «Ἄν καί δέν μπορῶ νά τό κάνω, ἀπαντᾶ ὁ Γέροντας, ἀλλά ὡστόσο θ' ἀναστενάξω λίγο γιά τήν ψυχή μου καί αὐτό μοῦ εἶναι ἀρκετό».

163. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Σισόην· Ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ταπείνωσιν; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ταπεινοφροσύνην, αὕτη ἐστίν· ἐγκράτεια καὶ εὔχεσθαι τῷ Θεῷ καὶ τὸ ἀγωνίζεσθαι εἶναι ὑποκάτω παντὸς ἀνθρώπου.

164. Ἔλεγέ τις τῶν Γερόντων ὅτι· Ἠρώτησα τὸν ἀββᾶν Σισόην λέγων· Πῶς λέγουσι περὶ τῶν εἰδώλων ἐν τῷ ψαλμῷ εἶναι; Καὶ λέγει ὁ Γέρων· Γέγραπται περὶ τῶν εἰδώλων ὅτι στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐ βλέπουσιν, ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται· οὕτως ὀφείλει εἶναι ὁ μοναχός, καὶ ὅτι τὰ εἴδωλα βδέλυγμά εἰσι. Καὶ αὐτὸς ἡγήσεται ἑαυτὸν βδέλυγμα.

165. Εἶπεν ὁ ἀββᾶς Σαρματᾶς· Θέλω ἄνθρωπον ἁμαρτήσαντα, εἰ οἶδεν ὅτι ἥμαρτε καὶ μετανοεῖ, ὑπὲρ ἄνθρωπον μὴ ἁμαρτήσαντα καὶ ἔχοντα ἑαυτὸν ὡς δικαιοσύνην ποιοῦντα.

166. Εἶπεν ὁ ἀββᾶς Σερῖνος ὅτι· Ἐποίησα τὸν χρόνον μου θερίζων, καταρράπτων, πλέκων, καὶ ἐν τούτοις πᾶσιν, εἰ μὴ ἡ χεὶρ τοῦ Θεοῦ ἐχόρτασέ με, οὐκ ἠδυνήθην χορτασθῆναι.

167. Εἶπεν ἡ ἀμμᾶς Συγκλητική· Ὥσπερ πλοῖον ἀδύνατον χωρὶς ἥλων κατασκευασθῆναι, οὕτως ἀμήχανον σωθῆναι χωρὶς ταπεινοφροσύνης.

168. Εἶπε πάλιν· Μίμησαι τὸν τελώνην, ἵνα μὴ τῷ Φαρισαίῳ συγκατακριθῇς. Καὶ Μωσέως τὸ πρᾶον ἐπίλεξε, ἵνα τὴν

163. Κάποιος ἀδελφός ρώτησε τόν ἀββᾶ Σισόη: «Ποιά εἶναι ἡ ὁδός πού ὁδηγεῖ στήν ταπείνωση;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Ἡ ὁδός πού ὁδηγεῖ στήν ταπεινοφροσύνη εἶναι: ἡ ἐγκράτεια, ἡ προσευχή στόν Θεό καί ὁ ἀγώνας νά ἔχει κανείς τόν ἑαυτό του κατώτερο ἀπό ὁποιονδήποτε ἄνθρωπο».

164. Ἔλεγε κάποιος ἀπ' τούς Γέροντες: «Ρώτησα τόν ἀββᾶ Σισόη: Πῶς λένε ὅτι εἶναι τά εἴδωλα στόν ψαλμό; Καί λέει ὁ Γέροντας: Ἔχει γραφεῖ γιά τά εἴδωλα ὅτι στόμα ἔχουν καί δέν θά μιλήσουν ποτέ, μάτια ἔχουν καί δέν βλέπουν, αὐτιά ἔχουν καί δέν θ' ἀκούσουν ποτέ[86]. Ἔτσι ὀφείλει νά εἶναι ὁ μοναχός. Ἀκόμη, τά εἴδωλα εἶναι σιχαμερά. Καί ὁ ἴδιος ὁ μοναχός νά θεωρήσει τόν ἑαυτό του ἕνα σίχαμα».

165. Εἶπε ὁ ἀββᾶς Σαρματᾶς: «Προτιμῶ ἄνθρωπο πού ἁμάρτησε, ἐάν κατάλαβε ὅτι ἁμάρτησε καί μετανοεῖ, παρά ἄνθρωπο πού δέν ἁμάρτησε καί ἔχει τόν ἑαυτό του γιά ἐνάρετο».

166. Εἶπε ὁ ἀββᾶς Σερίνος ὅτι πέρασα τόν καιρό μου θερίζοντας, ράβοντας μέ τό παραπάνω, πλέκοντας καί παρόλα αὐτά, ἐάν δέν μέ εἶχε χορτάσει τό χέρι τοῦ Θεοῦ, δέν θά μποροῦσα νά χορτάσω.

167. Εἶπε ἡ ἀμμᾶς Συγκλητική*: «Ὅπως ἀκριβῶς εἶναι ἀδύνατο νά κατασκευασθεῖ ἕνα πλοῖο χωρίς καρφιά, ἔτσι εἶναι ἀδύνατο νά σωθεῖ κανείς χωρίς ταπεινοφροσύνη».

168. Εἶπε ἐπίσης: «Νά μιμηθεῖς τόν τελώνη γιά νά μήν κατακριθεῖς μαζί μέ τόν Φαρισαῖο[87]. Καί προτίμησε τήν

---

86. Ψαλμ. 134, 15-17. 87. Λουκ. 18, 10-14.

καρδίαν σου, ἀκρότομον οὖσαν, εἰς πηγὰς ὑδάτων μεταβάλῃς.

169. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Τιθόην λέγων· Εἰπέ μοι λόγον. Καὶ εἶπεν αὐτῷ· Ἔχεις πίστιν εἰς ἐμέ; Καὶ εἶπε· Ναί. Εἶπεν οὖν αὐτῷ· Ὕπαγε καὶ ὃ ἑώρακάς με ποιοῦντα, ποίησον καὶ σύ. Καὶ εἶπεν αὐτῷ· Τί ὁρῶ, πάτερ, εἰς σέ; Ἔφη δὲ αὐτῷ ὁ Γέρων ὅτι· Ὁ λογισμός μου κατώτερός ἐστι πάντων τῶν ἀνθρώπων.

170. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· Δένδρον εἰς ὕψος ἐγειρόμενόν ἐστιν ἡ ταπεινοφροσύνη.

171. Εἶπε Γέρων· Ὁ ἔχων ταπείνωσιν ταπεινοῖ τοὺς δαίμονας, ὁ δὲ μὴ ἔχων ταπείνωσιν καταπαίζεται ὑπὸ τῶν δαιμόνων.

172. Εἶπε πάλιν· Μὴ μόνον ταπεινολόγει, ἀλλὰ ταπεινοφρόνει· ὑψωθῆναί σε γὰρ ἐν τοῖς κατὰ Θεὸν ἔργοις ἀδύνατόν ἐστι χωρὶς ταπεινοφροσύνης.

173. Ἦν τις ἐπίσκοπος εἴς τινα πόλιν καὶ κατ᾽ ἐνέργειαν τοῦ διαβόλου ἔπεσεν εἰς πορνείαν. Μιᾷ οὖν τῶν ἡμερῶν γενομένης συνάξεως ἐν τῇ ἐκκλησίᾳ καὶ μηδενὸς γινώσκοντος περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἀφ᾽ ἑαυτοῦ ὡμολόγησεν ἔμπροσθεν παντὸς τοῦ λαοῦ λέγων· Ἐγὼ εἰς πορνείαν πέπτωκα. Καὶ ἀπέθετο τὸ ὠμοφόριον αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον εἰπὼν ὅτι· Οὐκέτι ὑμῶν δύναμαι εἶναι ἐπίσκοπος.

88. Πρβλ. Ἀριθ. 12, 3.
89. Πρβλ. Ψαλμ. 113, 8.
90. Τό ἀπόφθ. αὐτό ἀποδίδεται καί στόν ἀββᾶ Ὑπερέχιο. Βλ. «Ἄγνωστες

πραότητα τοῦ Μωυσῆ[88] γιά νά μετατρέψεις τήν καρδιά σου, πού εἶναι σάν ἀπότομος βράχος[89], σέ πηγές ὑδάτων».[90]

169. Ἀδελφός ρώτησε τόν ἀββᾶ Τιθόη: «Πές μου κάποιο λόγο ὠφέλιμο». Καί τόν ρώτησε: «Ἔχεις ἐμπιστοσύνη σέ μένα;» Τοῦ ἀπάντησε: «Ναί». «Τότε λοιπόν, τοῦ εἶπε, πήγαινε καί κάνε καί σύ αὐτό πού βλέπεις νά κάνω». Κι ἐκεῖνος διερωτήθηκε: «Καί τί βλέπω, πάτερ, σέ σένα;» «Ὅτι μέ τόν λογισμό μου, ἀπάντησε ὁ Γέροντας, βάζω τόν ἑαυτό μου χαμηλότερα ἀπό ὅλους τούς ἀνθρώπους».

170. Εἶπε ὁ ἀββᾶς Ὑπερέχιος: «Ἡ ταπεινοφροσύνη εἶναι δένδρο πού ἀνεβαίνει εἰς ὕψος».

171. Εἶπε κάποιος Γέροντας: «Αὐτός πού ἔχει ταπείνωση, ταπεινώνει τούς δαίμονες, ἐνῶ ἐκεῖνος πού δέν ἔχει ταπείνωση, ἐμπαίζεται ἀπ᾽ τούς δαίμονες».

172. Εἶπε ἐπίσης: «Μή λές μόνο λόγια ταπείνωσης, ἀλλά νά ἔχεις φρόνημα ταπεινό· γιατί χωρίς ταπεινοφροσύνη εἶναι ἀδύνατον νά ὑψωθεῖς στήν κατά Θεόν ἐργασία».

173. Σέ κάποια πόλη ὑπῆρχε ἕνας ἐπίσκοπος πού ἀπό ἐνέργεια τοῦ διαβόλου ἔπεσε σέ πορνεία.

Κάποια μέρα, λοιπόν, πού ἔγινε σύναξη στήν ἐκκλησία καί ἐνῶ κανένας δέν γνώριζε γιά τήν ἁμαρτία του, μόνος του ὁμολόγησε μπροστά σ᾽ ὅλο τόν κόσμο καί εἶπε: «Ἐγώ ἔχω πέσει σέ πορνεία». Καί ἄφησε τό ὠμοφόριό του πάνω στήν ἁγία Τράπεζα, ἀφοῦ εἶπε «δέν μπορῶ πιά νά εἶμαι ἐπίσκοπός σας».

σελίδες τοῦ Γεροντικοῦ», σελ. 92, ἔκδ. Τό Περιβόλι τῆς Παναγίας, Θεσσαλονίκη 1996.

Καὶ ἀνέκραξε πᾶς ὁ λαὸς μετὰ κλαυθμοῦ λέγοντες· Ἡ ἁμαρτία αὕτη ἐφ' ἡμᾶς, μόνον μεῖνον ἐν τῇ ἐπισκοπῇ. Καὶ ἀποκριθεὶς εἶπεν· Εἰ θέλετε ἵνα μείνω ἐν τῇ ἐπισκοπῇ, ὃ λέγω ὑμῖν ποιήσατε. Καὶ κελεύσας κλεισθῆναι τὰς θύρας τῆς ἐκκλησίας ἔρριψεν ἑαυτὸν εἰς μίαν παράθυρον ἐπὶ πρόσωπον καὶ εἶπεν· Οὐκ ἔχει μέρος μετὰ τοῦ Θεοῦ ὅστις ἐξερχόμενος μὴ πατήσῃ με. Καὶ ποιησάντων κατὰ τὸν λόγον αὐτοῦ καὶ ἐξερχομένου τοῦ ὑστέρου, ἦλθε φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα· Διὰ τὴν πολλὴν ταπείνωσιν αὐτοῦ συνεχώρησα αὐτῷ τὴν ἁμαρτίαν.

174. Ἀναχωρητῇ τινι μεγάλῳ εἰπόντι· Τί οὕτω με πολεμεῖς, Σατανᾶ; ἐπήκουσεν ὁ Σατανᾶς λέγων· Σὺ εἶ ὁ μεγάλως με πολεμῶν.

175. Δύο ἀδελφοὶ ἦσαν σαρκικοί. Καὶ ἦλθεν ὁ διάβολος χωρίσαι αὐτοὺς ἀπ' ἀλλήλων. Μιᾷ οὖν τῶν ἡμερῶν ἀνῆψεν ὁ μικρότερος τὸν λύχνον. Καὶ ἐνεργήσας ὁ δαίμων ἔστρεψε τὴν λυχνίαν καὶ ἐκλάσθη καὶ ὁ λύχνος. Καὶ ἔτυψεν αὐτὸν ὁ ἀδελφὸς ἐν ὀργῇ. Καὶ ἔβαλε μετάνοιαν λέγων· Μακροθύμησον, ἀδελφέ, καὶ πάλιν ἅπτω. Καὶ ἰδοὺ δύναμις Κυρίου ἐξῆλθε καὶ ἐβασάνισε τὸν δαίμονα ἕως πρωί. Καὶ ἐλθὼν ὁ δαίμων ἀνήγγειλε τῷ ἄρχοντι αὐτοῦ τὸ γενόμενον.

Καὶ ἤκουσεν ὁ ἱερεὺς τῶν Ἑλλήνων τοῦ δαίμονος διηγουμένου. Καὶ ἐξελθὼν γέγονε μοναχὸς καὶ ἐκράτησεν ἐξ ἀρχῆς τὴν ταπείνωσιν καὶ ἔλεγεν ὅτι ἡ ταπείνωσις λύει πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, ὥσπερ καὶ αὐτὸς παρ' αὐτοῦ ἤκουσα, ὅτι ὡς ταράσσω τοὺς μοναχούς, στρέφεται εἷς ἐξ αὐτῶν καὶ βάλλει μετάνοιαν καὶ καταργοῦσι τὴν δύναμίν μου.

Καί φώναξε δυνατά ὅλος ὁ λαός μέ δάκρυα λέγοντας: «Ἡ ἁμαρτία αὐτή ἄς πέσει ἐπάνω μας, μόνο μεῖνε στήν ἐπισκοπή». Ἀποκρίθηκε καί εἶπε: «Ἐάν θέλετε νά μείνω στήν ἐπισκοπή, νά κάνετε ὅ,τι θά σᾶς πῶ». Καί ἀφοῦ ἔδωσε ἐντολή νά κλείσουν οἱ πόρτες τῆς ἐκκλησίας, ἔριξε τόν ἑαυτό του μπρούμυτα σ' ἕνα παραπόρτι καί εἶπε: «Δέν θά εἶναι τοῦ Θεοῦ, ὅποιος δέν μέ πατήσει βγαίνοντας». Καί ἀφοῦ ἔκαναν ὅ,τι τούς εἶπε καί βγῆκε καί ὁ τελευταῖος, ἀκούστηκε φωνή ἀπ' τόν οὐρανό πού ἔλεγε: «Γιά τήν μεγάλη του ταπείνωση τοῦ συγχώρησα τήν ἁμαρτία».

174. Σέ κάποιο μεγάλο ἀναχωρητή πού εἶπε: «Γιατί μέ πολεμᾶς ἔτσι, Σατανᾶ;» ἀποκρίθηκε ὁ Σατανᾶς λέγοντας: «Σύ εἶσαι ἐκεῖνος πού μοῦ κάνεις μεγάλο πόλεμο».

175. Ὑπῆρχαν δύο μοναχοί ἀδελφοί κατά σάρκα. Καί βάλθηκε ὁ διάβολος νά τούς χωρίσει μεταξύ τους. Μιά μέρα, λοιπόν, ἄναψε ὁ μικρότερος τό λυχνάρι καί μέ τήν διαβολική ἐνέργεια, ἀναποδογύρισε καί ἔσπασε ὁ λυχνοστάτης. Καί ὁ μεγάλος ἀδελφός ὀργισμένος τόν χτύπησε. Ἀλλ' ὁ μικρότερος τοῦ 'βαλε μετάνοια λέγοντάς του: «Μή στενοχωρεῖσαι, ἀδελφέ μου, τ' ἀνάβω πάλι». Καί νά, βγῆκε δύναμις Κυρίου καί βασάνισε τόν δαίμονα ὥς τό πρωί. Καί πῆγε ὁ δαίμονας καί ἀνέφερε στόν ἀρχηγό του αὐτό πού ἔγινε.

Ὁ ἱερεύς τῶν εἰδωλολατρῶν ἄκουσε τόν δαίμονα πού τά διηγόταν. Ἐγκαταλείπει λοιπόν τόν κόσμο καί γίνεται μοναχός. Καί ἀπ' τήν ἀρχή κράτησε τήν ταπείνωση. Καί ἔλεγε ὅτι ἡ ταπείνωση παραλύει ὅλη τή δύναμη τοῦ ἐχθροῦ, ὅπως ἀκριβῶς ἄκουσα κι ὁ ἴδιος ἀπ' τόν δαίμονα, πώς μόλις ταράζω τούς μοναχούς, γυρίζει ὁ ἕνας ἀπ' αὐτούς καί βάζει μετάνοια καί ἀχρηστεύει τή δύναμή μου.

176. Ἔλεγον οἱ Γέροντες· Στέφανός ἐστι μοναχοῦ ἡ ταπεινοφροσύνη.

177. Ἠρωτήθη Γέρων πόθεν κτᾶται ταπείνωσιν ἡ ψυχή. Καὶ ἀπεκρίθη· Ὅταν τὰ ἑαυτῆς μόνης μεριμνᾷ κακά.

178. Εἶπε Γέρων· Ὡς ἡ γῆ οὐδέποτε πίπτει κάτω, οὕτως οὐδὲ ὁ ταπεινῶν ἑαυτόν.

179. Εἶπε Γέρων· Οὐκ ὀργίζεται ἡ ταπείνωσις οὐδὲ παροργίζει τινά.

180. Τινὰ τῶν μοναχῶν ἐρημίτην ἄνθρωπος δαιμονιζόμενος καὶ δεινῶς ἀφρίζων ἔτυψε κατὰ τῆς σιαγόνος. Ὁ δὲ Γέρων ἐναλλάξας καὶ τὴν ἄλλην ὑπέθηκεν. Ὁ δὲ δαίμων μὴ φέρων τὴν πύρωσιν τῆς ταπεινώσεως εὐθέως ἥλατο.

181. Εἶπε Γέρων· Ὅταν λογισμὸς ὑψηλοφροσύνης ἢ ὑπερηφανίας ὑπεισέλθῃ σοι, ἐρεύνα σου τὸ συνειδός, εἰ πάσας τὰς ἐντολὰς ἐφύλαξας, εἰ ἀγαπᾷς τοὺς ἐχθρούς σου καὶ λυπῇ ἐπὶ τῇ ἐλαττώσει αὐτῶν καὶ εἰ ἔχεις σεαυτὸν δοῦλον ἀχρεῖον καὶ πάντων ἁμαρτωλότερον. Καὶ τότε μηδὲ οὕτω μέγα φρονήσῃς, ὥσπερ πάντα κατορθώσας, εἰδὼς ὅτι οὗτος ὁ λογισμὸς πάντα καταλύει.

182. Εἶπε Γέρων· Ὁ πλεῖον τῆς ἀξίας τιμώμενος ἢ ἐπαινούμενος πολλὰ ζημιοῦται, ὁ δὲ μὴ ὅλως τιμώμενος ὑπὸ τῶν ἀνθρώπων ἄνωθεν δοξασθήσεται.

176. Ἔλεγαν οἱ Γέροντες: «Ἡ ταπεινοφροσύνη εἶναι τό στεφάνι τοῦ μοναχοῦ».

177. Ρώτησαν κάποιο Γέροντα πῶς ἀποκτᾶ ἡ ψυχή ταπείνωση. Καί ἀπάντησε: «Ὅταν νοιάζεται μόνον γιά τά δικά της σφάλματα».

178. Εἶπε κάποιος Γέροντας: «Ὅπως ἡ γῆ δέν πέφτει ποτέ κάτω, ἔτσι οὔτε κι αὐτός πού ταπεινώνει τόν ἑαυτό του».

179. Εἶπε Γέροντας: «Ἡ ταπείνωση δέν ὀργίζεται, οὔτε κάνει κάποιον νά ὀργιστεῖ».

180. Κάποιος πού εἶχε δαιμόνιο καί ἄφριζε φοβερά, χτύπησε κάποιον μοναχό ἐρημίτη στό πρόσωπο, ἀλλ' ὁ Γέροντας τότε γύρισε καί τοῦ πρότεινε καί τήν ἄλλη πλευρά, ὁπότε ὁ δαίμονας μή μπορώντας νά σηκώσει τό κάψιμο πού προερχόταν ἀπ' τήν ταπείνωση, ἀμέσως ἔφυγε.

181. Εἶπε Γέροντας: «Ὅταν σοῦ ἔρθει λογισμός ὑψηλοφροσύνης ἤ ὑπερηφάνειας, ψάξε τή συνείδησή σου, ἐάν τήρησες ὅλες τίς ἐντολές, ἐάν ἀγαπᾶς τούς ἐχθρούς σου καί λυπᾶσαι ὅταν αὐτοί πέφτουν· ἐάν ἐπίσης ἔχεις τόν ἑαυτό σου γιά δοῦλο ἄχρηστο καί πιό ἁμαρτωλό ἀπ' ὅλους. Καί τότε πάλι μήν ὑπερηφανευτεῖς, σάν νά τά κατάφερες ὅλα, γνωρίζοντας πώς ὁ λογισμός αὐτός τά καταστρέφει ὅλα».

182. Εἶπε Γέροντας: «Αὐτόν πού τόν τιμοῦν ἤ τόν ἐπαινοῦν περισσότερο ἀπ' ὅ,τι ἀξίζει, πολύ ζημιώνεται, ἐνῶ ἐκεῖνος πού δέν τιμᾶται καθόλου ἀπό τούς ἀνθρώπους, θά δοξασθεῖ ἀπό τόν Θεό.

183. Ἀδελφὸς ἠρώτησε Γέροντα· Καλόν ἐστι ποιῆσαι μετανοίας πολλάς; Λέγει ὁ Γέρων· Ὁρῶμεν Ἰησοῦν τὸν τοῦ Ναυῆ ὅτι ὄντος ἐπὶ πρόσωπον ὤφθη αὐτῷ ὁ Θεός.

184. Ἠρωτήθη Γέρων· Διατί οὕτω πολεμούμεθα ὑπὸ τῶν δαιμόνων; Ὁ δὲ εἶπεν· Ἐπειδὴ τὰ ὅπλα ἡμῶν ἀπορρίπτομεν, λέγω δὴ τὴν ἀτιμίαν καὶ τὴν ταπείνωσιν καὶ τὴν ἀκτημοσύνην καὶ τὴν ὑπομονήν.

185. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Ἐὰν ἀδελφὸς εἰσάξῃ ἔξωθεν λόγους πρός με, θέλεις, ἀββᾶ, εἰπῶ αὐτῷ, ἵνα μή μοι φέρῃ αὐτούς; Λέγει αὐτῷ ὁ Γέρων· Μή. Λέγει αὐτῷ ὁ ἀδελφός· Διατί; Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Καθ' ὅτι οὐδὲ ἡμεῖς ἠδυνήθημέν ποτε τοῦτο φυλάξαι, μήποτε λέγοντες τῷ πλησίον μὴ ποιεῖν τοῦτο, εὑρεθῶμεν ἡμεῖς μετὰ ταῦτα ποιοῦντες αὐτά. Λέγει ὁ ἀδελφός· Τί οὖν δεῖ ποιεῖν; Λέγει ὁ Γέρων· Ἐὰν θέλωμεν, τοῦ σιωπᾶν ὁ τρόπος ἀρκεῖ τῷ πλησίον.

186. Ἠρωτήθη Γέρων τί ἐστι ταπείνωσις καὶ ἀπεκρίθη· Ἐὰν ἁμαρτήσῃ σοι ὁ ἀδελφός σου καὶ συγχωρήσῃς αὐτῷ πρὸ τοῦ μετανοῆσαί σοι.

187. Εἶπε Γέρων· Ἐν παντὶ πειρασμῷ μὴ μέμφου ἀνθρώπους ἀλλὰ σεαυτὸν μόνον, λέγων ὅτι· Διὰ τὰς ἁμαρτίας μου ταῦτα συμβαίνει μοι.

183. Ἀδελφός ρώτησε ἕνα Γέροντα: «Εἶναι καλό νά κάνει κανείς πολλές μετάνοιες;» Κι ἀπάντησε ὁ Γέροντας: «Βλέπουμε πώς ὁ Θεός φάνηκε στόν Ἰησοῦ τοῦ Ναυῆ, ὅταν ἦταν πεσμένος μέ τό πρόσωπο στή γῆ»[91].

184. Ρώτησαν κάποιον Γέροντα: «Γιατί μᾶς πολεμοῦν ἔτσι σκληρά οἱ δαίμονες;» Κι ἐκεῖνος ἀπάντησε: «Γιατί τά ὅπλα μας τά πετᾶμε, καί ἐννοῶ τήν περιφρόνηση ἀπό μέρους τῶν ἄλλων, τήν ταπείνωση, τήν ἀκτημοσύνη καί τήν ὑπομονή».

185. Ἀδελφός ρώτησε ἕνα Γέροντα: «Ἐάν κάποιος ἀδελφός μοῦ κουβαλήσει ἀπ' ἔξω λόγια, θέλεις, ἀββᾶ, νά τοῦ πῶ, νά μήν μοῦ τά μεταφέρει;» «Ὄχι» ἀπάντησε ὁ Γέροντας. Ξαναρωτᾶ ὁ ἀδελφός: «Γιατί;» Καί ὁ Γέροντας τοῦ λέει: «Διότι οὔτε κι ἐμεῖς οἱ ἴδιοι μπορέσαμε ὥς τώρα νά τό τηρήσουμε αὐτό. Μήπως λοιπόν ἐνῶ θά λέμε στόν πλησίον νά μήν τό κάνει, βρεθοῦμε μετά ἐμεῖς νά κάνουμε τά ἴδια». Ξαναρώτησε ὁ ἀδελφός: «Λοιπόν καί τί πρέπει νά κάνουμε;» Καί ἡ ἀπάντηση τοῦ Γέροντα: «Ἐάν θέλουμε, ἡ τακτική τῆς σιωπῆς εἶναι ἀρκετή γιά τόν πλησίον».

186. Ρώτησαν κάποιο Γέροντα τί εἶναι ταπείνωση καί ἀποκρίθηκε: «Ἐάν σφάλει σέ σένα ὁ ἀδελφός σου καί τόν συγχωρήσεις, προτοῦ σοῦ ζητήσει συγγνώμη».

187. Εἶπε Γέροντας: «Σέ κάθε πειρασμό μήν κατηγορεῖς τούς ἀνθρώπους ἀλλά μόνο τόν ἑαυτό σου λέγοντας: ἐξαιτίας τῶν ἁμαρτιῶν μου μοῦ συμβαίνουν αὐτά».

91. Ἰησ. Ναυῆ 7, 6 καί 10.

188. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων τί ἐστι ταπεινοφροσύνη. Καὶ λέγει ὁ Γέρων· Ἵνα εὖ ποιήσῃς τοῖς ποιοῦσί σε κακά. Λέγει ὁ ἀδελφός· Ἐὰν μὴ φθάσῃ τις εἰς τοῦτο τὸ μέτρον, τί ποιήσει; Λέγει ὁ Γέρων· Φευγέτω ἑλόμενος τὸ σιωπᾶν.

189. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων τί ἐστι τὸ ἔργον τῆς ξενιτείας. Λέγει ὁ Γέρων· Οἶδα ἀδελφὸν ξενιτεύσαντα· καὶ εὑρέθη εἰς τὴν ἐκκλησίαν. Καὶ κατ' εὐκαιρίαν ὑπήντησεν ἀγάπη καὶ ἐκάθισε μετὰ τῶν ἀδελφῶν ἐπὶ τὴν τράπεζαν φαγεῖν. Εἶπον δέ τινες· Τίς καὶ τοῦτον κατέστησεν; Καὶ εἶπον αὐτῷ· Ἔγειρε, ὕπαγε ἔξω. Καὶ ἀναστὰς ἀπῆλθεν. Ἕτεροι δὲ λυπηθέντες ἀπῆλθον καὶ ἐκάλεσαν αὐτόν. Καὶ εἶπον αὐτῷ· Ἆρα τί ἦν ἐν τῇ καρδίᾳ σου, ὅτε ἐξεβλήθης καὶ πάλιν εἰσήχθης; Ὁ δὲ εἶπεν· Ἐθέμην ἐν τῇ καρδίᾳ μου ὅτι ἐν ἴσῳ κυνός εἰμι, ὃς ὅταν ἐκβληθῇ, πορεύεται καὶ ὅταν κληθῇ, ἔρχεται.

190. Ἦλθόν ποτέ τινες ἐν Θηβαΐδι πρός τινα Γέροντα φέροντες δαιμονιζόμενον, ἵνα θεραπεύσῃ αὐτόν. Ὁ δὲ Γέρων πολλὰ παρακληθεὶς λέγει τῷ δαίμονι· Ἔξελθε ἐκ τοῦ πλάσματος τοῦ Θεοῦ. Καὶ εἶπεν ὁ δαίμων τῷ Γέροντι· Ἐξέρχομαι, ἀλλ' ἐρωτῶ σε ἓν ῥῆμα, καὶ εἰπέ μοι· Τίνες εἰσὶ τὰ ἐρίφια καὶ τίνες τὰ ἀρνία; Καὶ εἶπεν ὁ Γέρων· Τὰ ἐρίφια μὲν ἐγώ εἰμι, τὰ δὲ ἀρνία ὁ Θεὸς οἶδε. Καὶ ἀκούσας ὁ δαίμων ἐβόη-

92. Ξενιτεία: Βλ. Μ. Γερ. τ. Α', σελ. 40, ὑποσημ. 7.

188. Ἀδελφός ρώτησε ἕνα Γέροντα: «Τί εἶναι ταπεινοφροσύνη;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Τό νά κάνεις τό καλό σ' αὐτούς πού σοῦ κάνουν κακό». Καί ξαναρωτᾶ ὁ ἀδελφός: «Κι ἂν δέν μπορεῖ νά φτάσει κάποιος σ' αὐτό τό μέτρο, τί νά κάνει;» Καί εἶπε ὁ Γέροντας: «Νά φεύγει προτιμώντας τή σιωπή».

189. Ἀδελφός ρώτησε ἕνα Γέροντα: «Τί εἶναι ἡ ξενιτεία[92] στήν πράξη;» Κι ὁ Γέροντας ἀπάντησε: «Γνώρισα κάποιον ἀδελφό, πού ζοῦσε σέ ξένο τόπο, καί παραβρέθηκε στήν ἐκκλησία. Κατά καλή συγκυρία ἀκολούθησε "ἀγάπη" καί κάθισε στήν τράπεζα νά φάει μαζί μέ τούς ἀδελφούς. Εἶπαν ὅμως κάποιοι: "Ποιός τόν ἔφερε αὐτόν ἐδῶ;" Καί τοῦ λένε: "Σήκω καί πήγαινε ἔξω". Σηκώθηκε αὐτός κι ἔφυγε. Κάποιοι ἄλλοι πού τόν λυπήθηκαν, πῆγαν καί τόν κάλεσαν. Τόν ρώτησαν κατόπιν: "Ἀλήθεια τί ἔνιωσες μέσα σου, ὅταν σ' ἔδιωξαν καί ἔπειτα σέ ξανακάλεσαν;" Κι ἐκεῖνος εἶπε: "Θεώρησα τόν ἑαυτό μου ὅτι εἶναι στήν ἴδια μοίρα μέ τό σκυλί, πού ὅταν τό διώξουν, φεύγει, καί ὅταν τό ξανακαλέσουν, ἐπιστρέφει"».

190. Κάποτε πῆγαν κάποιοι στή Θηβαΐδα σ' ἕνα Γέροντα ἔχοντας μαζί τους ἕνα δαιμονισμένο, γιά νά τόν θεραπεύσει. Ὕστερα ἀπό πολλά παρακάλια πού ἔκαναν στόν Γέροντα, εἶπε ὁ Γέροντας στόν δαίμονα: «Βγές ἀπ' τό πλάσμα τοῦ Θεοῦ». Κι εἶπε ὁ δαίμονας στόν Γέροντα: «Θά βγῶ, ἀλλά προηγουμένως νά μοῦ ἀπαντήσεις σέ κάτι πού θά σέ ρωτήσω: Ποιοί εἶναι τά ἐρίφια καί ποιοί τά πρόβατα;»[93] Καί εἶπε ὁ Γέροντας: «Τά ἐρίφια ἐγώ εἶμαι, τά πρόβατα ὅμως ὁ Θεός γνωρίζει». Καί μόλις τ' ἄκουσε ὁ δαίμονας,

93. Ματθ. 25, 33.

σε φωνῇ μεγάλῃ καὶ εἶπεν· Ἰδοὺ διὰ τὴν ταπείνωσίν σου ἐξέρχομαι. Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.

191. Ἔμεινέ τις μοναχὸς ἐν προαστείῳ Κωνσταντινουπόλεως ἐπὶ Θεοδοσίου τοῦ νέου βασιλέως. Διαβαίνων δὲ τὴν ὁδὸν ἐκείνην ὁ βασιλεὺς κατέλιπε πάντας καὶ ἔρχεται μόνος καὶ κρούει τὴν θύραν τοῦ μοναχοῦ. Καὶ ἀνοίξας ἐπέγνω μὲν τίς ἦν, ἐδέξατο δὲ αὐτὸν ὡς ἕνα ταξεώτην.

Ὡς οὖν εἰσῆλθεν, ἐποίησεν εὐχὴν καὶ ἐκάθισαν. Καὶ ἤρξατο αὐτὸν ἐξετάζειν ὁ βασιλεὺς πῶς οἱ Πατέρες οἱ ἐν Αἰγύπτῳ. Ὁ δὲ εἶπε· Πάντες εὔχονται τὴν σωτηρίαν σου. Καὶ εἶπεν αὐτῷ· Φάγε μικρόν. Καὶ ἔβρεξεν αὐτῷ ἄρτον καὶ ἔβαλε μικρὸν ἔλαιον καὶ ἅλας καὶ ἔφαγε. Καὶ ἐπέδωκεν αὐτῷ ὕδωρ καὶ ἔπιεν. Εἶπε δὲ αὐτῷ ὁ βασιλεύς· Οἶδας τίς εἰμι; Ὁ δὲ εἶπεν· Ὁ Θεὸς οἶδέ σε. Τότε εἶπεν αὐτῷ· Ἐγώ εἰμι Θεοδόσιος ὁ βασιλεύς. Καὶ εὐθέως προσεκύνησεν αὐτῷ ὁ Γέρων. Καὶ λέγει αὐτῷ ὁ βασιλεύς· Μακάριοι ὑμεῖς οἱ ἀμέριμνοι τοῦ βίου. Ἐπ' ἀληθείας, ἐν τῇ βασιλείᾳ γεννηθεὶς οὐδέποτε ἀπήλαυσα ἄρτου καὶ ὕδατος ὡς σήμερον· πάνυ γὰρ ἡδέως ἔφαγον.

Ἤρξατο δὲ ἀπὸ τότε τιμᾶν αὐτὸν ὁ βασιλεύς. Ὁ δὲ Γέρων ἀναστὰς ἔφυγε πάλιν καὶ ἦλθεν εἰς Αἴγυπτον.

192. Γέρων τις ἀναχωρητὴς πελαζόμενος ἐν τῇ ἐρήμῳ ἔλεγεν ἐν ἑαυτῷ ὅτι κατώρθωσε τὰς ἀρετὰς καὶ ηὔξατο τῷ Θεῷ λέγων· Δεῖξόν μοι, ἐὰν ὑστερῶ τι καὶ ποιήσω. Καὶ θέλων ὁ Θεὸς ταπεινῶσαι τὸν λογισμὸν αὐτοῦ εἶπεν αὐτῷ·

94. Ἐγγονός τοῦ Θεοδοσίου τοῦ Μεγάλου. Ὀνομάσθηκε Μικρός σέ διάκριση ἀπό τόν ὁμώνυμο πάππο του. Μετά τόν θάνατο τοῦ πατέρα του

φώναξε δυνατά καί εἶπε: «Νά, γιά τήν ταπείνωσή σου ἀμέσως βγαίνω». Καί βγῆκε ἐκείνη τήν ὥρα.

191. Τήν ἐποχή τοῦ βασιλιᾶ Θεοδοσίου τοῦ Μικροῦ[94], ζοῦσε σέ προάστειο τῆς Κωνσταντινουπόλεως ἕνας μοναχός. Διασχίζοντας τόν δρόμο ἐκεῖνο ὁ βασιλιάς, προσπέρασε ὅλους καί πῆγε μόνος καί χτύπησε τήν πόρτα τοῦ μοναχοῦ. Μόλις τοῦ ἄνοιξε, ὁ μοναχός κατάλαβε ποιός ἦταν, ἀλλά τόν δέχτηκε σάν ἀκόλουθο ἄρχοντα.

Μπῆκε λοιπόν, ἔκαναν προσευχή καί κάθισαν. Καί ἄρχισε ὁ βασιλιάς νά τόν ρωτᾶ γιά τούς Πατέρες τῆς Αἰγύπτου. Κι ἐκεῖνος εἶπε: «Ὅλοι εὔχονται γιά τή σωτηρία σου». Ὕστερα τοῦ εἶπε: «Νά φᾶς λίγο». Τοῦ 'βρεξε ἀμέσως λίγο ψωμί, τοῦ 'βαλε λίγο λάδι καί ἁλάτι κι ἔφαγε. Ὕστερα τοῦ 'δωσε καί νερό καί ἤπιε. Τοῦ εἶπε ὁ βασιλιάς: «Ξέρεις ποιός εἶμαι;» «Σέ ξέρει ὁ Θεός» ἀπάντησε ἐκεῖνος. Καί τότε τοῦ ἀποκαλύφθηκε: «Ἐγώ εἶμαι ὁ Θεοδόσιος, ὁ βασιλεύς». Κι ἀμέσως τόν προσκύνησε ὁ Γέροντας. Καί τοῦ εἶπε ὁ βασιλιάς: «Εὐτυχισμένοι εἶστε σεῖς πού δέν ἔχετε φροντίδες γιά τή ζωή. Πραγματικά παρόλο πού γεννήθηκα βασιλοπαίδι, καμιά φορά δέν ἔφαγα τόσο νόστιμο ψωμί καί δέν ἤπια τέτοιο νερό ὅπως σήμερα. Ἔφαγα πάρα πολύ εὐχάριστα».

Κι ἄρχισε ἀπό τότε ὁ βασιλιάς νά τόν τιμᾶ, ἀλλ' ὁ Γέροντας σηκώθηκε κι ἔφυγε ἀπό κεῖ. Ξαναγύρισε στήν Αἴγυπτο.

192. Κάποιος Γέροντας ἀναχωρητής πού ζοῦσε περιπλανώμενος στήν ἔρημο ἔλεγε μέσα του ὅτι ἀπέκτησε ὅλες τίς ἀρετές καί προσευχήθηκε στόν Θεό λέγοντας: «Δεῖξε μου, ἐάν ὑστερῶ σέ κάτι καί θά τό κάνω». Καί ὁ Θεός θέ-

(Ἀρκαδίου), σέ ἡλικία ἑπτά ἐτῶν ἀνακηρύχθηκε αὐτοκράτορας ὑπό ἐπιτρόπους (408-450 μ.Χ.)

Ὕπαγε πρὸς τόνδε τὸν ἀρχιμανδρίτην καί, εἴ τι σοι λέγει, ποίησον.

Ἀπεκάλυψε δὲ ὁ Θεὸς τῷ ἀρχιμανδρίτῃ λέγων· Ἰδοὺ ὁ δεῖνα ὁ ἀναχωρητὴς ἔρχεται πρός σε. Εἰπὲ αὐτῷ λαβεῖν φραγγέλιον καὶ βόσκειν χοίρους. Ἐλθὼν δὲ ὁ Γέρων ἔκρουσε τὴν θύραν καὶ εἰσῆλθε πρὸς τὸν ἀρχιμανδρίτην. Καὶ ἀσπασάμενοι ἀλλήλους ἐκάθισαν. Καὶ λέγει αὐτῷ ὁ ἀναχωρητής· Εἰπέ μοι τί ποιήσω, ἵνα σωθῶ. Λέγει αὐτῷ· Εἴ τι οὖν σοι ἐὰν εἴπω, ποιεῖς; Ὁ δὲ εἶπε· Ναί. Λέγει αὐτῷ· Λάβε τὸ φραγγέλιον καὶ ὕπαγε βόσκε χοίρους. Ἀπελθὼν δὲ ὁ ἀναχωρητὴς ἔβοσκε τοὺς χοίρους.

Οἱ δὲ ἰδόντες αὐτὸν καὶ ἀκούοντες περὶ αὐτοῦ, βλέποντές τε αὐτὸν βόσκοντα τοὺς χοίρους ἔλεγον· Ἴδετε τὸν μέγαν ἀναχωρητήν, περὶ οὗ ἠκούσαμεν· ἰδοὺ ἐξέστη καὶ δαιμόνιον ἔχει καὶ βόσκει χοίρους. Ἰδὼν δὲ ὁ Θεὸς τὴν ταπείνωσιν αὐτοῦ, ὅτι οὕτως ὑπέμεινε τοὺς ὀνειδισμοὺς τῶν ἀνθρώπων, ἀπέλυσεν αὐτὸν πάλιν εἰς τὸν τόπον αὐτοῦ.

193. Εἶπε Γέρων· Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου κατὰ τοῦ ἀδελφοῦ σου λέγων ὅτι νηφαλιώτερός εἰμι καὶ ἀσκητικώτερος, ἀλλ' ὑποτάσσου τῇ χάριτι τοῦ Χριστοῦ ἐν πνεύματι πτωχείας καὶ ἀγάπῃ ἀνυποκρίτῳ, ἵνα μὴ πνεύματι καυχήσεως περιπέσῃς καὶ ἀπολέσῃς σου τὸν κόπον. Γέγραπται γάρ· Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. Ἅλατι δὲ ἠρτυμένος ἔσο ἐν Κυρίῳ.

95. Ἀρχιμανδρίτης ὀνομαζόταν τούς πρώτους χριστιανικούς αἰῶνες ὁ ἀρχηγός, ὁ ὑπεύθυνος ἑνός ἀριθμοῦ μοναστῶν.

λοντας νά τοῦ ταπεινώσει τόν λογισμό, τοῦ εἶπε: «Πήγαινε στόν τάδε ἀρχιμανδρίτη[95] καί ὅ,τι σοῦ πεῖ, κάνε το».

Στό μεταξύ ἀποκάλυψε ὁ Θεός στόν ἀρχιμανδρίτη: «Νά, ὁ τάδε ἀναχωρητής ἔρχεται σέ σένα. Πές του νά πάρει ἕνα καμτσίκι καί νά βόσκει γουρούνια».

Πῆγε ὁ Γέροντας, χτύπησε τήν πόρτα καί τόν δέχτηκε ὁ ἀρχιμανδρίτης. Καί ἀφοῦ ἀλληλοασπάστηκαν, κάθισαν. Τότε τοῦ εἶπε ὁ ἀναχωρητής: «Πές μου τί νά κάνω, γιά νά σωθῶ». Κι ἐκεῖνος τόν ρώτησε: «Καί ὅ,τι σοῦ πῶ νά κάνεις, θά τό κάνεις;» Κι ἐκεῖνος εἶπε «Ναί», ὁπότε τοῦ λέει: «Πάρε τό καμτσίκι καί πήγαινε νά βόσκεις γουρούνια». Πῆγε λοιπόν ὁ ἀναχωρητής κι ἔβοσκε γουρούνια.

Ἐκεῖνοι δέ πού τόν εἶχαν δεῖ καί ἄκουγαν γι' αὐτόν, βλέποντάς τον νά βόσκει γουρούνια, ἔλεγαν: «Δέστε τόν μεγάλο ἀναχωρητή γιά τόν ὁποῖον ἀκούσαμε. Νά, τά 'χασε, ἔχει δαιμόνιο καί βόσκει γουρούνια».

Καί ὅταν εἶδε ὁ Θεός πού ταπεινώθηκε, γιατί ταπεινά σήκωνε τήν ντροπή ἀπό μέρους τῶν ἀνθρώπων, τόν ἄφησε νά γυρίσει πάλι στόν τόπο του.

193. Εἶπε Γέροντας: «Μήν πιστέψεις μέσα σου πώς ἐπαγρυπνεῖς γιά τήν σωτηρία σου πιό πολύ ἀπ' τόν ἀδελφό σου καί πώς εἶσαι πιό ἀσκητικός ἀπ' αὐτόν, ἀλλά μ' ἕνα πνεῦμα πτωχείας ἐν Χριστῷ[96] καί μέ ἀγάπη ἀνυπόκριτη, νά εἶσαι ὑποταγμένος στή χάρη τοῦ Χριστοῦ γιά νά μήν σέ βρεῖ πνεῦμα ὑπερηφάνειας καί χάσεις τόν κόπο σου. Γιατί ἔχει γραφεῖ: Αὐτός πού νομίζει ὅτι στέκεται καλά στά πόδια του, ἄς προσέξει μήν πέσει[97]. Νά εἶναι ἀρτυμένη ἡ ζωή σου μέ ἁλάτι μέσα στό πνεῦμα τοῦ Κυρίου[98]».

96. Πρβλ. Ματθ. 5, 3. 97. Α΄ Κορ. 10, 12. 98. Κολ. 4, 6.

194. Εἶπε Γέρων· Οὐδέποτε τὴν τάξιν μου παρέβην εἰς ὕψος περιπατῆσαι οὐδὲ κατενεχθεὶς εἰς ταπείνωσιν ἐταράχθην. Ἡ γὰρ φροντίς μου πᾶσά ἐστι δέεσθαι τοῦ Θεοῦ, ἕως ἂν ἐκβάλῃ με ἐκ τοῦ παλαιοῦ ἀνθρώπου.

195. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Εἰπὲ ἡμῖν περὶ σωτηρίας, ἀββᾶ. Ὁ δὲ ἔφη· Κἂν εἴπω, οὐ κρατοῦμεν, ὅτι ἁλμυρά ἐστιν ἡ γῆ ἡμῶν.

196. Ἔλεγον οἱ Γέροντες· Ὅταν μὴ πολεμώμεθα, τότε μᾶλλον ταπεινοῦσθαι χρή· ὁ γὰρ Θεὸς εἰδὼς ἡμῶν τὴν ἀσθένειαν σκεπάζει ἡμᾶς. Καὶ ἐὰν καυχησώμεθα, ἀφαιρεῖται ἀφ᾽ ἡμῶν τὴν σκέπην αὐτοῦ καὶ ἀπολλύμεθα.

197. Τινὶ τῶν ἀδελφῶν ἐφάνη ὁ διάβολος μετασχηματισθεὶς εἰς ἄγγελον φωτὸς λέγων· Ἐγώ εἰμι Γαβριὴλ καὶ ἀπεστάλην πρὸς σέ. Ὁ δὲ εἶπεν αὐτῷ· Ὅρα μὴ πρὸς ἄλλον ἀπεστάλης· ἐγὼ γὰρ οὔκ εἰμι ἄξιος. Ὁ δὲ εὐθέως ἀφανὴς ἐγένετο.

198. Ἔλεγον οἱ Γέροντες ὅτι κἂν ἀληθὴς ἄγγελός σοι φανῇ, μὴ παραδέξῃ, ἀλλὰ ταπείνωσον σεαυτὸν λέγων· Οὔκ εἰμι ἄξιος ἄγγελον ἰδεῖν ἐν ἁμαρτίαις ζῶν.

199. Ἔλεγον περί τινος Γέροντος ὅτι καθήμενος ἐν τῷ κελλίῳ αὐτοῦ καὶ ἀγωνιζόμενος ἔβλεπε τοὺς δαίμονας φανερῶς καὶ ἐξευτέλιζεν αὐτούς. Βλέπων δὲ ὁ διάβολος ἑαυτὸν ἡττώμενον ὑπὸ τοῦ Γέροντος, ἐλθὼν ἐνεφάνισεν αὐτῷ ἑαυ-

99. Εἶναι ἁλμυρό καί δέν ἀποδίδει, δέν παράγει.

194. Εἶπε Γέροντας: «Οὐδέποτε ξέφυγα ἀπ᾽ τά μέτρα μου γιά ν᾽ ἀνεβῶ ψηλότερα, οὔτε πάλι ταράχθηκα, γιατί ἀναγκάστηκα νά ταπεινωθῶ. Ἡ ὅλη φροντίδα μου εἶναι νά παρακαλῶ τόν Θεό, ὥσπου νά μέ ἀπαλλάξει ἀπ᾽ τόν παλαιό ἄνθρωπο».

195. Ἀδελφός παρακάλεσε ἕνα Γέροντα: «Πές μας, ἀββᾶ, γιά τή σωτηρία μας». Κι ἐκεῖνος εἶπε: «Καί νά πῶ δέν ἀφομοιώνουμε, γιατί τό ἔδαφός μας εἶναι ἁλμυρό[99]».

196. Ἔλεγαν οἱ Γέροντες: «Ὅταν δέν μᾶς πολεμάει ὁ πονηρός, τότε πρέπει νά ταπεινωνόμαστε περισσότερο, γιατί ὁ Θεός ἐπειδή γνωρίζει τήν ἀδυναμία μας, μᾶς σκεπάζει. Καί ἄν τύχει καί ὑπερηφανευθοῦμε, παίρνει ἀπό πάνω μας τή σκέπη του καί χανόμαστε».

197. Σέ κάποιον ἀπ᾽ τούς ἀδελφούς παρουσιάστηκε ὁ διάβολος μετασχηματισμένος σέ ἄγγελο φωτός καί τοῦ ᾽πε: «Ἐγώ εἶμαι ὁ Γαβριήλ καί στάλθηκα σέ σένα». Κι ἐκεῖνος ἀπάντησε: «Πρόσεξε μήπως στάλθηκες γιά κάποιον ἄλλον, γιατί ἐγώ δέν εἶμαι ἄξιος». Κι ἐκεῖνος ἀμέσως ἔγινε ἄφαντος.

198. Ἔλεγαν οἱ Γέροντες ὅτι κι ἄν ἀκόμη σοῦ παρουσιαστεῖ πραγματικός ἄγγελος, μήν τό πιστέψεις, ἀλλά ταπεινώσου λέγοντας: «Δέν εἶμαι ἄξιος νά δῶ ἄγγελο, μιά πού ζῶ μέσα στήν ἁμαρτία».

199. Ἔλεγαν γιά κάποιο Γέροντα ὅτι ἐκεῖ πού καθόταν στό κελί του κι ἔκανε τόν ἀγώνα του, ἔβλεπε φανερά μπροστά του τούς δαίμονες καί τούς ἐξευτέλιζε. Βλέποντας ὁ διάβολος τόν ἑαυτό του νά νικιέται ἀπ᾽ τόν Γέροντα, πῆγε καί παρουσιάστηκε λέγοντας: «Ἐγώ εἶμαι ὁ Χριστός». Μό-

τὸν λέγων· Ἐγώ εἰμι ὁ Χριστός. Ἰδὼν δὲ αὐτὸν ὁ Γέρων ἐκάμμυσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. Εἶπε δὲ αὐτῷ ὁ διάβολος· Τί καμμύεις τοὺς ὀφθαλμούς σου; ἐγώ εἰμι, ὁ Χριστός. Ἀποκριθεὶς δὲ ὁ Γέρων εἶπεν αὐτῷ· Ἐγὼ τὸν Χριστὸν ὧδε οὐ θέλω ἰδεῖν. Ἀκούσας δὲ ταῦτα ὁ διάβολος ἀφανὴς ἐγένετο.

200. Ἄλλῳ Γέροντι ἔλεγον οἱ δαίμονες· Θέλεις ἰδεῖν τὸν Χριστόν; Ὁ δὲ λέγει αὐτοῖς· Ἀνάθεμα ὑμῖν καὶ ᾧ λέγετε· τῷ γὰρ ἐμῷ Χριστῷ πιστεύω εἰπόντι· Ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ ὧδε ὁ Χριστός, ἰδοὺ ἐκεῖ, μὴ πιστεύσητε. Καὶ εὐθέως ἀφανεῖς ἐγένοντο.

201. Διηγήσαντο περί τινος Γέροντος ὅτι ἐποίησεν ἑβδομήκοντα ἑβδομάδας ἅπαξ τῆς ἑβδομάδος ἐσθίων. Ἠτεῖτο δὲ περί τινος ῥητοῦ τῆς Γραφῆς, καὶ οὐκ ἀπεκάλυπτεν αὐτῷ ὁ Θεός.

Λέγει οὖν ἐν ἑαυτῷ· Εἰ τοσοῦτον κάματον ἐποίησα καὶ οὐδὲν ἤνυσα, ὑπάγω οὖν πρὸς τὸν ἀδελφόν μου καὶ ἐρωτῶ αὐτόν. Καὶ ὡς ἔκλεισε τὴν θύραν αὐτοῦ ἀπελθεῖν, ἀπεστάλη αὐτῷ ἄγγελος Κυρίου λέγων· Αἱ ἑβδομήκοντα ἑβδομάδες, ἃς ἐνήστευσας, οὐκ ἤγγισαν πρὸς τὸν Θεόν. Ὅτε δὲ ἐταπείνωσας ἑαυτὸν ἐξελθεῖν πρὸς τὸν ἀδελφόν σου, ἀπεστάλην τοῦ ἀναγγεῖλαί σοι τὸν λόγον. Καὶ πληροφορήσας αὐτὸν εὐθέως ἀπέστη ἀπ' αὐτοῦ.

202. Εἶπε Γέρων· Ἐάν τις μετὰ φόβου Θεοῦ καὶ ταπεινώσεως ἐπιτάξῃ ἀδελφὸν πρᾶγμα ποιῆσαι, ὁ λόγος ἐκεῖνος ὁ διὰ τὸν Θεὸν ἐξερχόμενος ποιεῖ τὸν ἀδελφὸν ὑποταγῆναι καὶ ποιῆσαι τὸ ἐπιταχθέν. Εἰ δέ τις θέλων κελεῦσαι ἀδελφὸν οὐ κατὰ φόβον Θεοῦ, ἀλλ' ὡς δι' αὐθεντίας θέλων ἐξουσιά-

100. Ματθ. 24, 23.

λις τόν εἶδε ὁ Γέροντας ἔκλεισε τά μάτια του. Τοῦ λέει τότε ὁ διάβολος: «Γιατί κλείνεις τά μάτια σου; Ἐγώ εἶμαι, ὁ Χριστός». Τοῦ ἀποκρίθηκε ὁ Γέροντας: «Ἐγώ δέν θέλω νά δῶ ἐδῶ τόν Χριστό». Καί μόλις τ' ἄκουσε ὁ διάβολος ἔγινε ἄφαντος.

200. Σ' ἄλλο Γέροντα ἔλεγαν οἱ δαίμονες: «Θέλεις νά δεῖς τόν Χριστό;» Κι ἐκεῖνος τούς εἶπε: «Νά χαθεῖτε καί σεῖς καί αὐτά πού λέτε. Ἐγώ πιστεύω στόν Χριστό μου πού εἶπε: Ἐάν σᾶς πεῖ κάποιος, νά, ἐδῶ ὁ Χριστός, νά, ἐκεῖ ὁ Χριστός, μήν πιστέψετε»[100]. Κι ἀμέσως ἐξαφανίστηκαν.

201. Διηγήθηκαν γιά κάποιο Γέροντα ὅτι ἔκανε ἑβδομήντα ἑβδομάδες τρώγοντας μιά φορά τήν ἑβδομάδα. Ζητοῦσε ἀπό τόν Θεό νά τοῦ ἀποκαλύψει γιά κάποιο ρητό τῆς ἁγίας Γραφῆς, ἀλλά δέν τοῦ ἀπεκάλυπτε.

Κι εἶπε μέσα του: «Ἀλήθεια, τόσο κόπο ἔκανα καί τίποτε δέν κατόρθωσα· ἄς πάω, λοιπόν, στόν ἀδελφό μου νά τόν ρωτήσω». Καί μόλις ἔκλεισε τήν πόρτα γιά νά φύγει, ἦρθε ἄγγελος σταλμένος ἀπό τόν Κύριο καί τοῦ εἶπε: «Οἱ ἑβδομήντα ἑβδομάδες πού νήστεψες δέν συγκίνησαν τόν Θεό. Ὅταν ὅμως ταπεινώθηκες γιά νά πᾶς στόν ἀδελφό σου, στάλθηκα γιά νά σοῦ ἀποκαλύψω τό ρητό». Καί ἀφοῦ τόν κατατόπισε, ἀμέσως ἀπομακρύνθηκε ἀπ' αὐτόν.

202. Εἶπε κάποιος Γέροντας: «Ἐάν κανείς μέ φόβο Θεοῦ καί μέ ταπείνωση προστάξει κάποιον ἀδελφό νά κάνει κάτι, ὁ λόγος ἐκεῖνος πού βγαίνει γιά τόν Θεό, κάνει τόν ἀδελφό νά ὑποταχθεῖ καί νά φτιάξει αὐτό πού τοῦ ὁρίσουν νά κάνει.

Ἐάν ὅμως κάποιος θέλει νά προστάξει τόν ἀδελφό ὄχι μέ φόβο Θεοῦ, ἀλλά νά ἐπιβληθεῖ ἐπιτακτικά ὡς ἐξου-

ζειν αὐτόν, ὁ Θεός ὁ βλέπων τὰ κρυπτὰ τῆς καρδίας οὐ πληροφορεῖ αὐτὸν ἀκοῦσαι, ὅτι φανερόν ἐστι τὸ διὰ τὸν Θεὸν γινόμενον ἔργον καὶ φανερὸν τὸ δι᾽ αὐθεντίας.

Τὸ γὰρ τοῦ Θεοῦ ταπεινόν ἐστι μετὰ παρακλήσεως, τὸ δὲ μετὰ αὐθεντίας θυμοῦ γέμει καὶ ταραχῆς· ἐκ τοῦ πονηροῦ γάρ ἐστιν.

203. Εἶπε Γέρων· Θέλω ἥττημα μετὰ ταπεινοφροσύνης ἢ νίκην μετὰ ὑπερηφανίας.

204. Εἶπε Γέρων· Μὴ καταφρόνει τοῦ παρεστηκότος σοι· οὐκ οἶδας γὰρ εἰ ἐν σοί ἐστι τὸ Πνεῦμα τοῦ Θεοῦ ἢ ἐν αὐτῷ. Λέγω δὴ τὸν παρεστηκότα σοι, τὸν διακονοῦντά σοι.

205. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Ἐὰν οἰκήσω μετὰ ἀδελφοῦ καὶ ἴδω πρᾶγμα παρὰ τὸ πρέπον, θέλεις λαλήσω; Λέγει ὁ Γέρων· Ἐάν εἰσι μείζονές σου ἢ συνηλικιῶταί σου, σιώπα μᾶλλον καὶ ἕξεις ἀνάπαυσιν· ἐν τούτῳ γὰρ σεαυτὸν ἐλάσσω ποιεῖς καὶ ἀμέριμνον. Λέγει αὐτῷ ὁ ἀδελφός· Τί οὖν ποιήσω, πάτερ; ταράσσουσι γάρ με τὰ πνεύματα. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ κάμνεις, ὑπόμνησον ἅπαξ ταπεινοφρονῶν· ἐὰν δὲ μὴ ἀκούσωσί σου, ἄφες τὸν κόπον σου ἐνώπιον τοῦ Θεοῦ, τὸ καταλιπεῖν τὸ ἴδιον θέλημα. Πρόσεχε δὲ μὴ ἐκφάνῃς, ὅπως γένηται κατὰ Θεὸν ἡ μέριμνά σου. Ὡς δὲ ὁρῶ, καλὸν μᾶλλον τὸ σιωπᾶν· ταπεινοφροσύνη γάρ ἐστιν.

206. Ἀδελφὸς ἐλυπεῖτο κατὰ ἀδελφοῦ. Καὶ ἀκούσας ἐκεῖνος ἦλθε μετανοῆσαι αὐτῷ. Ὁ δὲ οὐκ ἤνοιξεν αὐτῷ τὴν

σία, ὁ Θεός πού βλέπει τά βαθύτερα τῆς καρδιᾶς, δέν πληροφορεῖ τόν ἀδελφό ν᾽ ἀκούσει· διότι εἶναι φανερό τό ἔργο πού γίνεται γιά τόν Θεό, φανερό ἐπίσης αὐτό πού γίνεται μέ διάθεση νά ἐπιβληθεῖ στόν ἄλλο.

Τοῦ Θεοῦ τό ἔργο γίνεται μέ ταπείνωση καί μέ ἤπιο τρόπο, ἐνῶ ἐκεῖνο πού γίνεται ἐπιτακτικά, εἶναι ὅλο θυμό καί ταραχή, γιατί προέρχεται ἀπ᾽ τόν πονηρό».

203. Εἶπε Γέροντας: «Προτιμῶ πτώση μέ ταπείνωση παρά νίκη μέ ὑπερηφάνεια».

204. Εἶπε Γέροντας: «Μήν καταφρονεῖς αὐτόν πού σέ παραστέκεται, γιατί δέν ξέρεις, ἄν ἀναπαύεται σέ σένα ἤ σ᾽ αὐτόν τό Πνεῦμα τοῦ Θεοῦ. Καί λέγοντας φυσικά αὐτόν πού σέ παραστέκεται, ἐννοῶ αὐτόν πού σέ ὑπηρετεῖ».

205. Κάποιος ἀδελφός ρώτησε ἕνα Γέροντα: «Ἐάν συγκατοικήσω μέ κάποιον ἀδελφό καί δῶ νά γίνεται κάτι πού δέν ταιριάζει, τί λές, νά μιλήσω;» Κι ὁ Γέροντας ἀπαντᾶ: «Ἐάν αὐτοί μέ τούς ὁποίους συγκατοικεῖς εἶναι μεγαλύτεροί σου ἤ τῆς ἴδιας ἡλικίας μέ σένα, καλύτερα νά σωπάσεις καί θά ἔχεις ἀνάπαυση. Γιατί μέ τόν τρόπο αὐτό κάνεις τόν ἑαυτό σου μικρότερο καί εἶσαι ἀμέριμνος». Τοῦ λέει ὁ ἀδελφός: «Τί νά κάνω λοιπόν, πάτερ, γιατί μέ ταράζουν οἱ λογισμοί;» Κι ὁ Γέροντας τοῦ εἶπε: «Ἄν δέν ἀντέχεις, μίλησε μιά φορά μέ ταπείνωση. Ἐάν ὅμως δέν σ᾽ ἀκούσουν, ἄφησε τήν ταλαιπωρία σου στόν Θεό, ἄφησε δηλαδή τό θέλημά σου. Καί πρόσεχε μήν κάνεις νά φανεῖ στόν κόσμο, γιά νά γίνει ἡ φροντίδα σου κατά Θεόν. Ἀλλά ὅπως τά βλέπω, ροτιμότερη εἶναι ἡ σιωπή, γιατί εἶναι ταπεινοφροσύνη».

206. Κάποιος ἀδελφός εἶχε λύπη ἐναντίον ἄλλου ἀδελφοῦ. Ὅταν τό ἄκουσε ἐκεῖνος, ἦλθε νά τοῦ ζητήσει συγ-

θύραν. Ἀπῆλθεν οὖν πρός τινα Γέροντα καὶ εἶπεν αὐτῷ τὸ πρᾶγμα. Καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν· Ὅρα μὴ δικαίωμα ἔχεις ἐν τῇ καρδίᾳ σου ὡς μεμφόμενος τὸν ἀδελφόν σου ὅτι ἐκεῖνός ἐστιν ὁ αἴτιος, σεαυτὸν δὲ δικαιοῖς, καὶ διὰ τοῦτο οὐκ ἐπληροφορήθη ἀνοῖξαί σοι. Πλὴν τοῦτό ἐστιν ὃ λέγω σοι· κἂν ἐκεῖνος ἥμαρτε κατὰ σοῦ, ὕπαγε, θὲς εἰς τὴν καρδίαν σου ὅτι σὺ ἥμαρτες κατ' αὐτοῦ καὶ τὸν ἀδελφόν σου δικαίωσον. Καὶ τότε ὁ Θεὸς πληροφορεῖ αὐτὸν ὁμονοῆσαί σοι.

Καὶ πεισθεὶς ὁ ἀδελφὸς ἐποίησεν οὕτω. Καὶ ἀπελθὼν ἔκρουσε τῷ ἀδελφῷ. Καὶ ὡς μόνον ᾔσθετο ἔσωθεν, πρῶτος αὐτὸς μετενόησε καὶ ἀνοίξας ἠσπάσατο αὐτὸν ἀπὸ ψυχῆς. Καὶ γέγονεν ἀμφοτέροις εἰρήνη μεγάλη.

207. Ἔλεγον περί τινος τῶν Πατέρων ὅτι ᾐτήσατο τὸν Θεὸν ἐπὶ ἑπτὰ ἔτη περί τινος χαρίσματος καὶ ἐδόθη αὐτῷ. Ἀπῆλθεν οὖν πρός τινα μέγαν Γέροντα καὶ ἀνήγγειλεν αὐτῷ διὰ τὸ χάρισμα. Ἀκούσας δὲ ὁ Γέρων ἐκεῖνος ἐλυπήθη λέγων· Μέγας κόπος. Καὶ εἶπεν αὐτῷ· Ὕπαγε, ποίησον ἄλλα ἑπτὰ ἔτη παρακαλῶν τὸν Θεόν, ἵνα ἀρθῇ ἀπὸ σοῦ· οὐ συμφέρει γάρ σοι.

Ἀπελθὼν οὖν ἐποίησεν οὕτως, ἕως οὗ ἤρθη ἀπ' αὐτοῦ.

208. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ἐστιν ἡ κατὰ Θεὸν προκοπὴ τοῦ ἀνθρώπου; Λέγει ὁ Γέρων· Ἡ προκοπὴ τοῦ ἀνθρώπου ἐστὶν ἡ ταπείνωσις· ὅσον γὰρ ἐάν τις κατάγηται εἰς ταπείνωσιν, τοσοῦτον εἰς προκοπὴν ἀνάγεται.

γνώμη. Αὐτός ὅμως δέν τοῦ ἄνοιξε τήν πόρτα. Πῆγε τότε σέ κάποιον Γέροντα καί τοῦ ἀνέφερε τήν ὑπόθεση. Καί ὁ Γέροντας τοῦ εἶπε: «Πρόσεξε μήπως ἔχεις θέλημα μέσα σου καθώς κατηγορεῖς τόν ἀδελφό σου πώς ἐκεῖνος φταίει καί δικαιώνεις τόν ἑαυτό σου καί γι' αὐτό δέν τόν φώτισε ὁ Θεός νά σοῦ ἀνοίξει. Ὡστόσο ὅμως πρόσεξε αὐτό πού θά σοῦ πῶ. Ἀκόμη κι ἄν ἐκεῖνος ἔσφαλε ἐναντίον σου, κοίτα νά πεισθεῖς μέσα σου ὅτι σύ ἔφταιξες ἐναντίον του καί δῶσε δίκαιο στόν ἀδελφό σου. Ὕστερα ἀπ' αὐτά ὁ Θεός θά τόν πληροφορήσει νά συμφιλιωθεῖ μαζί σου».

Πράγματι πείσθηκε ὁ ἀδελφός κι ἔπραξε ἔτσι. Πῆγε λοιπόν καί χτύπησε τήν πόρτα τοῦ ἀδελφοῦ. Καί μόλις τόν πῆρε εἴδηση ἐκεῖνος ἀπό μέσα, πρῶτος ὁ ἴδιος ἔνιωσε μετάνοια καί ἀφοῦ ἄνοιξε τήν πόρτα, τόν ἀγκάλιασε ἐγκάρδια. Καί εἰρήνευσαν καί οἱ δύο πολύ.

207. Ἔλεγαν γιά κάποιον ἀπ' τούς Πατέρες ὅτι παρακαλοῦσε τόν Θεό ἑπτά χρόνια νά τοῦ δοθεῖ ἕνα χάρισμα· καί τοῦ δόθηκε.

Πῆγε, λοιπόν, τότε σέ κάποιο μεγάλο Γέροντα καί τοῦ τό ἀνήγγειλε μέ χαρά. Καί ὅταν τ' ἄκουσε ὁ Γέροντας, λυπήθηκε καί τοῦ εἶπε: «Πολύς κόπος». Καί συμπλήρωσε: «Πήγαινε τώρα νά παρακαλέσεις τόν Θεό ἄλλα ἑπτά χρόνια γιά νά σοῦ τό πάρει, γιατί δέν σοῦ συμφέρει».

Γύρισε, λοιπόν, πίσω καί ἔκαμε ἔτσι, ἑωσότου τοῦ τό πῆρε ὁ Θεός.

208. Κάποιος ἀδελφός ρώτησε ἕνα Γέροντα: «Ποιά εἶναι ἡ προκοπή τοῦ ἀνθρώπου πού τή θέλει κι ὁ Θεός;» Κι ἀπάντησε ὁ Γέροντας: «Ἡ προκοπή τοῦ ἀνθρώπου εἶναι ἡ ταπείνωση· γιατί ὅσο κάποιος κατεβαίνει πρός τήν ταπείνωση, τόσο ἀνεβαίνει σέ προκοπή».

209. Εἶπε Γέρων· Ἢ φεύγων φεῦγε τοὺς ἀνθρώπους ἢ ἔμπαιξον τῷ κόσμῳ καὶ τοῖς ἀνθρώποις μωρὸν σεαυτὸν εἰς τὰ πολλὰ ποιῶν.

210. Εἶπε Γέρων· Ἐὰν εἴπῃς τινὶ συγχώρησόν μοι ταπεινῶν ἑαυτόν, καίεις τοὺς δαίμονας.

211. Εἶπε Γέρων· Ἐὰν κτήσῃ σιωπήν, μὴ ἔχε σεαυτὸν ὡς ἀρετὴν κατορθοῦντα, ἀλλὰ λέγε ὅτι ἀνάξιός εἰμι καὶ τοῦ λαλεῖν.

212. Εἶπε Γέρων· Εἰ μὴ ἔβαλεν ὁ ἀρτοκόπος σκέπασμα τοῖς ὀφθαλμοῖς τοῦ κτήνους, ἐστρέφετο ἂν καὶ τὸν μισθὸν αὐτοῦ ἔτρωγεν. Οὕτω καὶ ἡμεῖς λαμβάνομεν κατ' οἰκονομίαν Θεοῦ σκεπάσματα, ἵνα μὴ βλέπωμεν ἃ ἐργαζόμεθα καλὰ καὶ μακαρίζωμεν ἑαυτοὺς καὶ διὰ τοῦτο ἀπολέσωμεν τὸν μισθὸν ἡμῶν. Διὰ τοῦτο ἀφιέμεθα μίαν μίαν ἐν ῥυπαροῖς λογισμοῖς. Καὶ αὐτοὺς μόνον βλέπομεν, ἵνα ἑαυτοὺς κατακρίνωμεν. Καὶ αὐτὰ τὰ ῥυπαρὰ γίνονται ἡμῖν σκεπάσματα τοῦ μικροῦ ἀγαθοῦ. Ὅταν γὰρ ἄνθρωπος μέμψηται ἑαυτόν, οὐκ ἀπόλλυσι τὸν μισθὸν αὐτοῦ.

213. Ἠρωτήθη Γέρων τί ἐστι ταπείνωσις. Καὶ ἀποκριθεὶς εἶπεν· Ἡ ταπείνωσις μέγα ἔργον ἐστὶ καὶ θεϊκόν, ἡ δὲ ὁδὸς τῆς ταπεινώσεως οἱ κόποι οἱ σωματικοί εἰσι καὶ τὸ ἔχειν ἑαυτὸν ἁμαρτωλότερον καὶ ὑποκάτω πάντων. Καὶ εἶπεν ὁ Γέρων· Τοῦτό ἐστι τὸ μὴ προσέχειν ἁμαρτίαις ἀλλοτρίαις ἀλλὰ ταῖς ἑαυτοῦ πάντοτε, καὶ δέεσθαι τοῦ Θεοῦ ἀδιαλείπτως.

209. Εἶπε ἕνας Γέροντας: «Ἢ φεύγοντας ἀπόφευγε τούς ἀνθρώπους ἤ κορόιδεψε τόν κόσμο καί τούς ἀνθρώπους προσποιούμενος στά περισσότερα τόν μωρό».

210. Εἶπε Γέροντας: «Ἐάν πεῖς σέ κάποιον, συγχώρησέ με, ταπεινώνοντας τόν ἑαυτό σου, καῖς τούς δαίμονες».

211. Εἶπε Γέροντας: «Ἐάν ἀποκτήσεις σιωπή, μή θεωρεῖς τόν ἑαυτό σου ὅτι πέτυχε ἀρετή, ἀλλά λέγε: εἶμαι ἀνάξιος ἀκόμη καί νά μιλῶ».

212. Εἶπε Γέροντας: «Ἐάν ὁ μυλωνάς δέν ἔβαζε σκέπασμα στά μάτια τοῦ ζώου, τότε θά γύριζε τό ζῶο καί θά ἔτρωγε τήν ἀξία πού θά ἔβγαζε μέ τή δουλειά. Ἔτσι κι ἐμεῖς κατ' οἰκονομίαν Θεοῦ δεχόμαστε ἀπ' τόν Θεό σκεπάσματα, γιά νά μήν βλέπουμε τά καλά πού κάνουμε καί καλοτυχίσουμε τούς ἑαυτούς μας καί ἐξαιτίας αὐτοῦ χάσουμε τόν μισθό μας. Γι' αὐτό κάθε τόσο εἴμαστε στήν ἐπήρεια ρυπαρῶν λογισμῶν. Καί βλέπουμε μόνο τούς ρυπαρούς λογισμούς, γιά νά κατακρίνουμε τούς ἑαυτούς μας.

Ἔτσι αὐτοί οἱ ρυπαροί λογισμοί γίνονται σκεπάσματα στό λίγο καλό πού ἔχουμε. Καί ὅταν ὁ ἄνθρωπος κατηγορήσει τόν ἑαυτό του, δέν χάνει τόν μισθό του».

213. Ρωτήθηκε κάποιος Γέροντας τί εἶναι ταπείνωση. Κι ἀπάντησε: «Ἡ ταπείνωση εἶναι μεγάλο καί θεϊκό ἔργο· ὁ δρόμος πού ὁδηγεῖ στήν ταπείνωση εἶναι οἱ σωματικοί κόποι καί τό νά θεωρεῖ κανείς τόν ἑαυτό του πιό ἁμαρτωλό ἀπ' ὅλους καί κατώτερο ὅλων». Καί εἶπε ὁ Γέροντας: «Αὐτό στήν πράξη σημαίνει νά μήν προσέχει κανείς ξένες ἁμαρτίες, ἀλλά πάντοτε τίς δικές του καί διαρκῶς νά παρακαλεῖ τόν Θεό».

214. Ἠρώτησεν ἀδελφός τινα Γέροντα λέγων· Εἰπέ μοι πρᾶγμα, ἵνα τηρήσω καὶ ζήσω δι᾽ αὐτοῦ. Καὶ εἶπεν ὁ Γέρων· Ἐὰν δυνηθῇς ὑβρισθῆναι καὶ βαστάσαι, μέγα ἐστὶ τοῦτο ὑπὲρ πάσας τὰς ἀρετάς.

215. Εἶπε Γέρων· Ἐξουδένωσιν καὶ ὕβριν καὶ ζημίαν ὁ φέρων δύναται σωθῆναι.

216. Εἶπε Γέρων· Μὴ ἔχε γνῶσιν μετὰ ἡγουμένου, μηδὲ σύχναζε πρὸς αὐτόν· ἐκ τούτου γὰρ καὶ παρρησίαν ἕξεις καὶ τοῦ ἡγεῖσθαι λοιπὸν ἐπιθυμήσεις.

217. Ἀνὴρ ἅγιος θεωρήσας τινὰ ἁμαρτάνοντα, κλαύσας πικρῶς εἶπεν· Οὗτος σήμερον, πάντως ὅτι κἀγὼ αὔριον. Πλὴν κἂν ὅπως τις ἁμάρτῃ ἐνώπιόν σου, μὴ κρίνῃς αὐτόν, ἀλλὰ ἔχε ἑαυτὸν ἁμαρτωλότερον αὐτοῦ.

218. Ἀδελφός τις ἦν ἐν κοινοβίῳ καὶ ὅλα τὰ βάρη τῶν ἀδελφῶν ἐβάσταζεν ἐπάνω αὐτοῦ. Καὶ ἕως πορνείας κατηγόρει ἑαυτοῦ ὅτι ἐγὼ ἐποίησα. Τινὲς δὲ τῶν ἀδελφῶν ἀγνοοῦντες τὴν πρᾶξιν αὐτοῦ ἤρξαντο γογγύζειν κατ᾽ αὐτοῦ λέγοντες· Πόσα κακὰ ἐποίησεν οὗτος καὶ οὐδὲ ἐργάζεται. Ὁ δὲ ἀββᾶς γινώσκων τὴν πρᾶξιν αὐτοῦ ἔλεγε τοῖς ἀδελφοῖς· Θέλω τὸ ἓν ψιάθιον αὐτοῦ μετὰ ταπεινοφροσύνης ἢ τὰ ὑμῶν μετὰ ὑπερηφανίας πολλὰ ὄντα. Καὶ θέλετε πληροφορηθῆναι ὑπὸ τοῦ Θεοῦ; Καὶ ἤνεγκε τὰ πρὸς τρία αὐτῶν ψιάθια καὶ τὸ ἓν ψιάθιον τοῦ ἀδελφοῦ. Καὶ ἅψας πῦρ ἔρριψεν αὐτὰ ἐν αὐτῷ καὶ ἐκάησαν ὅλα παρεκτὸς τοῦ ψιαθίου τοῦ ἀδελφοῦ.

101. Παρρησία: Βλ. Μ. Γερ. τ. Γ΄, σελ. 24, ὑποσημ. 7.

214. Παρακάλεσε κάποιος ἀδελφός ἕνα Γέροντα: Πές μου –τοῦ εἶπε– κάτι πού νά τό τηρήσω καί νά σωθῶ μ᾽ αὐτό. Καί τοῦ λέει ὁ Γέροντας: Ἐάν μπορεῖς νά βαστάξεις ὅταν σέ βρίσουν, αὐτό εἶναι τό μεγαλύτερο ἀπ᾽ ὅλες τίς ἀρετές.

215. Εἶπε Γέροντας: «Σώζεται ἐκεῖνος πού μπορεῖ νά σηκώσει ἐξουθένωση καί βρισιές καί ζημία».

216. Εἶπε ἄλλος Γέροντας: Μήν ἀποκτήσεις γνωριμία μέ ἡγούμενο, οὔτε νά συχνάζεις σ᾽ ἐκεῖνον· γιατί ἀπ᾽ αὐτό καί παρρησία[101] θ᾽ ἀποκτήσεις καί θά ἐπιθυμήσεις νά γίνεις ἡγούμενος.

217. Κάποιος ἅγιος ἄνθρωπος βλέποντας κάποιον ν᾽ ἁμαρτάνει, ἔκλαψε πικρά καί εἶπε: «Αὐτός σήμερα ἁμαρτάνει· κι ἐγώ ὁπωσδήποτε αὔριο». Ἐξάλλου ὁποιαδήποτε ἁμαρτία κι ἄν κάνει κάποιος μπροστά σου, μήν τόν κρίνεις, ἀλλά νά θεωρεῖς τόν ἑαυτό σου ἁμαρτωλότερο ἀπ᾽ αὐτόν.

218. Ὑπῆρχε κάποιος ἀδελφός σ᾽ ἕνα κοινόβιο πού ἔπαιρνε ἐπάνω του ὅλα τά βάρη τῶν ἀδελφῶν. Μάλιστα μέχρι γιά πορνεία κατηγοροῦσε τόν ἑαυτό του καί ἔλεγε ὅτι ἐγώ ἔκανα τήν ἁμαρτία.

Ὁρισμένοι ἀδελφοί μή γνωρίζοντας τήν τακτική του ἄρχισαν νά βαρυγκομοῦν ἐναντίον του λέγοντας: «Πόσα κακά ἔκανε αὐτός καί οὔτε δουλεύει». Ὁ ἀββᾶς ὅμως γνωρίζοντας τήν τακτική του ἔλεγε στούς ἀδελφούς: «Προτιμῶ τό ἕνα ψαθί αὐτουνοῦ πού γίνεται μέ ταπείνωση, παρά τά πολλά τά δικά σας πού γίνονται μέ ὑπερηφάνεια. Θέλετε νά σᾶς ἀποκαλύψει ὁ Θεός;» Καί ἔφερε τό ἕνα ψαθί πού ἔκανε ὁ ἀδελφός καί τά τριπλάσια πού ἔκαναν αὐτοί καί ἀφοῦ ἄναψε φωτιά τά ἔριξε μέσα. Κάηκαν ὅλα ἐκτός ἀπ᾽ τό

Καὶ τοῦτο ἰδόντες οἱ ἀδελφοὶ ἐφοβήθησαν καὶ ἔβαλον αὐτῷ μετάνοιαν καὶ ἔσχον αὐτὸν τοῦ λοιποῦ ὡς πατέρα.

219. Μοναχός τις τραῦμα λαβὼν παρά τινος, κατέχων τὸ τραῦμα, μετάνοιαν ἔβαλε τῷ πλήξαντι.

220. Εἶπε Γέρων· Μὴ θήσῃς εἰς τὴν καρδίαν σου κατὰ τοῦ ἀδελφοῦ σου κατηγορίαν περὶ οἱουδήποτε πράγματος.

221. Ἠρωτήθη Γέρων· Πῶς τινες λέγουσιν ὅτι βλέπομεν ὀπτασίαν ἀγγέλων; Καὶ ἀπεκρίθη· Μακάριός ἐστιν ὁ βλέπων τὰς ἁμαρτίας αὐτοῦ πάντοτε.

222. Γέρων τις ἦν ἐπὶ τὸν Ἰορδάνην καὶ εἰσελθὼν ἐν καύματι εἰς σπήλαιον εὗρεν ἔσω λέοντα, καὶ ἤρξατο βρύχειν τοὺς ὀδόντας αὐτοῦ καὶ ὠρύεσθαι. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Τί θλίβῃ; Ἔνι τόπος χωρῶν ἐμὲ καὶ σέ· εἰ δὲ οὐ θέλεις, ἀνάστα, ἔξελθε. Ὁ δὲ λέων μὴ βαστάσας ἐξῆλθεν.

223. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Διατί βάλλω μετάνοιαν τῷ ἔχοντι κατ᾽ ἐμοῦ καὶ δρῶ αὐτὸν μὴ καθαρεύοντα μετ᾽ ἐμοῦ; Καὶ λέγει αὐτῷ ὁ Γέρων· Εἰπέ μοι τὴν ἀλήθειαν, οὐκ ἔχεις ἐν τῇ καρδίᾳ σου δικαίωμα ὡς βάλλεις αὐτῷ μετάνοιαν ὅτι αὐτὸς ἐσφάλη κατὰ σοῦ καὶ διὰ τὴν ἐντολὴν μετανοεῖς αὐτῷ; Καὶ λέγει ὁ ἀδελφός· Ναί, οὕτως ἔχει. Εἶπεν οὖν αὐτῷ ὁ Γέρων· Διὰ τοῦτο οὐ πληροφορεῖ αὐτὸν ὁ Θεὸς καθαρεῦσαι μετὰ σοῦ, ὅτι σὺ οὐ βάλλεις αὐτῷ μετάνοιαν μετὰ

102. Ματθ. 5, 23-24.

ψαθί τοῦ ἀδελφοῦ. Καί ὅταν τό εἶδαν οἱ ἀδελφοί, φοβήθηκαν, τοῦ ᾿βαλαν μετάνοια καί τόν εἶχαν στό ἑξῆς ὡς πατέρα.

219. Μοναχός πού χτυπήθηκε ἀπό κάποιον, κρατώντας τό τραῦμα του, πῆγε κι ἔβαλε μετάνοια σ᾽ αὐτόν πού τόν τραυμάτισε.

220. Εἶπε Γέροντας: Μήν κατηγορήσεις μέσα σου τόν ἀδελφό σου γιά ὁποιοδήποτε πράγμα.

221. Ρώτησαν ἕναν Γέροντα: «Πῶς λένε μερικοί ὅτι βλέπουν ὀπτασία ἀγγέλων;» Καί ἀποκρίθηκε: «Εὐτυχής εἶναι ἐκεῖνος πού βλέπει πάντοτε τίς ἁμαρτίες του».

222. Ὑπῆρχε κάποιος Γέροντας στά μέρη τοῦ Ἰορδάνου καί σέ καιρό καύσωνα μπῆκε σ᾽ ἕνα σπήλαιο καί βρῆκε ἕνα λιοντάρι πού ἄρχισε νά τρίζει τά δόντια του καί νά ὠρύεται. Τότε τοῦ εἶπε ὁ Γέροντας: «Γιατί στενοχωριέσαι; Ὑπάρχει τόπος καί γιά μένα καί γιά σένα· κι ἄν πάλι δέν θέλεις, σήκω καί βγές ἔξω». Καί τό λιοντάρι, ἐπειδή δέν μπόρεσε νά βαστάξει, βγῆκε ἔξω.

223. Κάποιος ἀδελφός ρώτησε ἕναν Γέροντα: «Γιατί, ἐνῶ βάζω μετάνοια στόν ἀδελφό πού ἔχει κάτι ἐναντίον μου, ὡστόσο τόν βλέπω νά παραμένει δυσαρεστημένος ἀπέναντί μου;» Καί τοῦ εἶπε ὁ Γέροντας: «Πές μου εἰλικρινά, καθώς τοῦ βάζεις μετάνοια δέν ἔχεις μέσα σου τήν αὐτοδικαίωση ὅτι αὐτός ἔσφαλε ἐναντίον σου καί σύ σύμφωνα μέ τήν ἐντολή τοῦ ζητᾶς συγγνώμη;»[102] Καί τοῦ ἀπαντᾶ ὁ ἀδελφός: «Ναί, ἔτσι εἶναι». Τοῦ εἶπε, λοιπόν, ὁ Γέροντας: «Γι᾽ αὐτό δέν τόν πληροφορεῖ ὁ Θεός νά διώξει τή δυσαρέσκεια πού νιώθει ἀπέναντί σου, γιατί ἐσύ δέν τοῦ βάζεις

πληροφορίας ὡς σὺ ἁμαρτήσας κατ᾽ αὐτοῦ, ἀλλὰ καὶ μᾶλλον ἔχεις ὅτι αὐτὸς ἥμαρτεν εἰς σέ. Πλὴν τοῦτό ἐστι· κἂν ἐκεῖνος ἥμαρτεν εἰς σέ, θὲς εἰς τὴν καρδίαν σου ὅτι σὺ εἶ ὁ κατ᾽ αὐτοῦ ἁμαρτὼν καὶ τὸν ἀδελφόν σου δικαίωσον, καὶ τότε αὐτὸν ὁ Θεὸς πληροφορεῖ καθαρεῦσαι μετὰ σοῦ.

Καὶ διηγήσατο αὐτῷ ὁ Γέρων ὑπόδειγμα τοιοῦτον. Ἠσάν τινες κοσμικοὶ εὐλαβεῖς. Καὶ συμφωνήσαντες ἐξῆλθον καὶ γεγόνασι μοναχοί. Καὶ ζήλῳ φερόμενοι κατὰ τὴν εὐαγγελικὴν φωνήν, ἀγνοοῦντες δέ, εὐνούχισαν ἑαυτοὺς διὰ τὴν Βασιλείαν τῶν Οὐρανῶν. Καὶ ἀκούσας ὁ ἀρχιεπίσκοπος ἐχώρισεν αὐτούς. Ἐκεῖνοι δὲ δοκοῦντες ὅτι καλῶς ἐποίησαν ἠγανάκτησαν κατ᾽ αὐτοῦ λέγοντες· Ἡμεῖς εὐνουχίσαμεν ἑαυτοὺς διὰ τὴν Βασιλείαν τῶν Οὐρανῶν καὶ οὗτος ἐχώρισεν ἡμᾶς; Ἄγωμεν, ἐντύχωμεν κατ᾽ αὐτοῦ τῷ ἀρχιεπισκόπῳ Ἰεροσολύμων. Καὶ ἀπελθόντες ἀνήγγειλαν αὐτῷ πάντα. Καὶ λέγει αὐτοῖς ὁ ἀρχιεπίσκοπος· Κἀγὼ ὑμᾶς χωρίζω. Καὶ ἐπὶ τούτῳ λυπηθέντες ἀπῆλθον ἐν Ἀντιοχείᾳ πρὸς τὸν ἀρχιεπίσκοπον καὶ εἶπον αὐτῷ τὰ καθ᾽ ἑαυτούς. Κἀκεῖνος δὲ ἐχώρισεν αὐτούς. Λέγουσι πρὸς ἀλλήλους· Ἄγωμεν εἰς Ῥώμην πρὸς τὸν πάπαν, κἀκεῖνος ἐκδικεῖ ἡμᾶς ἀπὸ πάντων τούτων.

Ἐλθόντες οὖν πρὸς τὸν μέγαν ἀρχιεπίσκοπον Ῥώμης ἀνήγγειλαν αὐτῷ, ἃ ἐποίησαν αὐτοῖς οἱ ἀρχιεπίσκοποι, λέγοντες· Ἤλθομεν πρός σε, ὅτι σὺ εἶ κεφαλὴ πάντων. Εἶπε δὲ καὶ αὐτὸς αὐτοῖς· Κἀγὼ χωρίζω ὑμᾶς καὶ κεχωρισμένοι ἐστέ. Ἀπορούμενοι δὲ πρὸς ἀλλήλους εἶπον ὅτι· Εἷς τῷ ἑνὶ χαρίζεται διὰ τὸ ἐν συνόδῳ ἀνάγεσθαι· ἀλλ᾽ ἄγωμεν εἰς τὸν

103. Ματθ. 19, 12.

104. Ἡ λ. "χωρίζω" τοῦ ἀρχαίου κειμένου ἐδῶ ἔχει τήν σημασία τοῦ ἀφορίζω. Δηλαδή ἐπιβάλλει ὁ ἀρχιεπίσκοπος ὡς ἐπιτίμιο σέ βαρέως ἁμαρτήσαντα τήν προσωρινή ἀπομάκρυνσή του ἀπό τήν Ἐκκλησία πρός σωφρονισμόν. Βλ. Μ. Γερ. τ. Γ', σελ. 90, ὑποσημ. 64.

105. Βλ. Μ. Γερ. τ. Α', σελ. 76, ὑποσημ. 61.

μετάνοια μέ τήν πεποίθηση πώς ἐσύ ἔσφαλες σ᾽ αὐτόν, ἀλλά περισσότερο πιστεύεις ὅτι ἐκεῖνος ἔσφαλε ἀπέναντι σέ σένα. Ἀλλά τοῦτο εἶναι τό σωστό: Κι ἄν ἀκόμη ἐκεῖνος ἔσφαλε σέ σένα, παραδέξου μέσα σου ὅτι σύ εἶσαι ἐκεῖνος πού ἔσφαλε, καί δικαίωσε τόν ἀδελφό σου. Καί τότε ὁ Θεός θά τόν πληροφορήσει νά μήν εἶναι δυσαρεστημένος μαζί σου».

Καί τοῦ διηγήθηκε ὁ Γέροντας ἕνα σχετικό παράδειγμα. Ἦταν κάποιοι κοσμικοί εὐλαβεῖς καί ὕστερα ἀπό συμφωνία ἄφησαν τόν κόσμο κι ἔγιναν μοναχοί. Καί ἀπό ὑπερβολικό ζῆλο σύμφωνα μέ τήν εὐαγγελική ἐντολή, πλήν ὅμως κι ἀπό ἄγνοια, εὐνούχισαν τούς ἑαυτούς τους γιά νά κερδίσουν τή Βασιλεία τῶν Οὐρανῶν[103]. Μόλις τ᾽ ἄκουσε ὁ ἀρχιεπίσκοπος τούς ἀφόρισε[104]. Ἐκεῖνοι ὅμως νομίζοντας ὅτι καλά ἔκαναν, ἀγανάκτησαν ἐναντίον του καί εἶπαν: «Ἐμεῖς εὐνουχιστήκαμε γιά τή Βασιλεία τῶν Οὐρανῶν καί αὐτός μᾶς ἀφόρισε; Πᾶμε νά παραπονεθοῦμε στόν ἀρχιεπίσκοπο τῶν Ἱεροσολύμων». Πῆγαν, λοιπόν, καί τοῦ τά ἀνέφεραν ὅλα.

Καί τούς εἶπε ὁ ἀρχιεπίσκοπος: «Κι ἐγώ σᾶς ἀφορίζω». Στενοχωρημένοι γι᾽ αὐτό ἔφυγαν στήν Ἀντιόχεια, στόν ἀρχιεπίσκοπο, καί τοῦ εἶπαν τήν ὑπόθεσή τους. Ἀλλά κι ἐκεῖνος τούς ἀφόρισε. Εἶπαν τότε μεταξύ τους: «Ἄς πᾶμε στή Ρώμη, στόν Πάπα[105] κι ἐκεῖνος θά μᾶς ὑπερασπιστεῖ ἔναντι ὅλων αὐτῶν».

Πῆγαν, λοιπόν, στόν μεγάλο ἀρχιεπίσκοπο τῆς Ρώμης καί τοῦ ἀνήγγειλαν ὅσα τούς ἔκαναν οἱ ἀρχιεπίσκοποι, λέγοντας: «Ἤρθαμε καί σέ σένα, γιατί εἶσαι ἡ κεφαλή ὅλων». Ἀλλά καί αὐτός τούς εἶπε: «Κι ἐγώ σᾶς ἀφορίζω καί νά εἶστε ἀφορισμένοι». Σαστισμένοι μεταξύ τους εἶπαν: «Ὁ ἕνας χαρίζεται στόν ἄλλο, γιατί γνωρίζονται μεταξύ τους καθώς συναντιοῦνται ὅταν γίνεται σύνοδος. Ἀλλά ἄς πᾶμε

ἅγιον τοῦ Θεοῦ Ἐπιφάνιον, τὸν ἐπίσκοπον Κύπρου, ὅτι προφήτης ἐστὶ καὶ οὐ λαμβάνει πρόσωπον ἀνθρώπου.

Ὡς δὲ ἤγγισαν τῇ πόλει αὐτοῦ, ἀπεκαλύφθη αὐτῷ περὶ αὐτῶν. Καὶ πέμψας εἰς ἀπάντησιν αὐτῶν εἶπε· Μηδὲ εἰς τὴν πόλιν ταύτην εἰσελθέτωσαν. Τότε ἐν ἑαυτοῖς γενόμενοι εἶπον· Ἐπ' ἀληθείας, ἡμεῖς ἐσφάλημεν. Ἔστω ἐκεῖνοι ἀδίκως ἡμᾶς ἐχώρισαν, μὴ καὶ οὗτος ὁ προφήτης; ἰδοὺ ὁ Θεὸς ἀπεκάλυψεν αὐτῷ τὰ περὶ ἡμῶν. Καὶ κατέγνωσαν ἑαυτῶν σφόδρα περὶ τοῦ πράγματος οὗ ἐποίησαν.

Τότε ἰδὼν ὁ καρδιογνώστης Θεὸς ὅτι ἐν ἀληθείᾳ κατέγνωσαν ἑαυτῶν, ἐπληροφόρησεν Ἐπιφάνιον τὸν ἐπίσκοπον Κύπρου, καὶ ἀφ' ἑαυτοῦ πέμψας ἤνεγκεν αὐτούς. Καὶ παρακαλέσας ἐδέξατο εἰς κοινωνίαν. Καὶ ἔγραψε τῷ ἀρχιεπισκόπῳ Ἀλεξανδρείας· Δέξαι τὰ τέκνα σου· μετενόησαν γὰρ ἐν ἀληθείᾳ.

224. Εἶπεν οὖν ὁ Γέρων· Τοῦτό ἐστιν ἡ θεραπεία τοῦ ἀνθρώπου καὶ τοῦτο θέλει ὁ Θεός, ἵνα ὁ ἄνθρωπος βάλῃ τὸ σφάλμα αὐτοῦ ἐπάνω ἑαυτοῦ ἐνώπιον τοῦ Θεοῦ.

225. Εἶπε Γέρων· Θέλω διδαχθῆναι ἢ διδάξαι.

226. Εἶπε Γέρων· Ἡ εὐλάβεια μετὰ ταπεινοφροσύνης πανταχοῦ καλόν ἐστιν. Ἔστι γάρ τις χαριεντιζόμενος καὶ

106. Βλ. Μ. Γερ. τ. Α' σελ. 447.

107. Δέν προσωποληπτεῖ: δέν χαρίζεται σέ ἀνθρώπους, δέν κάνει χατίρια.

στόν ἅγιο τοῦ Θεοῦ, τόν Ἐπιφάνιο, τόν ἐπίσκοπο Κύπρου[106], γιατί εἶναι προφήτης καί δέν προσωποληπτεῖ[107]».

Καί μόλις πλησίασαν τήν πόλη του, τοῦ ἔγινε ἀποκάλυψη σχετικά μ' αὐτούς. Ἔστειλε ἀνθρώπους του καί τούς παρήγγειλε: «Οὔτε καί στήν πόλη αὐτή νά μποῦν». Τότε συνῆλθαν καί εἶπαν: «Στ' ἀλήθεια ἐμεῖς φταίξαμε. Κι ἄς ποῦμε πώς ἐκεῖνοι μᾶς ἀδίκησαν καί μᾶς ἀφόρισαν, ἀλλά αὐτός ἐδῶ ὁ προφήτης; Καί νά ὁ Θεός τοῦ φανέρωσε τήν ὑπόθεσή μας». Καί κατέκριναν πολύ τόν ἑαυτό τους γι' αὐτό πού ἔκαναν.

Καί ὅταν εἶδε ὁ καρδιογνώστης Θεός ὅτι στ' ἀλήθεια καταδίκασαν τούς ἑαυτούς των, ἔδωσε πληροφορία στόν Ἐπιφάνιο, τόν ἐπίσκοπο Κύπρου καί ἀπό μόνος του ἔστειλε καί τούς κάλεσε. Καί ἀφοῦ τούς παρηγόρησε, τούς δέχθηκε σέ ἐπικοινωνία. Ἔγραψε καί στόν ἀρχιεπίσκοπο τῆς Ἀλεξανδρείας: «Δέξου τά τέκνα σου, γιατί πραγματικά μετάνιωσαν».

224. Εἶπε λοιπόν ὁ Γέροντας: «Αὐτό εἶναι πού θεραπεύει τόν ἄνθρωπο καί αὐτό θέλει ὁ Θεός, νά ἀναλάβει δηλαδή ὁ ἄνθρωπος τήν εὐθύνη τῶν σφαλμάτων του ἐνώπιον τοῦ Θεοῦ».

225. Εἶπε κάποιος Γέροντας: «Προτιμῶ νά διδαχθῶ παρά νά διδάξω».

226. Εἶπε Γέροντας: «Ἡ εὐλάβεια[108], ὅταν συνοδεύεται ἀπό ταπεινοφροσύνη, κάνει καλό σέ ὅλες τίς περιπτώσεις. Ὑπάρχει π.χ. κάποιος πού ἀστειεύεται καί νομίζει ὅτι γίνε-

108. Ἡ εὐλάβεια μέ τήν ἔννοια τῆς προσεκτικῆς ζωῆς, τῆς αἰδοῦς, τοῦ φόβου τοῦ Θεοῦ.

δοκῶν ἔχειν χάριν. Ἐὰν δὲ ἐπὶ πολὺ τοῦτο ποιῇ, μέμφεται, ὁ δὲ εὐλαβὴς ἀσφαλιζόμενος ἑαυτὸν ἐν ταπεινοφροσύνῃ πάντοτε ἔχει τιμήν.

227. Εἶπε πάλιν ὅτι ἡ ταπείνωσις ἰσχύει ὑπὲρ πᾶσαν δυναστείαν. Διηγήσατο γάρ τις τῶν Πατέρων ὅτι δύο ἐπίσκοποι ἦσαν ἐγγύτεροι ἀλλήλων καὶ ἔσχον ποτὲ ὀλιγωρίαν πρὸς ἀλλήλους. Ἦν δὲ ὁ εἷς πλούσιος καὶ δυνάστης, ὁ δὲ ἄλλος ταπεινός.

Καὶ ἐζήτει ὁ δυνάστης κακοποιῆσαι τῷ ἄλλῳ. Καὶ ἤκουσεν ὁ ἄλλος καὶ ἔλεγε τῷ κλήρῳ αὐτοῦ εἰδὼς ὃ μέλλει ποιεῖν· Ἔχομεν νικῆσαι χάριτι Θεοῦ. Καὶ λέγουσιν αὐτῷ· Δέσποτα, τίς δύναται αὐτὸν νικῆσαι; Καὶ ἔλεγε· Μείνατε, τέκνα, καὶ ἔχετε ἰδεῖν τὸ ἔλεος τοῦ Θεοῦ. Ἐπιτηρεῖ οὖν καί, ὅτε εἶχεν ἐκεῖνος πανήγυριν ἁγίων μαρτύρων, λαμβάνει τὸν κλῆρον αὐτοῦ καὶ λέγει αὐτοῖς· Ἀκολουθήσατέ μοι καί, εἴ τι βλέπετέ με ποιοῦντα, ποιήσατε καὶ ὑμεῖς, καὶ ἔχομεν νικῆσαι αὐτόν. Οἱ δὲ ἔλεγον· Ἆρα τί ἔχει ποιῆσαι; Καὶ ἐρχομένου πρὸς αὐτὸν καὶ παρερχομένης τῆς λιτῆς καὶ τῆς πόλεως συνειλεγμένης πίπτει εἰς τοὺς πόδας αὐτοῦ μετὰ τοῦ κλήρου αὐτοῦ λέγων· Συγχώρησον ἡμῖν, δέσποτα, δοῦλοί σού ἐσμεν. Ἐκεῖνος δὲ ἐκπλαγεὶς εἰς ὃ ἐποίησε καὶ κατανυγείς, τοῦ Θεοῦ μεταβαλόντος τὴν καρδίαν αὐτοῦ, ἐπιλαμβάνεται τῶν ποδῶν αὐτοῦ λέγων· Σὺ εἶ δεσπότης καὶ πατήρ. Καὶ ἀπὸ τότε γέγονε μεταξὺ αὐτῶν μεγίστη ἀγάπη.

Καὶ ἔλεγε τῷ κλήρῳ αὐτοῦ ὁ ταπεινός· Οὐκ ἔλεγον ὑμῖν, τέκνα, ὅτι νικῆσαι ἔχομεν διὰ τῆς χάριτος τοῦ Χριστοῦ; Καὶ

ται εὐχάριστος. Ἄν ὅμως αὐτό τό κάνει γιά πολύ καιρό, τόν κατηγοροῦν, ἐνῶ τόν εὐλαβή πού ἀσφαλίζει τόν ἑαυτό του μέ τήν ταπεινοφροσύνη, πάντοτε τόν τιμοῦν».

227. Εἶπε ἄλλοτε ὅτι ἡ ταπείνωση εἶναι ἰσχυρότερη ἀπό κάθε καταπιεστική ἐξουσία. Διηγήθηκε κάποιος ἀπ' τούς Πατέρες ὅτι ὑπῆρχαν δύο ἐπίσκοποι πού γειτόνευαν μεταξύ τους ἀλλά κάποτε λόγω κάποιας διαφορᾶς χάλασε ἡ καλή τους σχέση. Ὁ ἕνας ἦταν πλούσιος καί καταπιεστικός, ἐνῶ ὁ ἄλλος ταπεινός.

Καί ζητοῦσε ἀφορμή ὁ καταπιεστικός νά κάνει κακό στόν ἄλλο. Τ' ἄκουσε ὁ ἄλλος κι ἔλεγε στόν κλῆρο του γνωρίζοντας καλά τί ἐπρόκειτο νά συμβεῖ: «Πρόκειται νά νικήσουμε μέ τή χάρη τοῦ Θεοῦ». Καί τοῦ εἶπαν: «Δέσποτα, ποιός μπορεῖ νά τόν νικήσει αὐτόν;» Καί τούς ἀπαντοῦσε: «Κάνετε ὑπομονή, τέκνα μου, καί θά δεῖτε τήν εὐσπλαχνία τοῦ Θεοῦ».

Περίμενε λοιπόν καί ὅταν εἶχε ἐκεῖνος πανήγυρη τῶν ἁγίων μαρτύρων, παίρνει τόν κλῆρο του καί τούς λέει: «Ἀκολουθῆστε με καί ὁτιδήποτε βλέπετε νά κάνω, κάνετέ το κι ἐσεῖς καί θά τόν νικήσουμε». Ἔλεγαν ὅμως ἐκεῖνοι: «Ἄραγε τί πρόκειται νά κάνει;» Καί ὅταν πῆγε ὁ ταπεινός πρός αὐτόν περνοῦσε ἡ λιτανεία καί ἐνῶ ἦταν ὁ λαός τῆς πόλεως συγκεντρωμένος, πέφτει στά πόδια του μέ ὅλο τόν κλῆρο λέγοντας: «Συγχώρησέ μας, δέσποτα, εἴμαστε δοῦλοι σου». Κι ἐκεῖνος αἰφνιδιασμένος γι' αὐτό πού τοῦ ἔκανε καί συγκινημένος –γιατί ὁ Θεός τοῦ ἄλλαξε τήν καρδιά– πέφτει στά πόδια τοῦ ἄλλου λέγοντάς του: «Σύ εἶσαι ὁ κύριός μου καί ὁ πατέρας μου». Καί ἀπό τότε εἶχαν μεταξύ τους μεγάλη ἀγάπη.

Καί ἔλεγε στόν κλῆρο του ὁ ταπεινός ἐπίσκοπος: «Δέν σᾶς ἔλεγα, παιδιά μου, ὅτι πρόκειται νά νικήσουμε μέ τή

ὑμεῖς, ὅταν ἔχητε ἔχθραν πρός τινας, τοῦτο ποιεῖτε καὶ νικᾶτε διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

228. Εἶπε Γέρων· Εἰ ταπεινοφροσύνης ἐπεμελούμεθα, οὐκ ἂν ἐδεήθημεν παιδείας· πάντα γὰρ τὰ δεινὰ διὰ τὴν ἔπαρσιν ἡμῶν συμβαίνει. Εἰ γὰρ τῷ ἀποστόλῳ, ἵνα μὴ ἐπαρθῇ, ἄγγελος σατᾶν ἐδόθη, ἵνα αὐτὸν κολαφίζῃ, πόσῳ μᾶλλον ἡμῖν τοῖς ἐπηρμένοις αὐτὸς ὁ σατανᾶς δοθήσεται καταπατῶν ἡμᾶς, ἕως οὗ ταπεινωθῶμεν.

229. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ἐστιν ἡ προκοπὴ τοῦ μοναχοῦ; Καὶ λέγει ὁ Γέρων· Ἡ ταπείνωσίς ἐστιν ἡ εἰς προκοπὴν ἄγουσα τὸν μοναχόν.

230. Εἶπε Γέρων ὅτι· Ὁ στέφανος τοῦ μοναχοῦ ἐστιν ἡ ταπείνωσις. Ἐὰν μέμψηται μοναχὸς ἑαυτὸν ἔν τινι πράγματι μετὰ ταπεινώσεως πολλῆς καὶ ἀγάπης πρὸς τὸν Θεόν, ὅπου ἐὰν καθεσθῇ, ἕξει ἀνάπαυσιν διὰ τῆς χάριτος τοῦ Χριστοῦ.

231. Γέροντί τινι ἀπὸ πολλῆς ταπεινώσεως, ἧς εἶχεν, ἐχαρίσατο ὁ Θεὸς τὸ διορατικόν. Γνοὺς δὲ ὁ Γέρων ὅτε ἔλθωσί τινες εἰς ἐπίσκεψιν αὐτοῦ τὰ ἐν ταῖς διανοίαις αὐτῶν λαλούμενα, ἐδεήθη τοῦ Θεοῦ, ἵνα ἀρθῇ ἀπ' αὐτοῦ. Καὶ ἀπελθὼν πρὸς ἄλλον Γέροντα μέγαν παρεκάλεσεν αὐτὸν λέγων· Συγκακοπάθησόν μοι, ἵνα ἀρθῇ τὸ πρᾶγμα ἀπ' ἐμοῦ. Καὶ καθίσαντες ἕκαστος ἐν τῷ κελλίῳ αὐτοῦ ἐδεήθησαν τοῦ

109. Β' Κορ. 12, 7.

χάρη τοῦ Χριστοῦ; Κι ἐσεῖς, ὅταν ἔχετε ἔχθρα μέ κάποιους, κάντε αὐτό καί θά νικήσετε μέ τή χάρη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ».

228. Εἶπε κάποιος Γέροντας: «Ἐάν φροντίζαμε γιά τήν ταπεινοφροσύνη, δέν θά χρειαζόμασταν παιδαγωγικές τιμωρίες· ὅλα τά δεινά μᾶς βρίσκουν, ἐπειδή ἔχουμε ὑπερηφάνεια. Γιατί, ἄν στόν ἀπόστολο γιά νά μήν ὑπερηφανευθεῖ δόθηκε ὑπηρέτης τοῦ σατανᾶ γιά νά τόν ταλαιπωρεῖ[109], πόσο περισσότερο θά δοθεῖ σ' ἐμᾶς τούς φαντασμένους ὁ ἴδιος ὁ σατανᾶς γιά νά μᾶς ποδοπατεῖ, ὥσπου νά ταπεινωθοῦμε;»

229. Ἀδελφός ρώτησε ἕναν Γέροντα: «Ποιά εἶναι ἡ προκοπή τοῦ μοναχοῦ;» Καί ἀπαντᾶ ὁ Γέροντας: «Ἡ ταπείνωση εἶναι πού ὁδηγεῖ τόν μοναχό σέ προκοπή».

230. Εἶπε Γέροντας ὅτι τό στεφάνι τοῦ μοναχοῦ εἶναι ἡ ταπείνωση. Ἐάν κατηγορήσει ὁ μοναχός τόν ἑαυτό του σέ κάποια ὑπόθεση μέ πολλή ταπείνωση καί ἀγάπη στόν Θεό, ὅπου καί ἄν μονάσει, θά ἔχει μέ τή χάρη τοῦ Θεοῦ ἀνάπαυση.

231. Σέ κάποιο Γέροντα, ἐπειδή εἶχε πολλή ταπείνωση, τοῦ ἔδωσε ὁ Θεός τό χάρισμα νά διαβάζει τίς σκέψεις τῶν ἄλλων. Ἐπειδή λοιπόν γνώριζε ὁ Γέροντας ὅσα εἶχαν στό μυαλό τους, ὅταν πήγαιναν κάποιοι νά τόν ἐπισκεφθοῦν, παρακάλεσε τόν Θεό νά τοῦ τό πάρει. Πῆγε μάλιστα καί σέ κάποιον ἄλλον μεγάλο Γέροντα καί τόν παρακάλεσε λέγοντας: «Ἀγωνίσου μαζί μου, γιά νά μοῦ ἀφαιρεθεῖ τό χάρισμα». Καί ἔμειναν ὁ καθένας χωριστά στό κελί του καί παρακάλεσαν τόν Θεό γιά τό θέμα αὐτό. Ἦρθε λοιπόν φωνή στόν

Θεοῦ περὶ τοῦ πράγματος. Ἦλθεν οὖν φωνὴ τῷ Γέροντι λέγουσα· Ἰδοὺ αἴρω αὐτὸ ἀπὸ σοῦ, ἀλλ᾽ ὅταν θέλῃς, ἔχεις αὐτό.

232. Ἐγένετό τις φιλάδελφος καὶ ἀγαπητὸς σφόδρα μὴ λογιζόμενος τὸ κακόν ποτε. Ἀδελφὸς δέ τις σκεύη κλέψας ἤνεγκε καὶ παρέθετο αὐτῷ, μὴ εἰδότος αὐτοῦ τὸ πρᾶγμα. Μετὰ δὲ ἡμέρας ἐγνωρίσθησαν τὰ σκεύη, καὶ κρατηθεὶς ὁ Γέρων ἔβαλε μετάνοιαν λέγων· Συγχωρήσατέ μοι, μετανοῶ.

Μετὰ οὖν ὀλίγας ἡμέρας ἦλθεν ὁ ἀδελφὸς ὁ κλέψας τὰ σκεύη καὶ ἐποίησε διάλογον μετὰ τοῦ Γέροντος, ᾧ παρέθετο τὰ σκεύη, καὶ ἔλεγε τῷ Γέροντι· Σὺ ἔκλεψας τὰ σκεύη. Καὶ ἔβαλεν ὁ Γέρων μετάνοιαν τῷ ἀδελφῷ λέγων· Συγχώρησόν μοι. Οὕτω δὲ καὶ εἴ ποτε ἔπταισέ τις τῶν ἀδελφῶν καὶ ἠρνεῖτο, ἔβαλλε μετάνοιαν λέγων· Ἐγὼ ἐποίησα τὸ σφάλμα, συγχωρήσατέ μοι. Τοσοῦτον ἦν εὐλαβὴς καὶ ταπεινόφρων μὴ ἐπιπλήξας ποτέ τινα κἂν ἕως λόγου ὁ ὅσιος.

233. Ἀναχωρητής τις γέγονεν ἐπίσκοπος. Οὗτος δι᾽ εὐλάβειαν καὶ ἡσυχίαν οὐδενὶ ἐπετίμα, μακροθύμως φέρων τὰ ἑκάστου πταίσματα. Ὁ δὲ τούτου οἰκονόμος οὐ κατὰ λόγον ἐδιοίκει τὰ τῆς ἐκκλησίας πράγματα. Καὶ λέγουσί τινες τῷ ἐπισκόπῳ· Διατί οὐκ ἐπιτιμᾷς τῷ οἰκονόμῳ οὕτω καταφρονοῦντι; Παραπέμπεται οὖν ὁ ἐπίσκοπος τὴν ἐπιτίμησιν.

Τῇ δὲ ἑξῆς ἀνέρχονται πρὸς αὐτὸν οἱ κατὰ τοῦ οἰκονόμου παροξύναντες αὐτόν, καὶ μαθὼν ὁ ἐπίσκοπος ἐκρύβη ἐν

Γέροντα πού ἔλεγε: «Νά, σοῦ τό παίρνω, ἀλλά πάλι, ὅταν θέλεις, θά τό ἔχεις».

232. Ὑπῆρξε κάποτε κάποιος μοναχός πού ἀγαποῦσε πολύ τούς ἀδελφούς ἀλλά καί ὁ ἴδιος ἦταν ἀγαπητός καί δέν ἔβαζε ποτέ κακό στό μυαλό του. Κάποιος ἀδελφός λοιπόν ἔκλεψε κάποια σκεύη καί τά πῆγε στό κελί τοῦ παραπάνω ἀδελφοῦ, χωρίς νά ἔχει κάν ἰδέα ὁ ἀδελφός ἀπ᾽ τήν ὑπόθεση. Ὕστερα ἀπό κάποιες μέρες βγῆκαν στό φανερό τά σκεύη καί συνέλαβαν τόν Γέροντα, ὁ ὁποῖος ἔβαλε μετάνοια λέγοντας: «Συγχωρῆστε με, μετανοῶ».

Πέρασαν λίγες μέρες κι ἦλθε πάλι ὁ ἀδελφός πού ἔκλεψε τά σκεύη καί ἔπιασε κουβέντα μέ τόν Γέροντα στοῦ ὁποίου τό κελί εἶχε κρύψει τά σκεύη καί ἔλεγε στόν Γέροντα: «Σύ ἔκλεψες τά σκεύη». Κι ἔβαλε μετάνοια ὁ Γέροντας στόν ἀδελφό λέγοντας: «Συγχώρησέ με».

Ἔτσι κι ἄν κάποτε ἔφταιγε σέ κάτι κάποιος ἀπ᾽ τούς ἀδελφούς καί τό ἀρνιόταν, ἔβαζε αὐτός μετάνοια λέγοντας: «Ἐγώ ἔκανα τό σφάλμα, συγχωρῆστε με». Τόσο πολύ εὐλαβής καί ταπεινόφρων ἦταν, ὥστε δέν πλήγωσε ποτέ κανένα οὔτε καί μέ ἕνα λόγο, ὁ ὅσιος.

233. Κάποιος ἀναχωρητής ἔγινε ἐπίσκοπος. Ἀπό εὐλάβεια, λοιπόν, καί ἀπό ἀγάπη τῆς ἡσυχίας κανέναν δέν μάλωνε ὑπομένοντας μακρόθυμα τοῦ καθενός τά σφάλματα. Ὁ οἰκονόμος του ὅμως δέν φρόντιζε ὅπως ἔπρεπε τά οἰκονομικά τῆς ἐκκλησίας. Καί εἶπαν μερικοί στόν ἐπίσκοπο: «Γιατί δέν μαλώνεις τόν οἰκονόμο πού δέν κάνει καθόλου καλά τή δουλειά του;» Ὁ ἐπίσκοπος ὅμως ἀπέφυγε νά τόν μαλώσει.

Τήν ἐπομένη πῆγαν πάλι αὐτοί πού τόν ξεσήκωσαν ἐναντίον τοῦ οἰκονόμου. Μόλις τό ἔμαθε ὁ ἐπίσκοπος, κρύ-

τινι τόπῳ. Ἀνελθόντες δὲ ἐκεῖνοι οὐχ εὗρον τὸν ἐπίσκοπον. Πολλὰ δὲ ζητήσαντες καὶ εὑρόντες λέγουσιν αὐτῷ· Διατί ἐκρύϐης ἀφ᾽ ἡμῶν; Ὁ δὲ ἔφη ὅτι· Ἃ κατόρθωσα ἐν ἑξήκοντα ἔτεσι δεόμενος τοῦ Θεοῦ, ταῦτα ὑμεῖς εἰς δύο ἡμέρας θέλετε συλῆσαι.

234. Εἶπε Γέρων· Ἐὰν γένηται ἀναμέσον σοῦ καὶ ἄλλου λυπηρὸς λόγος καὶ ἀρνήσηται τὸν λόγον, μὴ ἐπιξέσῃς μετ᾽ αὐτοῦ λέγων ὅτι εἶπες, ἐπεὶ ἐκτρέπεται καὶ λέγει· Ναί, εἶπα· καὶ τί; Καὶ γίνεται μέγας παροξυσμός.

Καὶ διηγήσατο οὕτως, ὅτι δύο Γέροντες εἰς τὰ Κελλία ἐλάλησαν λόγον τῆς Γραφῆς. Καὶ ὁ εἷς ἐσφάλη εἰς λόγον καὶ ὁ ἄλλος εἶπε τῷ πρεσβυτέρῳ. Καὶ ἀναστὰς ὁ πρεσβύτερος ἀπῆλθε πρὸς τὸν Γέροντα καὶ εἶπεν αὐτῷ· Σὺ εἶπας τὸν λόγον τοῦτον; Ὁ δὲ εἶπε· Ναί. Καὶ εἶπεν αὐτῷ· Ἐὰν ἔλθῃς εἰς τὴν ἐκκλησίαν, ἄρνησαι τὸν λόγον τοῦτον.

Ἐλθόντος δὲ αὐτοῦ εἰς τὴν ἐκκλησίαν ἠρώτησεν αὐτὸν ὁ πρεσβύτερος λέγων· Σὺ εἶπας τὸν λόγον τοῦτον; Ὁ δὲ εἶπεν· Οὐχί. Καὶ λέγει τῷ ἄλλῳ· Σὺ ἤκουσας τὸν λόγον τοῦτον; Καὶ ἠρνήσατο καὶ ἔϐαλε μετάνοιαν. Καὶ γέγονεν εἰρήνη μεγάλη.

235. Ἀδελφός ποτε ἐκάλεσεν ἀδελφὸν ἐν Σκήτει λέγων· Δεῦρο εἰς τὸ κελλίον, ἵνα νίψω τοὺς πόδας σου. Ὁ δὲ οὐκ ἀπῆλθεν. Ὕστερον δὲ ἦλθεν εἰς τὸ κελλίον αὐτοῦ καὶ ϐαλὼν μετάνοιαν παρεκάλει αὐτὸν λέγων· Δεῦρο εἰς τὸ κελλίον μου. Καὶ ἀναστὰς ἀπῆλθε σὺν αὐτῷ. Καὶ εἶπεν αὐτῷ ὁ ἀδελφός· Πῶς παρακληθεὶς ὑπ᾽ ἐμοῦ πολλάκις οὐκ ἦλθες; Ὁ δὲ εἶπεν· Ὅταν λόγῳ μόνῳ ἔλεγες, οὐκ ἐπληροφορούμην ἐλθεῖν,

φτηκε σέ κάποιο τόπο. Πῆγαν, λοιπόν, ἐκεῖνοι καί δέν ϐρῆκαν τόν ἐπίσκοπο. Ἀφοῦ ἔψαξαν πολύ, τόν ϐρῆκαν καί τόν ρώτησαν: «Γιατί κρύφτηκες ἀπό μᾶς;» Κι ἐκεῖνος τούς εἶπε: «Ὅσα κατόρθωσα ἑξήντα χρόνια παρακαλώντας τόν Θεό, αὐτά θέλετε νά μοῦ τ᾽ ἁρπάξετε μέσα σέ δύο ἡμέρες».

234. Εἶπε κάποιος Γέροντας: «Ἐάν ἀνάμεσα σέ σένα καί σέ κάποιον ἄλλον δημιουργηθεῖ παρεξήγηση καί ἀρνηθεῖ ἐκεῖνος ὅτι εἶπε κάποια λόγια, μήν τόν ἐρεθίζεις ἐπιμένοντας ὅτι "εἶπες", γιατί θά ἐκτραπεῖ καί θά πεῖ: "Ναί, εἶπα· καί τί μ᾽ αὐτό;" Καί θά γίνει μεγάλη σύγχυση».

Καί πάνω σ᾽ αὐτό διηγήθηκε πώς δύο Γέροντες στά Κελλία ἀναφέρθηκαν σέ ρητό τῆς Γραφῆς. Καί ὁ ἕνας μιλώντας εἶπε λόγο πού δέν ἔπρεπε καί ὁ ἄλλος τό ἀνέφερε στόν ἱερέα.

Σηκώθηκε ὁ ἱερέας, πῆγε στόν Γέροντα καί τόν ρώτησε: «Ἐσύ εἶπες αὐτόν τόν λόγο;» Κι ἐκεῖνος εἶπε: «Ναί». Καί τοῦ παρήγγειλε ὁ ἱερέας: «Ὅταν θά ἔρθεις στήν ἐκκλησία, νά ἀρνηθεῖς ὅτι τόν εἶπες».

Ὅταν λοιπόν πῆγε στήν ἐκκλησία, τόν ρώτησε ὁ ἱερέας: «Ἐσύ εἶπες αὐτόν τόν λόγο;» «Ὄχι» ἀπάντησε. Λέει καί στόν ἄλλο: «Ἐσύ ἄκουσες αὐτόν τόν λόγο;» Ἐκεῖνος ἀρνήθηκε καί ἔϐαλε μετάνοια καί εἰρήνευσαν πολύ.

235. Ἀδελφός κάλεσε ἕναν ἀδελφό στή Σκήτη λέγοντάς του: «Ἔλα στό κελί μου νά σέ περιποιηθῶ». Ἀλλ᾽ ἐκεῖνος δέν πῆγε. Ἀργότερα πῆγε ὁ ἴδιος στό κελί του καί ἀφοῦ τοῦ ᾽ϐαλε μετάνοια, τόν παρακαλοῦσε λέγοντάς του: «Ἔλα στό κελί μου».

Σηκώθηκε τότε καί πῆγε μαζί του. Καί τοῦ εἶπε ὁ ἀδελφός: «Πῶς ἐνῶ πολλές φορές σέ παρακάλεσα, δέν ἦρθες;» Κι ἐκεῖνος τοῦ ἀπάντησε: «Ὅταν μόνο μέ λόγια μοῦ ἔλεγες, δέν

ὅταν δὲ τῶν μοναχῶν τὸ ἔργον εἶδον, τουτέστιν τὴν μετάνοιαν, κἀγὼ χαίρων ἦλθον μετὰ σοῦ.

236. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω ὅτι ἡ κενοδοξία θλίβει με; Λέγει αὐτῷ ὁ Γέρων· Καλῶς ποιεῖς· σὺ γὰρ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν. Καὶ ἐπὶ τούτῳ κατανυγεὶς ὁ ἀδελφὸς ἔβαλε μετάνοιαν λέγων· Συγχώρησόν μοι, ὅτι οὐδὲν τοιοῦτον ἐποίησα. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ ὁ ποιήσας αὐτὰ ἐν ταπεινοφροσύνῃ ἦλθε, σὺ ὁ πηλὸς διατί κενοδοξεῖς; τί γάρ ἐστι τὸ ἔργον σου, ἄθλιε;

237. Ἔλεγον περί τινων ἀδελφῶν ὅτι καθεζομένων αὐτῶν, ἦλθεν ἀναμέσον αὐτῶν μικροψυχία. Ἀπελθὼν ὁ εἷς εἰς τὴν κέλλαν αὐτοῦ οὐκ ἠδύνατο καθίσαι. Καὶ ἐλθὼν ἔβαλε μετάνοιαν τῷ ἑτέρῳ. Καὶ λέγει αὐτῷ ἐκεῖνος· Συγχώρησόν μοι, ὅτι οὐδὲ εἰς νοῦν μου ἦλθεν ὅτι ἐμικροψυχήσαμεν. Ἀπελθὼν οὖν ὁ ἀββᾶς Ἀβραὰμ εἶπε τῷ ἀββᾷ Ποιμένι τὰ περὶ αὐτῶν. Καὶ εἶπεν ὁ Γέρων· Ὁ εἷς ἐξ αὐτῶν εὗρε τὴν ὁδόν, ὅτι ἔργῳ τὴν ταπείνωσιν ἔδειξεν.

238. Εἶπε Γέρων· Οὐχ ὁ ἑαυτὸν εὐτελίζων οὗτός ἐστι ταπεινόφρων, ἀλλ' ὁ μετὰ χαρᾶς τὰς παρὰ τοῦ πλησίον ὕβρεις καὶ ἀτιμίας καταδεχόμενος.

239. Ἀδελφὸς ἦν εἰς τὰ Κελλία. Καὶ εἰς τοιαύτην ταπείνωσιν ἦλθεν, ὥστε τοῦτο εὔχεσθαι πάντοτε, ὅτι· Κύριε, πέμψον μοι κεραυνόν, ὅτι ὑγιαίνων παρακούω σου.

240. Ἀδελφὸς ἀπετάξατο τῷ κόσμῳ σὺν τῷ ἰδίῳ πατρὶ κατὰ σάρκα. Ἔμειναν δὲ ἀμφότεροι εἰς ἓν μοναστήριον. Με-

εἶχα πληροφορία νά ἔρθω, μόλις ὅμως εἶδα τῶν μοναχῶν τό ἔργο, δηλαδή τή μετάνοια, τότε μετά χαρᾶς ἦρθα μαζί σου».

236. Κάποιος ρώτησε ἕναν Γέροντα: «Τί νά κάνω πού ἡ κενοδοξία μου μέ θλίβει;» Καί τοῦ ἀπαντᾶ ὁ Γέροντας: «Καλά κάνεις, μιά καί σύ ἔκανες τόν οὐρανό καί τή γῆ». Καί ἀπ' αὐτό κατανύχτηκε ὁ ἀδελφός καί ἔβαλε μετάνοια λέγοντας: «Συγχώρεσέ με, γιατί τίποτε τέτοιο δέν ἔκανα». Καί τοῦ εἶπε ὁ Γέροντας: «Ἄν αὐτός πού τά ἐδημιούργησε αὐτά, ἦρθε μέσα σέ ταπεινοφροσύνη, ἐσύ πού εἶσαι πηλός, γιατί κενοδοξεῖς; Ποιό εἶναι, λοιπόν, τό ἔργο σου, δυστυχισμένε;»

237. Ἔλεγαν γιά κάποιους ἀδελφούς ὅτι ἐκεῖ πού κάθονταν δημιουργήθηκε κάποια παρεξήγηση. Κι ὅταν ἀποσύρθηκε ὁ ἕνας στό κελί του, δέν μποροῦσε νά ἡσυχάσει. Πῆγε, λοιπόν, κι ἔβαλε μετάνοια στόν ἄλλο. Καί τοῦ λέει ἐκεῖνος: «Συγχώρεσέ με, διότι οὔτε μοῦ πέρασε ἀπό τόν νοῦ ὅτι ψυχρανθήκαμε». Πῆγε, λοιπόν, ὁ ἀββᾶς Ἀβραάμ στόν ἀββᾶ Ποιμένα καί τοῦ εἶπε τά σχετικά μ' αὐτούς. Καί λέει ὁ Γέροντας: «Ὁ ἕνας ἀπ' αὐτούς βρῆκε τόν δρόμο, διότι ἔμπρακτα ἔδειξε τήν ταπείνωση».

238. Εἶπε Γέροντας: «Δέν εἶναι ταπεινός στό φρόνημα ἐκεῖνος πού ταπεινολογεῖ, ἀλλ' ἐκεῖνος πού δέχεται μέ χαρά τίς βρισιές καί ἀτιμίες ἀπό τόν πλησίον του».

239. Ὑπῆρχε ἕνας ἀδελφός στά Κελλία πού εἶχε φθάσει σέ τόσο μεγάλη ταπείνωση, ὥστε νά εὔχεται αὐτό πάντοτε: «Κύριε, στεῖλε μου κεραυνό, γιατί ἐνῶ ἔχω τήν ὑγεία μου, δέν ἀκούω καί δέν συμμορφώνομαι μ' αὐτά πού λές».

240. Κάποιος ἀδελφός ἐγκατέλειψε τόν κόσμο καί πῆγε νά μονάσει μαζί μέ τόν κατά σάρκα πατέρα του. Καί

τὰ οὖν χρόνον τινὰ ἤκουσεν ὁ ἀδελφὸς περὶ τοῦ ἰδίου πατρὸς ὅτι ἰάσατό τινα ἀσθενῆ ἀπὸ δαίμονος. Καὶ ἀπελθὼν ἀνήγγειλε μεγάλῳ Γέροντι ὡς λυπούμενος καὶ λέγων· Ἀββᾶ, ὁ πατήρ μου προέκοψε καὶ δαιμόνιον ἀπὸ ἀδελφοῦ ἀπήλασεν, ἐγὼ δὲ ἐν ἀμελείᾳ εἰμὶ καὶ οὐδεμία προκοπὴ ἐν ἐμοί.

Λέγει αὐτῷ ὁ Γέρων· Φύσει, τέκνον, οὐκ ἔστιν αὐτὸ προκοπή, τὸ ἐξενεγκεῖν δαίμονας ἢ ἀσθενοῦντας ἰάσασθαι. Ταῦτα οὐχ ὁ ἄνθρωπός ἐστιν ὁ ποιῶν, ἀλλ' ἡ δύναμις τοῦ Θεοῦ καὶ ἡ πίστις τοῦ προσερχομένου. Πλὴν ὅτι καὶ πολλοὶ τοῦτο μὴ νοήσαντες, εἰς ὑπερηφανίαν ἐκ τῶν ἰάσεων ἐλθόντες, ἀπώλοντο. Ἐγὼ δὲ λέγω ὅτι, ἐὰν ἄνθρωπος ἔλθῃ εἰς ταπείνωσιν ἀληθινήν, ἄλλη προκοπὴ μείζων ταύτης οὐκ ἔστιν οὐδέποτε πίπτουσα. Ὁ γὰρ ἅπαξ ταπεινῶν τὴν ἑαυτοῦ ψυχὴν κάτω, ποῦ λοιπὸν ἔχει πεσεῖν χαμαὶ βάλλων ἑαυτόν; Τὸ δὲ σημεῖον τοῦ τοιούτου τοῦτό ἐστιν, ἐὰν ἀτιμαζόμενος χαίρῃ.

241. Ἦλθέ ποτε ἀδελφὸς ἀπὸ Σκήτεως δόκιμος ἐν Θηβαΐδι καὶ ἔμεινεν εἰς κοινόβιον. Ἦσαν δὲ σχεδὸν εἰπεῖν πάντες οἱ τοῦ κοινοβίου ἄνδρες ἅγιοι τῶν λεγομένων Ταβεννησιωτῶν. Ὡς οὖν ἔμεινε μικρὰς ἡμέρας, λέγει τῷ ἀρχιμανδρίτῃ· Ποίησόν μοι εὐχήν, ἀββᾶ, καὶ ἀπόλυσόν με· οὐ γὰρ δύναμαι μεῖναι ὧδε. Λέγει αὐτῷ ὁ πατήρ· Διατί, τέκνον; Λέγει ὁ ἀδελφὸς ὅτι· Ὧδε κάματος οὐκ ἔστιν οὐδὲ μισθός· πάντες γὰρ οἱ Πατέρες ἀγωνισταί εἰσιν, ἐγὼ δὲ ἀνὴρ ἁμαρτωλός εἰμι καὶ

ἔμειναν κι οἱ δυό στό ἴδιο μοναστήρι. Μετά ἀπό κάποιο χρονικό διάστημα ἄκουσε ὁ ἀδελφός πώς ὁ κατά σάρκα πατέρας του γιάτρεψε κάποιον ἀσθενή πού ἔπασχε ἀπό δαίμονα. Σηκώθηκε, λοιπόν, καί πῆγε καί τό ἀνέφερε σέ κάποιο μεγάλο Γέροντα, γιατί ἦταν λυπημένος καί εἶπε: «Ἀββᾶ, ὁ πατέρας μου πρόκοψε καί ἔβγαλε δαιμόνιο ἀπό κάποιον ἀδελφό, ἐγώ ὅμως ζῶ μέ ἀμέλεια καί δέν ἔχω καμιά προκοπή».

Καί τοῦ ἀπάντησε ὁ Γέροντας: «Σίγουρα, παιδί μου, δέν εἶναι αὐτό προκοπή τό νά βγάλει κάποιος δαίμονες ἤ νά θεραπεύει ἀσθενεῖς. Αὐτά δέν εἶναι ὁ ἄνθρωπος πού τά κάνει, ἀλλ' ἡ δύναμη τοῦ Θεοῦ καί ἡ πίστη αὐτοῦ πού προσέρχεται. Νά 'χουμε ὑπόψιν μας ὅτι πολλοί, πού δέν τό κατάλαβαν αὐτό, χάθηκαν, γιατί ὑπερηφανεύτηκαν γιά τίς ἰάσεις πού ἔκαναν.

Κι ἐγώ λέω πώς, ἄν ὁ ἄνθρωπος φτάσει σέ πραγματική ταπείνωση, ἄλλη προκοπή μεγαλύτερη ἀπ' αὐτήν δέν ὑπάρχει, καί ποτέ δέν πέφτει. Γιατί αὐτός πού μιά γιά πάντα ταπεινώνει τήν ψυχή του ὥς τά πιό χαμηλά, ποῦ ἔχει νά πέσει, ἀφοῦ ἔριξε τόν ἑαυτό του κατά γῆς; Καί ἀπόδειξη σ' αὐτό εἶναι τοῦτο: ἄν χαίρεται, ὅταν τόν περιφρονοῦν».

241. Ἦρθε κάποτε ἕνας ἀδελφός δοκιμασμένος ἀπό τή Σκήτη στή Θηβαΐδα καί ἔμεινε σ' ἕνα κοινόβιο, ὅπου μποροῦμε νά ποῦμε ὅλοι σχεδόν οἱ ἄνδρες τοῦ κοινοβίου, ἀπό τούς λεγόμενους Ταβεννησιῶτες, ἦσαν ἅγιοι. Ἔμεινε, λοιπόν, λίγες ἡμέρες καί μετά λέει στόν ἀρχιμανδρίτη: «Ἀββᾶ, κάνε μου εὐχή καί ἄφησέ με νά φύγω, διότι δέν μπορῶ νά μείνω ἐδῶ». «Γιατί, παιδί μου;» ἐρωτᾶ ὁ Γέροντας. Καί ὁ ἀδελφός ἀπαντᾶ: «Ἐδῶ κόπος δέν ὑπάρχει κι ἑπομένως οὔτε καί μισθός, γιατί ὅλοι οἱ Πατέρες εἶναι ἀγωνιστές· ἐνῶ ἐγώ εἶμαι ἕνας ἁμαρτωλός ἄνθρωπος καί καλύτερα νά πάω,

ὑπάγω μᾶλλον ὅπου ὑβρισθῆναι εὑρίσκω καὶ ἐξουδενωθῆναι. Ταῦτα γάρ εἰσι τὰ σῴζοντα ἄνθρωπον ἁμαρτωλόν. Θαυμάσας οὖν ὁ ἡγούμενος καὶ μαθὼν ὅτι ἐργάτης ἐστίν, ἀπέλυσεν αὐτὸν εἰπών· Πορεύου, τέκνον, ἀνδρίζου καὶ κραταιούσθω ἡ καρδία σου καὶ ὑπόμεινον τὸν Κύριον.

242. Εἶπε Γέρων· Ἡ ταπείνωσις πολλάκις καὶ χωρὶς κόπους ἔσωσε πολλούς. Καὶ μαρτυρεῖ τοῦτο ὁ τελώνης καὶ ὁ ἄσωτος υἱός, ῥήματα μόνον μικρὰ εἰπόντες καὶ σωθέντες. Οἱ κόποι τοῦ ἀνθρώπου, ἐὰν μὴ ἔχωσι ταπείνωσιν, αὐτοὶ ἀπόλλουσιν αὐτόν· πολλοὶ γὰρ διὰ τῶν μεγάλων κόπων ὧν ποιοῦσιν εἰς ὑπερηφανίαν ἔρχονται, ὡς ὁ Φαρισαῖος.

243. Ἀδελφὸς παρέβαλε Γέροντι καὶ ἠρώτησεν αὐτόν· Πῶς ἔχεις, πάτερ; Καὶ ἀπεκρίθη ὁ Γέρων· Κακῶς. Λέγει αὐτῷ ὁ ἀδελφός· Διατί, ἀββᾶ; Λέγει ὁ Γέρων· Ἰδοὺ δέκα καὶ ὀκτὼ χρόνους ἔχω ἐνώπιον τοῦ Θεοῦ παριστάμενος καὶ καθ᾽ ἡμέραν καταρώμενος ἑαυτὸν καὶ λέγων· Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Καὶ τοῦτο ἀκούσας ὁ ἀδελφὸς ἐξῆλθε πάνυ ὠφεληθεὶς εἰς τὴν ταπείνωσιν τοῦ Γέροντος.

244. Ἦλθέ ποτε εἰς τὴν Ῥαϊθὼ ἄνθρωπος πλούσιος ἀπὸ τῆς ξένης καὶ ἔδωκεν ἀγάπην τοῖς ἀδελφοῖς πρὸς νόμισμα, ἔπεμψε δὲ καί τινι ἡσυχαστῇ καθημένῳ ἐκεῖ ἐν κελλίῳ. Καὶ

110. "Ἐργάτης": Ἔτσι χαρακτήριζαν τούς μοναχούς πού μέ σοβαρότητα καταπιάνονταν μέ τήν μοναχική ἄσκηση καί ἀκούραστοι καί ἀνυποχώρητοι βάδιζαν τόν δρόμο τοῦ ἁγιασμοῦ.

111. Ψαλμ. 26, 14.

ὅπου θά βρῶ νά μέ βρίζουν καί νά μέ ἐξουθενώνουν. Γιατί αὐτά εἶναι ἐκεῖνα πού σώζουν ἕναν ἁμαρτωλό ἄνθρωπο».

Θαύμασε, λοιπόν, ὁ ἡγούμενος καί, ἐπειδή διαπίστωσε ὅτι εἶναι "ἐργάτης"[110], τόν ἄφησε νά φύγει λέγοντάς του: «Πήγαινε, παιδί μου, νά εἶναι γενναία καί δυνατή ἡ καρδιά σου καί νά ἀναμένεις τό ἔλεος τοῦ Κυρίου»[111].

242. Εἶπε Γέροντας: «Πολλές φορές ἡ ταπείνωση καί χωρίς κόπους ἔσωσε πολλούς. Καί μαρτυροῦν τό γεγονός ὁ τελώνης καί ὁ ἄσωτος υἱός πού μόνο λίγες λέξεις εἶπαν καί σώθηκαν. Οἱ ἴδιοι οἱ κόποι τοῦ ἀνθρώπου, ἐάν δέν ἔχουν ταπείνωση, τόν καταστρέφουν[112]. Γιατί πολλοί μέ τούς μεγάλους κόπους πού κάνουν πέφτουν σέ ὑπερηφάνεια, ὅπως ὁ Φαρισαῖος.

243. Κάποιος ἀδελφός ἐπισκέφθηκε ἕναν Γέροντα καί τόν ρώτησε: «Πῶς εἶσαι, πάτερ;» Κι ἀποκρίθηκε ὁ Γέροντας: «Δέν εἶμαι καλά». «Γιατί, ἀββᾶ;» ρώτησε ὁ ἀδελφός. Καί τοῦ εἶπε ὁ Γέροντας: «Νά, δεκαοκτώ χρόνια ἔχω πού στέκομαι μπροστά στόν Θεό καί καθημερινά καταριέμαι τόν ἑαυτό μου λέγοντας: Ἐπικατάρατοι αὐτοί πού ξεφεύγουν ἀπ᾽ τίς ἐντολές σου[113]». Καί αὐτό σάν τ᾽ ἄκουσε ὁ ἀδελφός, ἔφυγε πολύ ὠφελημένος ἀπ᾽ τήν ταπείνωση τοῦ Γέροντα.

244. Ἦλθε κάποτε στή Ραϊθώ ἕνας πλούσιος ἀπό ξένη χώρα καί ἔδωκε εὐλογία στούς ἀδελφούς ἀπό ἕνα νόμισμα. Ἔστειλε καί σ᾽ ἕναν ἡσυχαστή πού ἔμενε ἐκεῖ κοντά σ᾽ ἕνα κελί. Κι ἐκείνη τή νύχτα βλέπει ὁ Γέροντας ἕναν ἀγρό γε-

112. Τό ρῆμα "ἀπόλλουσιν" τοῦ ἀρχ. κειμένου εἶναι βυζαντινός τύπος τοῦ ρ. ἀπόλλυμι καί ἀπόλλω, ὁριστ. ἐνεστῶτος.

113. Ψαλμ. 118, 21.

τῇ νυκτὶ ἐκείνῃ θεωρεῖ ὁ Γέρων ἀγρὸν μεμεστωμένον ἀκανθῶν καί τινα λέγοντα αὐτῷ· Ἔξελθε, θέρισον εἰς τὸν ἀγρὸν τοῦ δόντος τὴν ἀγάπην. Καὶ πρωίας μετεστείλατο ὁ ἡσυχαστὴς τὸν ἀποστείλαντα αὐτῷ τὸ νόμισμα φιλόχριστον καὶ δίδωσιν αὐτῷ τὸ χρυσίον λέγων· Δέξαι σου, ἀδελφέ, τὸ νόμισμα· οὐ γὰρ ἀπαντᾷ μοι ἀλλοτρίας ἀκάνθας θερίσαι. Εἴθε τὰς ἑαυτοῦ ἀνασπάσω.

245. Εἶπε Γέρων· Ἐὰν κάθῃ ἐν ἐρήμῳ ἡσυχάζων, μὴ ἔχε ἐν ἑαυτῷ ὡς μέγα τι ποιῶν, ἀλλὰ μᾶλλον λογίζου ἑαυτὸν ὡς κύνα ἐξορισθέντα ἀπὸ δήμου καὶ δεδεμένον διὰ τὸ δάκνειν καὶ ἐπιχειρεῖν τοῖς ἀνθρώποις.

246. Εἶπε Γέρων ὅτι· Ἐὰν κάμῃ ἄνθρωπος εἰς τὸ διὰ παντὸς ἐλέγχειν καὶ ἐπιτιμᾶν καὶ ἐξουθενεῖν κρυπτῶς τὴν ἑαυτοῦ ψυχήν, πείθει αὐτὴν ὅτι ἀτιμοτέρα τῶν κυνῶν καὶ τῶν θηρίων ἐστίν· ἐκεῖνα γὰρ οὔτε παρώργισαν τὸν ποιήσαντα αὐτὰ οὔτε εἰς κρίσιν ἔρχονται. Πολλῷ οὖν κάλλιόν μου ἐστὶ μὴ ἀναστῆναι εἰς κρίσιν ἢ ἀναστῆναι καὶ αἰωνίως κολασθῆναι.

247. Ἀδελφὸς ὀχλούμενος ὑπὸ λογισμῶν πονηρῶν ἐθλίβετο καὶ ἀπὸ πολλῆς ταπεινώσεως ἔλεγεν ὅτι· Ἐγὼ τοιαῦτα λογιζόμενος μέτρον σωτηρίας οὐκ ἔχω. Ἀπελθὼν οὖν πρὸς Γέροντα μέγαν παρεκάλει αὐτόν, ἵνα εὔξηται καὶ κουφισθῶσιν οἱ λογισμοὶ ἀπ' αὐτοῦ. Λέγει αὐτῷ ὁ Γέρων· Οὐ συμφέρει σοι, τέκνον. Ὁ δὲ ἐπέμενε βιαζόμενος τὸν Γέροντα. Καὶ δεηθέντος αὐτοῦ τοῦ Θεοῦ ἦρε τὸν πόλεμον ἐκ τοῦ ἀδελφοῦ, καὶ εὐθέως ἐνέπεσεν εἰς ὑψηλοφροσύνην καὶ ὑπερηφανίαν.

μάτο ἀγκάθια καί κάποιον πού τοῦ 'λεγε: «Βγές καί θέρισε τόν ἀγρό τοῦ τάδε πού σοῦ 'δωσε εὐλογία». Καί τό πρωί ἔστειλε καί κάλεσε ὁ ἡσυχαστής αὐτόν πού τοῦ ἔστειλε τό νόμισμα γιά τήν ἀγάπη τοῦ Χριστοῦ καί τοῦ δίνει τό χρυσό νόμισμα λέγοντάς του: «Ἀδελφέ, πάρε τό νόμισμά σου. Γιατί δέν μπορῶ νά θερίσω ξένα ἀγκάθια. Μακάρι νά βγάλω τά δικά μου».

245. Εἶπε κάποιος Γέροντας: «Ἐάν μείνεις στήν ἔρημο σέ ἡσυχία, μή νομίσεις πώς κάνεις κάτι σπουδαῖο· καλύτερα θεώρησε τόν ἑαυτό σου σάν σκυλί διωγμένο ἀπ' τόν κόσμο καί δεμένο, γιατί δαγκάνει καί ἐπιτίθεται στούς ἀνθρώπους».

246. Εἶπε κάποιος Γέροντας ὅτι ἄν κοπιάσει ὁ ἄνθρωπος νά ἐλέγχει συνέχεια καί νά μαλώνει καί νά ἐξουθενώνει κρυφά τήν ψυχή του, αὐτό τήν πείθει τελικά ὅτι εἶναι χειρότερη κι ἀπ' τά σκυλιά καί τά ἄγρια θηρία. Γιατί ἐκεῖνα οὔτε παρώργισαν τόν δημιουργό τους κι οὔτε θά κριθοῦν. Μοῦ συμφέρει λοιπόν, πολύ περισσότερο, νά μήν ἀναστηθῶ γιά νά κριθῶ, παρά νά ἀναστηθῶ καί νά κολαστῶ αἰώνια.

247. Κάποιος ἀδελφός εἶχε θλίψη, γιατί ἐνοχλοῦνταν ἀπό πονηρές σκέψεις καί μέ πολλή ταπείνωση ἔλεγε: «Ἐγώ μέ τό νά σκέφτομαι τέτοια, προϋποθέσεις σωτηρίας δέν ἔχω». Ἔφυγε, λοιπόν, καί πῆγε σ' ἕνα μεγάλο Γέροντα καί τόν παρακαλοῦσε νά εὐχηθεῖ γιά νά ἀνακουφισθεῖ ἀπ' τούς λογισμούς του. Καί τοῦ ἀπάντησε ὁ Γέροντας: «Δέν σοῦ συμφέρει, παιδί μου». Ἐκεῖνος ὅμως συνέχιζε νά πιέζει τόν Γέροντα. Καί ὅταν παρακάλεσε ὁ Γέροντας τόν Θεό, πῆρε τόν πόλεμο ἀπ' τόν ἀδελφό, ἀλλ' ἀμέσως ἔπεσε σέ ὑψηλοφροσύνη καί ὑπερηφάνεια. Καί πῆγε ξανά καί πα-

Καὶ ἀπελθὼν παρεκάλει τὸν Γέροντα, ἵνα εὔξηται καὶ ἔλθωσιν αὐτῷ πάλιν οἱ λογισμοὶ καὶ ἣν ἔσχε πρῶτον ταπείνωσιν.

248. Ἀδελφὸς παρέβαλέ τινι τῶν Πατέρων ἐν τῇ Λαύρᾳ τοῦ Δουκᾶ ἄνωθεν Ἰεριχὼ καὶ λέγει αὐτῷ· Πάτερ, πῶς ἔχεις; Ἀπεκρίθη ὁ Γέρων· Κακῶς. Λέγει ὁ ἀδελφός· Διατί, ἀββᾶ; Ἀπεκρίθη ὁ Γέρων ὅτι· Ἰδοὺ τριάκοντα ἔτη ἔχω καθ' ἡμέραν ἱστάμενος ἐνώπιον τοῦ Θεοῦ ἐν τῇ εὐχῇ μου καὶ ποτὲ μὲν καταρώμενος ἑαυτὸν λέγω τῷ Θεῷ· Μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, καὶ ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Καὶ πάλιν ψευδόμενος καθ' ἡμέραν τῷ Θεῷ λέγω· Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Καὶ μνησικακῶν τῷ ἀδελφῷ μου λέγω τῷ Θεῷ· Ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν.

Καὶ πᾶσαν τὴν μέριμναν ἔχων εἰς τὸ φαγεῖν λέγω ὅτι· Ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. Καὶ κοιμώμενος ἕως πρωὶ ψάλλω· Μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. Κατάνυξιν ὅλως οὐ κέκτημαι καὶ λέγω· Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, καὶ ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός. Καὶ ἐν τῇ καρδίᾳ μου λογιζόμενος πονηρὰ λέγω τῷ Θεῷ ὅτι· Ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σού ἐστι διὰ παντός. Καὶ νηστείαν ὅλως οὐκ ἔχων λέγω· Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας. Καὶ ὅλος γέμων ὑπερηφανίαν καὶ ἄνεσιν σαρκὸς ἐμαυτῷ ἐμπαίζω ψάλλων· Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Καὶ ἀνέτοιμος ὑπάρχων λέγω· Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός. Καὶ ἁπλῶς πᾶσα ἡ λει-

114. Βλ. Μ. Γερ. τ. Γ΄, σελ. 268.
115. Ψαλμ. 58, 6. 116. Ψαλμ. 118, 21. 117. Ψαλμ. 5, 7.
118. Ματθ. 6, 12. 119. Ψαλμ. 101, 5. 120. Ψαλμ. 118, 62.
121. Ψαλμ. 6, 7. 122. Ψαλμ. 41, 4. 123. Ψαλμ. 18, 15.

ρακαλοῦσε τόν Γέροντα, γιά νά εὐχηθεῖ νά τοῦ ξανάρθουν οἱ λογισμοί μαζί μέ τήν ταπείνωση πού εἶχε πρῶτα.

248. Ἕνας ἀδελφός ἐπισκέφθηκε κάποιον ἀπ' τούς Πατέρες στή Λαύρα τοῦ Δουκᾶ[114], πάνω ἀπ' τήν Ἰεριχώ καί τοῦ λέει: «Πῶς περνᾶς, πάτερ;» Κι ἀποκρίθηκε ὁ Γέροντας: «Ἄσχημα». «Γιατί, ἀββᾶ;» τόν ρωτάει ὁ ἀδελφός. Κι ὁ Γέροντας ἀποκρίνεται: «Νά, ἔχω τριάντα χρόνια πού στέκομαι καθημερινά μπροστά στόν Θεό κατά τήν προσευχή μου καί ἄλλοτε μέ κατάρες γιά τόν ἑαυτό μου λέω στόν Θεό: “Μή σπλαχνισθεῖς ὅλους αὐτούς πού ἐργάζονται τήν ἀνομία[115], καί εἶναι καταραμένοι ὅσοι ξεφεύγουν ἀπ' τίς ἐντολές σου[116]”. Καί πάλι, ἐνῶ ψεύδομαι καθημερινά, λέω στόν Θεό: “Θά καταστρέψεις ὅλους αὐτούς πού ψευδολογοῦν[117]”. Καί ἐνῶ θυμοῦμαι τό κακό πού μοῦ ἔκανε ὁ ἀδελφός, λέω στόν Θεό: “Συγχώρεσέ μας, ὅπως κι ἐμεῖς συγχωροῦμε[118]”.

Ὅλη τή φροντίδα μου τήν ἔχω στό φαγητό καί λέω ὅτι ξέχασα νά φάω τό ψωμί μου[119]. Κοιμοῦμαι ὥς τό πρωί καί ψάλλω: “Σηκωνόμουν τά μεσάνυχτα ἀπ' τό κρεβάτι μου γιά νά δοξολογήσω τό ὄνομά σου[120]”. Δέν ἔχω καθόλου κατάνυξη καί ὅμως λέω: “Ἀπέκαμα ἀπ' τούς στεναγμούς μου[121] καί ἔγιναν γιά μένα τά δάκρυά μου τό ψωμί μου μέρα καί νύχτα[122]”. Ἐνῶ ἔχω πονηρούς λογισμούς στήν καρδιά μου, λέω στόν Θεό: “Διαρκῶς κρατῶ τήν καρδιά μου μπροστά σου[123]”. Ἐνῶ καθόλου δέν νηστεύω, λέω: “Τά γόνατά μου κόπηκαν ἀπό τή νηστεία[124]”. Εἶμαι γεμάτος ὑπερηφάνεια καί ἀναπαύω τήν σάρκα μου καί κοροϊδεύω τόν ἑαυτό μου ψάλλοντας: “Δές πόσο ταπεινώθηκα, δές τόν κόπο μου καί συγχώρεσε ὅλες τίς ἁμαρτίες μου[125]”. Εἶμαι ἀνέτοιμος καί λέω: “Θεέ μου, εἶναι ἕτοιμη ἡ καρδία μου[126]”. Καί μ' ἕναν

124. Ψαλμ. 108, 24. 125. Ψαλμ. 24, 18. 126. Ψαλμ. 56, 8.

τουργία μου καὶ ἡ εὐχή μου εἰς ἔλεγχον καὶ αἰσχύνην μου κατεστάθη.

Λέγει ὁ ἀδελφὸς τῷ Γέροντι· Νομίζω, πάτερ, περὶ ἑαυτοῦ ὁ Δαβὶδ ταῦτα πάντα εἴρηκε. Τότε στενάξας ὁ Γέρων εἶπε· Τί λέγεις, ἀδελφέ; Φύσει ἐὰν μὴ φυλάξωμεν ἅπερ ἐνώπιον τοῦ Θεοῦ ψάλλομεν, εἰς ἀπώλειαν ὑπάγομεν.

249. Εἶπε Γέρων· Ἐὰν καταλαλήσῃς τοῦ ἀδελφοῦ σου, καὶ πλήξῃ σε τὸ συνειδός σου, ἄπελθε, βάλε αὐτῷ μετάνοιαν καὶ εἰπὲ ὅτι κατελάλησά σου, καὶ ἀσφάλισαι μηκέτι ἐμπαιχθῆναι· θάνατος γάρ ἐστι τῆς ψυχῆς ἡ καταλαλιά.

250. Εἶπε πάλιν· Ἐὰν ἀκούσῃς τὰς μεγάλας πολιτείας τῶν ἁγίων Πατέρων, ἐπιχείρησον καὶ σὺ ἐπικαλούμενος τὸ ὄνομα τοῦ Κυρίου, ἵνα ἐνισχύσῃ σε εἰς τὸ ἔργον ὃ ἐπεχείρησας. Καὶ ἐὰν τελειώσῃς, τῷ Θεῷ ἔχε τὴν χάριν. Εἰ δὲ μὴ τελειώσῃς, μέμψαι τὴν σεαυτοῦ ἀσθένειαν καὶ ἐπίγνωθι τὴν σεαυτοῦ ἀδυναμίαν. Καὶ ταπείνωσόν σου τὸν λογισμὸν ἕως ἡμέρας θανάτου, ὡς ἀνίκανος καὶ πτωχὸς καὶ ἀνυπομόνητος, ἐλέγχων τὴν ἰδίαν ψυχὴν πάντοτε ὡς ἀρξαμένην καὶ μὴ τελειώσασαν.

251. Εἶπε πάλιν· Ἐὰν εἰς ἔρημον οἰκῇς καὶ ἴδῃς ὅτι φροντίζει σου ὁ Θεός, μὴ ὑψωθῇ ἡ καρδία σου, ἐπεὶ αἴρει ὁ Θεὸς τὴν βοήθειαν αὐτοῦ ἀπὸ σοῦ, ἀλλὰ μᾶλλον εἰπὲ ὅτι· Διὰ τὴν ὀλιγωρίαν καὶ ἀσθένειάν μου ποιεῖ ὁ Θεὸς ἔλεος μετ' ἐμοῦ, ἵνα ὑπομείνω καὶ μὴ ἀκηδιάσω.

127. Βλ. Ματθ. 7, 1-5· Ρωμ. 2, 1· 14, 4.

λόγο ὅλος ὁ κανόνας μου καί ἡ προσευχή μου εἶναι γιά νά ἐλέγχομαι καί νά ντρέπομαι».

Καί ἀπάντησε ὁ ἀδελφός στόν Γέροντα: «Νομίζω, πάτερ, πώς ὁ Δαβίδ ὅλα αὐτά τά ἔχει πεῖ γιά τόν ἑαυτό του». Τότε ἀναστέναξε ὁ Γέροντας καί εἶπε: «Τί λές, ἀδελφέ; Σίγουρα ἄν δέν φυλάξουμε ὅσα ψάλλουμε μπροστά στόν Θεό, πᾶμε στήν ἀπώλεια».

249. Εἶπε κάποιος Γέροντας: «Ἐάν κατηγορήσεις τόν ἀδελφό σου καί σέ ἐλέγξει ἡ συνείδησή σου, πήγαινε, βάλ' του μετάνοια καί πές του ὅτι σέ κατηγόρησα καί φρόντισε νά μήν τό ξαναπάθεις στό ἑξῆς. Γιατί ἡ καταλαλιά[127] εἶναι θάνατος γιά τήν ψυχή».

250. Εἶπε πάλι: «Ἄν ἀκούσεις γιά τίς μεγάλες ἀσκήσεις τῶν ἁγίων Πατέρων, ἐπιχείρησέ το καί σύ ζητώντας ἀπό τόν Κύριο νά σέ στηρίξει στό ἔργο πού καταπιάστηκες. Καί ἐάν τό φέρεις εἰς πέρας, ἀπόδωσέ το μέ εὐγνωμοσύνη στόν Κύριο. Ἐάν ὅμως δέν τό ἀποτελειώσεις, κατηγόρησε τήν ἀνημπόρια σου καί ἔχε ἐπίγνωση τῆς ἀδυναμίας σου. Καί ταπείνωσε τή σκέψη σου, ὥσπου νά πεθάνεις, μέ τή συναίσθηση πώς εἶσαι ἀνίκανος καί φτωχός καί χωρίς ὑπομονή, ἐλέγχοντας πάντοτε τήν ψυχή σου ὅτι ἄρχισε ἀλλά δέν ἔφερε εἰς πέρας τό ἔργο».

251. Ἄλλοτε εἶπε: «Ἄν μένεις στήν ἔρημο καί δεῖς ὅτι σέ φροντίζει ὁ Θεός, μήν ὑπερηφανευτεῖς, γιατί θά πάρει ὁ Θεός τήν βοήθειά του ἀπό σένα, ἀλλά προτιμότερο εἶναι νά πεῖς: Μέ εὐσπλαχνίζεται ὁ Θεός γιά τήν ἀμέλειά μου καί τήν ἀδυναμία μου στά πνευματικά, ὥστε νά κάνω ὑπομονή καί νά μήν πέσω σέ ἀκηδία[128]».

128. Ἀκηδία: Βλ. Μ. Γερ. τ. Β', σελ. 60, ὑποσημ. 34· τ. Α', σελ. 126, ὑποσημ. 109.

252. Εἶπε πάλιν· Ἐὰν ἐπιλάβῃ ἀσκήσεως καὶ χαυνωθῇς, πάλιν ἐπιχείρησον καὶ μὴ παύσῃ ἕως θανάτου τοῦτο ποιῶν. Ὅπου γὰρ φθασθῇ ἄνθρωπος, ἐκεῖ καὶ ὑπάγει, ἐὰν εἰς ἀμέλειαν, ἐὰν εἰς ἐγκράτειαν. Καθ' ἑκάστην ἡμέραν καὶ ἐνιαυτὸν καὶ ἑβδομάδα ἐρεύνησον σεαυτὸν εἰς τί προέκοψας, εἰς προσευχήν, εἰς νηστείαν, εἰς ἡσυχίαν, πλέον δὲ πάντων, εἰς ταπείνωσιν. Αὕτη γάρ ἐστιν ἡ ἀληθὴς προκοπὴ τῆς ψυχῆς, ἵνα ἡμέραν καθ' ἡμέραν ταπεινοτέραν ἔχει ἑαυτὴν λέγουσα ὅτι· Πᾶς ἄνθρωπος βελτίων μού ἐστι. Χωρὶς γὰρ τοῦ λογισμοῦ τούτου, κἂν σημεῖα ποιήσῃ, κἂν νεκροὺς ἀναστήσῃ ἄνθρωπος, μακρὰν εὑρίσκεται ἀπὸ τοῦ Θεοῦ.

253. Εἶπε πάλιν· Ἐὰν ἐπαινέσῃ σε ἄνθρωπος εἰς πρόσωπόν σου, ἐννόησον εὐθὺς τὰς ἁμαρτίας σου καὶ παρακάλεσον αὐτὸν λέγων· Διὰ τὸν Κύριον, ἀδελφέ, μὴ ἐπαινέσῃς με, ὅτι ταλαίπωρός εἰμι καὶ οὐ βαστάζω. Εἰ δὲ μέγας ἄνθρωπός ἐστιν, εὖξαι τῷ Θεῷ λέγων· Κύριε, σκέπασόν με ἐκ τοῦ ἐπαίνου καὶ ἐκ τοῦ ψόγου τῶν ἀνθρώπων.

254. Εἶπε πάλιν· Ἐὰν καταλαλήσῃ ἀδελφὸς ἀδελφοῦ ἔμπροσθέν σου, βλέπε μὴ διατραπῇς αὐτὸν καὶ εἴπῃς· Ναί, οὕτως ἐστίν. Ἀλλὰ ἢ σιώπα ἢ εἰπὲ αὐτῷ ὅτι· Ἐγώ, ἀδελφέ, κατακεκριμένος εἰμὶ καὶ οὐ δύναμαι κρῖναι ἄλλον. Καὶ σῴζεις καὶ σεαυτὸν καὶ ἐκεῖνον.

255. Εἶπε πάλιν· Ἐὰν ἀσθενήσῃς καὶ αἰτήσῃς παρά τινος πρᾶγμα λαβεῖν εἰς χρείαν σου, καὶ μὴ δώσῃ σοι, μὴ θλιβῇς κατ' αὐτοῦ, ἀλλὰ μᾶλλον εἰπὲ ὅτι· Εἰ ἤμην ἄξιος λαβεῖν, ἐπληροφόρησεν ἂν ὁ Θεὸς τὸν ἀδελφὸν δοῦναί μοι ἀγάπην.

252. Εἶπε πάλι: «Ἐάν ἀρχίσεις κάποια ἄσκηση καί χαλαρώσεις, πάλι βάλε ἀρχή καί μή σταματήσεις νά τό κάνεις αὐτό ὥσπου νά πεθάνεις. Γιατί, ὅπου βρεῖ τόν ἄνθρωπο ὁ θάνατος, ἀνάλογη θά 'ναι καί ἡ ἀμοιβή του, εἴτε στήν ἀμέλεια, εἴτε στήν αὐτοκυριαρχία. Καθημερινά καί κάθε χρόνο καί κάθε ἑβδομάδα, ἐξέταζε τόν ἑαυτό σου σέ τί πρόκοψες, στήν προσευχή, στή νηστεία, στήν ἡσυχία καί προπάντων στήν ταπείνωση. Γιατί αὐτή φανερώνει τήν πραγματική προκοπή τῆς ψυχῆς γιά νά ἔχει κάθε μέρα καί ταπεινότερο φρόνημα ὥστε νά λέει: "Κάθε ἄνθρωπος εἶναι καλύτερός μου". Γιατί χωρίς αὐτόν τόν λογισμό, κι ἄν ἀκόμη κάνει θαύματα καί ἄν ἀκόμη καί νεκρούς ἀναστήσει ὁ ἄνθρωπος, βρίσκεται μακριά ἀπ' τόν Θεό».

253. Ἄλλοτε εἶπε: «Ἐάν σ' ἐπαινέσει ἄνθρωπος μπροστά σου, βάλε στό νοῦ σου ἀμέσως τίς ἁμαρτίες σου καί παρακάλεσέ τον λέγοντας: "Γιά ὄνομα τοῦ Θεοῦ, ἀδελφέ μου, μήν μ' ἐπαινεῖς, γιατί εἶμαι ταλαίπωρος καί δέν τό σηκώνω". Ἄν πάλι εἶναι σπουδαῖος ἄνθρωπος, εὐχήσου στόν Θεό λέγοντας: "Κύριε, σκέπασέ με ἀπ' τόν ἔπαινο καί τήν κατηγορία τῶν ἀνθρώπων"».

254. Εἶπε ἐπίσης: «Ἄν μπροστά σου κατηγορήσει κάποιος ἀδελφός ἕναν ἄλλο ἀδελφό, πρόσεξε μήν τόν ντραπεῖς καί πεῖς: "Ναί, ἔτσι εἶναι", ἀλλά ἤ σιώπα ἤ πές του: "Ἐγώ, ἀδελφέ, εἶμαι καταδικασμένος καί δέν μπορῶ νά κρίνω ἄλλον". Καί ἔτσι σώζεις καί τόν ἑαυτό σου καί ἐκεῖνον».

255. Εἶπε ἀκόμη: «Ἄν ἀρρωστήσεις καί ζητήσεις ἀπό κάποιον νά πάρεις κάτι πού σοῦ χρειάζεται καί δέν σοῦ τό δώσει, μήν στενοχωρηθεῖς μαζί του, ἀλλά μᾶλλον πές: "Ἄν ἤμουν ἄξιος νά τό πάρω, θά πληροφοροῦσε ὁ Θεός τόν ἀδελφό νά μοῦ τό προσφέρει".

Γίνωσκε δὲ ὅτι τρεῖς τάξεις εἰσὶ περὶ τοῦ λαβεῖν ἀγάπην. Οἱ τέλειοι ἀσκηταὶ οὐ ταχὺ ἐδέχοντο πρᾶγμα παρά τινος τὸ σύνολον. Οἱ δὲ μέσοι οὐ λέγουσί τινι δοῦναί τί ποτε. Εἰ δὲ ἀφ' ἑαυτοῦ τις δώσει, δέχονται ὡς ἀπὸ Θεοῦ πεμφθέντα. Εἰ δὲ ἀσθενεῖς ἐσμεν καὶ οὐκ ἰσχύομεν ἐργάσασθαι τὴν χρείαν ἑαυτῶν, αἰτήσωμεν μετὰ πολλῆς ταπεινώσεως μεμφόμενοι ἑαυτοὺς διὰ παντός.

256. Εἶπε πάλιν· Ἐὰν μὴ ἔχῃς ταπείνωσιν πνευματικὴν ἢ προσευχὴν πνευματικήν, κτῆσαι αὐτὰ κἂν σωματικά. Καὶ διὰ τῶν σωματικῶν ἔρχονταί σοι καὶ τὰ πνευματικά, ἐπεὶ μάτην κοπιᾷς.

257. Εἶπε πάλιν· Ἐὰν ὀχλῶσί σοι ῥυπαροὶ λογισμοί, μὴ κρύψῃς αὐτούς, ἀλλ' εὐθέως εἰπὲ αὐτοὺς τῷ πνευματικῷ σου πατρὶ καὶ ἔλεγξον αὐτούς. Ὅσον γὰρ κρύβῃ ἄνθρωπος τοὺς λογισμοὺς αὐτοῦ, τοσοῦτον πληθύνονται καὶ λαμβάνουσι δύναμιν. Ὥσπερ γὰρ ὄφις, ἐὰν ἐξέλθῃ ἐκ τοῦ φωλεοῦ, εὐθὺς φεύγει, οὕτω καὶ ὁ πονηρὸς λογισμὸς φανερούμενος εὐθέως ἀπόλλυται. Καὶ ὥσπερ σκώληξ εἰς ξύλον, οὕτω πονηρὸς λογισμὸς ἀφανίζει καρδίαν.

Ὁ φανερῶν τοὺς λογισμοὺς αὐτοῦ ταχὺ θεραπεύεται, ὁ δὲ ἀποκρύπτων αὐτοὺς ὑπερηφανίαν νοσεῖ. Ἐὰν γὰρ οὐ πληροφορῆσαι εἴς τινα τοῦ ἀναγγεῖλαι αὐτῷ τοὺς πολέμους σου, σημεῖόν ἐστι τοῦτο ὅτι ταπείνωσιν οὐκ ἔχεις. Ὁ γὰρ ταπεινόφρων πάντας ἁγίους βλέπει, ἑαυτὸν δὲ μόνον ἁμαρτωλόν.

Γνώριζε δέ ὅτι τρεῖς περιπτώσεις ὑπάρχουν, σχετικά μέ τό νά παίρνει κάποιος ἐλεημοσύνη.

Οἱ τέλειοι ἀσκηταί γενικῶς δέν δέχονταν εὔκολα ἕνα πράγμα ἀπό κάποιον. Οἱ μέσοι δέν λένε ποτέ σέ κάποιον νά τούς δώσει κάτι. Καί ἐάν κάποιος ἀπό μόνος του δώσει, τά δέχονται σάν σταλμένα ἀπ' τόν Θεό. Ἄν πάλι εἴμαστε ἄρρωστοι καί δέν μποροῦμε νά ἐργαστοῦμε καί νά καλύψουμε τίς ἀνάγκες μας, ἄς ζητήσουμε μέ πολλή ταπείνωση, κατηγορώντας τούς ἑαυτούς μας πάντοτε».

256. Εἶπε πάλι: «Ἐάν δέν ἔχεις ταπείνωση πνευματική ἤ προσευχή πνευματική, ἀπόκτησε αὐτά ἔστω καί σωματικά. Καί μέ τά σωματικά θά σοῦ ἔρθουν καί τά πνευματικά· ἀλλιῶς κοπιάζεις ἄδικα».

257. Ἄλλοτε εἶπε: «Ἐάν σ' ἐνοχλοῦν ρυπαροί λογισμοί μήν τούς κρύψεις ἀλλ' ἀμέσως πές τους στόν πνευματικό σου πατέρα καί ἔλεγξέ τους. Γιατί ὅσο κρύβει ὁ ἄνθρωπος τούς λογισμούς του, τόσο πληθαίνουν καί ἀποκτοῦν δύναμη.

Γιατί, ὅπως ἀκριβῶς ἕνα φίδι, ἐάν βγεῖ ἀπ' τή φωλιά, ἀμέσως φεύγει, ἔτσι καί ὁ πονηρός λογισμός, ὅταν φανερώνεται, ἀμέσως χάνεται. Καί ὅπως ἀκριβῶς εἶναι ἕνα σκουλήκι στό ξύλο, ἔτσι κι ἕνας πονηρός λογισμός, καταστρέφει τήν καρδιά.

Ἐκεῖνος πού φανερώνει τούς λογισμούς του, γρήγορα θεραπεύεται, ἐκεῖνος πού δέν τούς ἐξαγορεύει, πάσχει ἀπό τήν ἀρρώστια τῆς ὑπερηφάνειας. Ἐάν δέν ἐμπιστεύεσαι σέ κάποιον νά τοῦ φανερώσεις τούς πολέμους σου, αὐτό εἶναι ἀπόδειξη πώς δέν ἔχεις ταπείνωση. Γιατί ἐκεῖνος πού ἔχει ταπεινό φρόνημα ὅλους τούς βλέπει ἁγίους καί μόνον τόν ἑαυτό του ἁμαρτωλό.

Πλὴν ὅτι, ἐὰν ἐξ ὅλης καρδίας ἐπικαλέσηται ἄνθρωπος τὸν Θεὸν καὶ ἀπελθὼν ἐπερωτήσῃ ἄνθρωπον περὶ τῶν ἑαυτοῦ λογισμῶν, ἀποκρίνεται αὐτῷ ὁ ἄνθρωπος, μᾶλλον δὲ διὰ τοῦ ἀνθρώπου τὰ συμφέροντα ὁ Θεὸς ὁ ἀνοίξας τὸ στόμα τῆς ὄνου ἐπὶ τοῦ Βαλαάμ, κἂν ἀνάξιός ἐστι καὶ ἁμαρτωλὸς ὁ ἐρωτώμενος.

258. Εἶπε πάλιν· Ἐὰν κρατηθῇς εἰς ἀγάπην, καὶ βάλωσί σε εἰς τὸν ἐλάχιστον τόπον, μὴ γογγύσῃ ὁ λογισμός σου, ἀλλὰ λέγε ὅτι· Οὐδὲ ὧδε ἤμην ἄξιος. Τοῦτο γὰρ λέγω σοι, ὅτι οὐδὲ μία θλῖψις ἔρχεται τῷ ἀνθρώπῳ, εἰ μὴ ἄνωθεν ἐκ τοῦ Θεοῦ πρὸς δοκιμὴν καὶ πρὸς τὰς ἁμαρτίας αὐτοῦ. Καὶ ὁ μὴ κρατῶν οὕτως οὐ πιστεύει ὅτι ὁ Θεὸς κριτὴς δίκαιός ἐστιν.

259. Εἶπε πάλιν· Ἐὰν λογισμὸς ὑπερηφανίας ὀχλήσῃ σοι, εἰπὲ τῷ δαίμονι ὅτι εἶπεν ὁ Θεός· Ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. Ἐὰν γὰρ οὐκ ἐνδώσῃς τοῦ λέγειν ὅτι καλός εἰμι, πληροφοροῦμαι ὅτι ἀλλότριος τοῦ Θεοῦ εἰμι. Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται.

260. Ἔλεγέ τις Γέρων ὅτι· Ἐν τῇ χώρᾳ ἡμῶν κατά τινα

129. Ὁ Βαλαάμ (ψευδοπροφήτης) προσκλήθηκε ἀπό τόν βασιλιά τῶν Μωαβιτῶν Βαλάκ γιά νά καταραστεῖ τούς Ἑβραίους, πού εἶχαν εἰσβάλει μέ ἐπικεφαλῆς τόν Μωυσῆ στά ἐδάφη του. Ὅταν ξεκίνησε ὁ Βαλαάμ γιά νά πάει πρός τόν Βαλάκ μέ σκοπό νά καταραστεῖ τούς Ἰσραηλίτες, ἔστειλε ὁ Θεός ἄγγελο πού ἐμπόδιζε τήν ὄνο του νά προχωρήσει, γι' αὐτό καί ὁ Βαλαάμ τή χτυποῦσε. «Ἡ ὄνος ἰδοῦσα τόν ἄγγελον τοῦ Θεοῦ ἐκάθισε ἐπί τοῦ

Ὡστόσο, ἄν ὁ ἄνθρωπος ἐπικαλεσθεῖ τόν Θεό μ' ὅλη του τήν ψυχή καί πάει νά συμβουλευθεῖ σχετικά μέ τούς λογισμούς του κάποιον ἄλλον ἄνθρωπο, τοῦ ἀπαντᾶ ὁ ἄνθρωπος –καί, καλύτερα, διά μέσου τοῦ ἀνθρώπου τοῦ ἀπαντᾶ τά συμφέροντα ὁ Θεός, ὁ ὁποῖος ἄνοιξε τό στόμα τῆς ὄνου στήν περίπτωση τοῦ Βαλαάμ[129]– ἀκόμη καί ἄν αὐτός πού ἐρωτήθηκε εἶναι ἀνάξιος καί ἁμαρτωλός».

258. Ἄλλοτε πάλι εἶπε: «Ἐάν σέ κρατήσουν σέ τραπέζι γιά φαγητό καί σέ βάλουν στήν πιό τελευταία θέση, νά μή γογγύσει ὁ λογισμός σου, ἀλλά λέγε "οὔτε γιά ἐδῶ ἤμουν ἄξιος". Αὐτό ἔχω νά σοῦ πῶ, ὅτι καμιά θλίψη δέν ἔρχεται στόν ἄνθρωπο, παρά ἄνωθεν, ἀπό τόν Θεό, γιά νά τόν δοκιμάσει (νά τόν παιδαγωγήσει) καί εἶναι ἀνάλογη μέ τίς ἁμαρτίες του. Κι ἐκεῖνος πού δέν τά παίρνει ἔτσι, δέν πιστεύει ὅτι ὁ Θεός εἶναι δίκαιος κριτής».

259. Ἄλλοτε εἶπε: «Ἐάν σ' ἐνοχλήσει κάποιος λογισμός ὑπερηφάνειας, πές στόν δαίμονα ὅτι εἶπε ὁ Θεός: Ἐκεῖνος πού ὑψώνει τόν ἑαυτό του θά ταπεινωθεῖ[130]. Γιατί ἄν δέν σταματήσεις νά λές ὅτι εἶμαι καλός, εἶμαι βέβαιος ὅτι εἶμαι ξένος γιά τόν Θεό. Γιατί ὁ Κύριος πάει ἀντίθετα στούς ὑπερήφανους»[131].

260. Εἶπε κάποιος Γέροντας: «Στόν τόπο μας, κάποια

ἐδάφους ἔχουσα ἐπάνω της τόν Βαλαάμ. Ἐθύμωσε ὁ Βαλαάμ καί ἐκτύπα τήν ὄνον διά τῆς ῥάβδου του διά τρίτην φοράν (στίχ. 27). Ὁ Θεός ἤνοιξε τό στόμα τῆς ὄνου καί λέει εἰς τόν Βαλαάμ: Τί σοῦ ἔκανα καί μέ κτυπᾶς διά τρίτην φοράν; (28)...» (Ἀριθ. κεφ. 22 κ.ἑ. Βλ. Β΄ Πέτρ. 2, 15-17 καί Ἀποκ. 2, 14).

130. Ματθ. 23, 12.

131. Παροιμ. 3, 34.

καιρὸν συνήγοντο πρὸς ἀλλήλους οἱ Γέροντες ὠφελείας χάριν. Καὶ ἀναστὰς εἷς ἐξ αὐτῶν λαβὼν τὸ μικρὸν κερβικάριον τὸ ἐπικείμενον τῷ καθίσματι αὐτοῦ ἔβαλεν ἐπάνω τῶν ὤμων αὐτοῦ. Καὶ κρατῶν ταῖς δύο χερσὶν αὐτοῦ ἔστη ἐν μέσῳ πάντων κατὰ ἀνατολὰς βλέπων καὶ ηὔξατο λέγων· Ὁ Θεός, ἐλέησόν με. Καὶ ἀπεκρίνατο ἑαυτῷ λέγων· Εἰ θέλεις, ἵνα σὲ ἐλεήσω, θὲς ὅπερ βαστάζεις, καὶ ἐλεῶ σε. Καὶ πάλιν ἔλεγεν· Ὁ Θεός, ἐλέησόν με. Καὶ ἀπεκρίνατο ἑαυτῷ· Εἶπόν σοι· Θὲς ὅπερ βαστάζεις, καὶ ἐλεῶ σε.

Τοῦτο δὲ ἐπὶ πολὺ ποιήσας ἐκάθισε. Καὶ λέγουσιν αὐτῷ οἱ Πατέρες· Εἰπὲ ἡμῖν, τί ἐστιν ὃ ἐποίησας. Καί φησι πρὸς αὐτούς· Τὸ κερβικάριον, ὅπερ ἐβάσταζον ἐπὶ τῶν ὤμων μου, τὸ θέλημά μού ἐστι. Καὶ παρεκάλουν τὸν Θεὸν ἵνα μετ' αὐτοῦ ἐλεήσῃ με, καὶ εἶπέ μοι· Ἄφες ὃ βαστάζεις, καὶ ἐλεῶ σε. Καὶ ἡμεῖς οὖν, φησίν, ἐὰν θέλωμεν ἐλεηθῆναι ὑπὸ τοῦ Θεοῦ, ἀφήσωμεν τὸ ἴδιον θέλημα καὶ τυγχάνομεν ἐλέους.

261. Ἠρωτήθη Γέρων· Τί ἐστι ταπείνωσις; Ὁ δὲ εἶπεν· Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου καὶ συγχωρήσῃς αὐτῷ πρὸ τοῦ ἐκεῖνον μετανοῆσαί σοι.

262. Εἶπε Γέρων· Ἐν παντὶ πειρασμῷ μὴ μέμφου ἄνθρωπον, ἀλλὰ σεαυτόν, λέγων ὅτι· Διὰ τὰς ἁμαρτίας μου ταῦτά μοι συμβαίνει.

ἐποχή, συγκεντρώνονταν οἱ Γέροντες μεταξύ τους χάριν ὠφελείας. Κάποια φορά σηκώθηκε ἕνας ἀπ' αὐτούς καί ἀφοῦ πῆρε τό μικρό μαξιλάρι πού βρισκόταν πάνω στό κάθισμά του, τό ἔβαλε ἐπάνω στούς ὤμους του. Καί κρατώντας το μέ τά δυό του χέρια στάθηκε ἀνάμεσα σ' ὅλους καί βλέποντας πρός τήν ἀνατολή, ἄρχισε νά προσεύχεται "Θεέ μου, ἐλέησέ με". Καί ἀπαντοῦσε ὁ ἴδιος στόν ἑαυτό του λέγοντας: "Ἄν θέλεις νά σ' ἐλεήσω, ἄφησε αὐτό πού κρατᾶς καί θά σέ ἐλεήσω". Καί ἐπανελάμβανε: "Θεέ μου, ἐλέησέ με". Καί ἀπαντοῦσε στόν ἑαυτό του: "Σοῦ εἶπα· ἄφησε ὅ,τι ἀκριβῶς κρατᾶς καί σ' ἐλεῶ".

Καί ἀφοῦ τό ἔκαμε αὐτό πολλές φορές, κάθισε. Καί τόν ρωτᾶνε οἱ Πατέρες: "Ἐξήγησέ μας τί εἶναι αὐτό πού ἔκανες;" Καί τούς ἀπαντᾶ: "Τό μαξιλάρι πού κρατοῦσα στούς ὤμους μου, ἦταν τό θέλημά μου καί ζητοῦσα ἀπ' τόν Θεό νά μ' ἐλεήσει μαζί μ' αὐτό, καί μοῦ ἀπάντησε: Ἄφησε αὐτό πού κρατᾶς κι ἐγώ θά σ' ἐλεήσω". Καί ἐμεῖς, λοιπόν, εἶπε, ἄν θέλουμε νά ἐλεηθοῦμε ἀπ' τόν Θεό, ἄς ἀφήσουμε τό δικό μας θέλημα καί θά ἔχουμε τό ἔλεος τοῦ Θεοῦ».

261[132]. Ρωτήθηκε κάποιος Γέροντας: «Τί εἶναι ταπείνωση;» Κι ἐκεῖνος εἶπε: «Ἐάν σφάλει ἀπέναντί σου ὁ ἀδελφός σου, καί ἐσύ τόν συγχωρήσεις προτοῦ νά σοῦ βάλει ἐκεῖνος μετάνοια».

262. Εἶπε κάποιος Γέροντας: «Σέ κάθε πειρασμό μήν κατηγορεῖς ἄλλον ἄνθρωπο, ἀλλά τόν ἑαυτό σου λέγοντας: ἐξαιτίας τῶν ἁμαρτιῶν μου μοῦ συμβαίνουν αὐτά».

---

132. Τά τέσσερα ἀποφθέγματα 261-264 τά συναντήσαμε μέ ἐλάχιστες διαφορές στά ὑπ' ἀριθ. 186, 187, 208 καί 177.


263. Ἠρωτήθη Γέρων· Τί ἐστιν ἡ προκοπὴ τοῦ ἀνθρώπου; Καὶ ἀπεκρίθη· Ταπείνωσις. Ἄλλη γὰρ προκοπὴ οὐκ ἔστιν· ἐν ὅσῳ γὰρ κατάγεται εἰς ταπείνωσιν, ἀνάγεται εἰς ὕψος.

264. Ἠρωτήθη Γέρων· Πῶς κτᾶται ἡ ψυχὴ ταπείνωσιν; Καὶ ἀπεκρίθη· Ἐὰν τὰ ἑαυτῆς καὶ μόνα μεριμνήσῃ κακά.

265. Ἔλεγέ τις τῶν Πατέρων διὰ τὴν ταπεινοφροσύνην παραβολήν, ὅτι αἱ κέδροι εἶπον τοῖς καλάμοις· Πῶς ὑμεῖς ἀσθενεῖς ὄντες καὶ ἀδύναμοι οὐ κλᾶσθε ἐν τῷ χειμῶνι, ἡμεῖς δὲ τηλικαῦται οὖσαι συντριβόμεθα, ἔστιν ὅτε καὶ ἐκριζούμεθα; Καὶ ἀπεκρίθησαν οἱ κάλαμοι λέγοντες· Ἡμεῖς, ὅταν ἔλθῃ ὁ χειμὼν καὶ φυσήσωσιν οἱ ἄνεμοι, κλινόμεθα μετὰ τοῦ ἀνέμου ὧδε καὶ ὧδε, καὶ διὰ τοῦτο οὐ κλώμεθα. Ὑμεῖς δὲ ἀνθιστάμενοι τοῖς ἀνέμοις κινδυνεύετε.

Καὶ ἔλεγεν ὁ Γέρων ὅτι δεῖ παραχωρεῖν, ὅταν λόγος ὕβρεως γένηται, καὶ διδόναι τόπον τῇ ὀργῇ καὶ μὴ ἐναντιοῦσθαι καὶ πίπτειν εἰς ἀτόπους λογισμοὺς καὶ πράγματα.

Τέλος τῆς περὶ ταπεινοφροσύνης πραγματείας.



133. Τί εἶναι δηλαδή αὐτό πού ἀποδεικνύει τήν προκοπή τοῦ κατά Θεόν ἀγωνιζομένου.

263. Ρώτησαν κάποιο Γέροντα: «Τί εἶναι ἡ προκοπή τοῦ ἀνθρώπου;»[133] Καί ἀποκρίθηκε: «Ἡ ταπείνωση. Γιατί ἄλλη προκοπή δέν ὑπάρχει. Ὅσο δηλαδή κατεβαίνει σέ ταπείνωση ὁ ἄνθρωπος, τόσο ἀνεβαίνει σέ ὕψος».


264. Ρώτησαν κάποιο Γέροντα: «Πῶς ἀποκτᾶ ἡ ψυχή ταπείνωση;» Καί ἀποκρίθηκε: «Ἐάν νοιαστεῖ μόνο γιά τίς δικές της ἁμαρτίες».

265. Ἔλεγε κάποιος ἀπό τούς Πατέρες μιά παραβολή γιά τήν ταπεινοφροσύνη, πώς εἶπαν δηλαδή οἱ κέδροι στά καλάμια: «Πῶς ἐσεῖς ἐνῶ εἶστε ἀσθενικά καί ἀδύναμα δέν σπάζετε τόν χειμώνα, ἐνῶ ἐμεῖς παρόλο πού εἴμαστε τόσο μεγάλοι σπάζουμε, μερικές φορές μάλιστα καί ξεριζωνόμαστε;» Καί ἀποκρίθηκαν τά καλάμια λέγοντας: «Ἐμεῖς, ὅταν ἔρθει κακοκαιρία καί φυσήξουν οἱ ἄνεμοι, γέρνουμε μαζί μέ τόν ἄνεμο πότε ἔτσι, πότε ἀλλιῶς καί γι᾽ αὐτό δέν σπάζουμε. Ἐσεῖς ὅμως, ἐπειδή ἀντιστέκεστε στούς ἀνέμους, κινδυνεύετε».

Καί ἔλεγε ὁ Γέροντας πώς πρέπει νά παραμερίζουμε, ὅταν τύχει νά ὑβριστοῦμε, καί νά δίνουμε τόπο στήν ὀργή· νά μήν ἐρχόμαστε σέ ἀντίθεση καί πέφτουμε σέ ἀνάρμοστους λογισμούς καί ἐνοχλήσεις.

Τέλος τῆς πραγματείας γιά τήν ταπεινοφροσύνη.





Ἀνάβαση στήν ἁγία κορυφή τοῦ Σινᾶ


ΚΕΦΑΛΑΙΟ
ΙϚ΄

Εἶπεν ὁ ἀββᾶς Ποιμήν: «Ἡ πονηρία τὴν πονηρίαν οὐδαμῶς ἀναιρεῖ. Ἀλλ' ἐάν τίς σε κακοποιήσῃ, εὖ ποίησον αὐτῷ, ἵνα διὰ τῆς ἀγαθοποιΐας ἀνέλῃς τὴν πονηρίαν».

(Ἀπόφθ. 18)



Περὶ ἀνεξικακίας




αρέβαλον ἀδελφοὶ τῷ ἀββᾷ Ἀντωνίῳ καὶ λέγουσιν αὐτῷ· Εἰπὲ ἡμῖν λόγον, πῶς σωθῶμεν. Λέγει αὐτοῖς ὁ Γέρων· Ἠκούσατε τῆς Γραφῆς; καλῶς ὑμῖν ἔχει; Οἱ δὲ εἶπον· Καὶ παρὰ σοῦ θέλομεν ἀκοῦσαι, πάτερ. Εἶπε δὲ αὐτοῖς ὁ Γέρων· Λέγει τὸ Εὐαγγέλιον· Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Οἱ δὲ εἶπον· Οὐ δυνάμεθα τοῦτο ποιῆσαι. Λέγει αὐτοῖς ὁ Γέρων· Εἰ τοῦτο οὐ δύνασθε ποιῆσαι, κἂν τὴν μίαν ὑπομείνατε. Λέγουσιν αὐτῷ· Οὐδὲ τοῦτο δυνάμεθα. Λέγει ὁ Γέρων· Εἰ οὐδὲ τοῦτο δύνασθε, μὴ δῶτε ἀνθ' ὧν ἐλάβετε. Καὶ εἶπον· Οὐδὲ τοῦτο δυνάμεθα.

Λέγει οὖν ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· Ποίησον αὐτοῖς μικρὰν ἀθήραν, ἀσθενοῦσι γάρ. Εἰ τοῦτο οὐ δύνασθε κἀκεῖνο οὐ θέλετε, τί ὑμῖν ποιήσω; εὐχῶν χρεία.

2. Ἔλεγον περὶ τοῦ ἀββᾶ Γελασίου ὅτι εἶχε βιβλίον ἐν δέρμασιν ἄξιον δεκαοκτὼ νομισμάτων. Εἶχε δὲ τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην γεγραμμένην ὅλην, καὶ ἔκειτο ἐν τῇ ἐκκλησίᾳ, ἵνα ὁ θέλων τῶν ἀδελφῶν ἀναγινώσκῃ.



Περί ἀνεξικακίας



άποιοι ἀδελφοί ἐπισκέφθηκαν τόν ἀββᾶ Ἀντώνιο* καί τοῦ εἶπαν: «Πές μας κάποιο λόγο, πῶς θά μπορέσουμε νά σωθοῦμε;» Κι ὁ Γέροντας τούς εἶπε: «Ἀκούσατε τί λέει ἡ Γραφή; Καλά δέν σᾶς τά λέει;» Κι ἐκεῖνοι εἶπαν: «Καί ἀπό σένα, πάτερ, θέλουμε νά ἀκούσουμε».

Τότε ὁ Γέροντας τούς εἶπε: «Λέει τό Εὐαγγέλιο: Ἐάν κάποιος σέ χτυπήσει στό δεξί μάγουλο, γύρισέ του καί τό ἄλλο»[1]. Κι αὐτοί εἶπαν: «Αὐτό δέν μποροῦμε νά τό κάνουμε». Τότε τούς εἶπε ὁ Γέροντας: «Ἐάν αὐτό δέν μπορεῖτε νά κάνετε, τουλάχιστον ἀνεχθεῖτε τό ἕνα χτύπημα». «Οὔτε αὐτό μποροῦμε» τοῦ εἶπαν. «Ἐάν οὔτε αὐτό μπορεῖτε, τούς λέει ὁ Γέροντας, μήν ἀνταποδώσετε γι' αὐτά πού σᾶς ἔκαναν»[2]. Καί εἶπαν: «Οὔτε αὐτό μποροῦμε».

Τότε λέει ὁ Γέροντας στόν μαθητή του: «Φτιάξε τους λίγη σούπα πληγουρίσια, γιατί εἶναι ἄρρωστοι. Ἐάν αὐτό δέν μπορεῖτε καί ἐκεῖνο δέν τό θέλετε, τί νά σᾶς κάνω; Ἔχετε ἀνάγκη ἀπό προσευχές».

2. Ἔλεγαν γιά τόν ἀββᾶ Γελάσιο ὅτι εἶχε ἕνα δερμάτινο βιβλίο πού κόστιζε δεκαοκτώ νομίσματα. Περιεῖχε ὁλόκληρη τήν Παλαιά καί τήν Καινή Διαθήκη καί ἦταν τοποθετημένο στήν ἐκκλησία, γιά νά τό διαβάζει ὅποιος ἀδελφός ἤθελε.

1. Ματθ. 5, 39. 2. Ρωμ. 12, 17.

Ἐλθὼν δέ τις ξένος ἀδελφὸς παρέβαλε τῷ Γέροντι· ὡς εἶδε δὲ αὐτό, ἐπεθύμησε, καὶ κλέψας ἐξῆλθεν. Ὁ δὲ Γέρων οὐκ ἐδίωξεν ὀπίσω αὐτοῦ, ὥστε καταλαβεῖν αὐτὸν καίπερ νοήσας. Ἀπελθὼν οὖν ἐκεῖνος ἐν τῇ πόλει ἐζήτει πωλῆσαι αὐτό. Καὶ εὑρὼν τὸν θέλοντα ἀγοράσαι ἀπῄτει τὴν τιμὴν νομίσματα δέκα ἕξ. Ὁ θέλων δὲ ἀγοράσαι λέγει αὐτῷ· Δός μοι πρῶτον δοκιμάσω αὐτὸ καὶ οὕτω τὸ τίμημά σοι παρέχω. Δέδωκεν οὖν αὐτῷ. Ὁ δὲ λαβὼν ἤνεγκε τῷ ἀββᾷ Γελασίῳ δοκιμάσαι αὐτό, εἰρηκὼς αὐτῷ τὴν ποσότητα ἣν ὁ πωλῶν εἶπε. Λέγει ὁ Γέρων· Ἀγόρασον αὐτό· καλὸν γάρ ἐστι καὶ ἄξιον ἧς εἴρηκε τιμῆς.

Καὶ ἐλθὼν ὁ ἄνθρωπος εἶπε τῷ πωλοῦντι αὐτὸ ἄλλα καὶ οὐ καθὼς εἶπεν αὐτῷ ὁ Γέρων, λέγων· Ἰδοὺ ἔδειξα αὐτὸ τῷ ἀββᾷ Γελασίῳ, καὶ εἶπέ μοι ὅτι πολλοῦ ἐστι καὶ οὐκ ἔστιν ἄξιον ἧς εἴρηκας τιμῆς. Ἐκεῖνος ἀκούσας λέγει αὐτῷ· Οὐδέν σοι ἄλλο εἶπεν ὁ Γέρων; Λέγει αὐτῷ· Οὐχί. Τότε λέγει· Οὐκέτι θέλω πωλῆσαι αὐτό.

Κατανυγεὶς δὲ ἦλθε πρὸς τὸν Γέροντα μετανοῶν καὶ παρακαλῶν αὐτὸν δέξασθαι αὐτό. Ὁ δὲ Γέρων οὐκ ἤθελε λαβεῖν. Τότε λέγει αὐτῷ ὁ ἀδελφός· Ἐὰν μὴ λάβῃς αὐτό, οὐκ ἔχω ἀνάπαυσιν. Λέγει αὐτῷ ὁ Γέρων· Εἰ οὐκ ἀναπαύῃ, ἰδοὺ δέχομαι αὐτό. Καὶ ἔμεινεν ὁ ἀδελφὸς ἐκεῖνος μετ᾽ αὐτοῦ ἕως τῆς τελευτῆς αὐτοῦ, ὠφεληθεὶς ἀπὸ τῆς ἐργασίας τοῦ Γέροντος.

Ὅταν ἦλθε κάποιος ξένος ἀδελφός καί ἐπισκέφθηκε τόν Γέροντα, μόλις τό εἶδε, τό ζήλεψε. Τό ἔκλεψε λοιπόν καί ἔφυγε. Ὁ Γέροντας ὅμως, παρόλο πού τό κατάλαβε, δέν τόν πῆρε ἀπό πίσω γιά νά τόν πιάσει. Ἔφυγε λοιπόν ἐκεῖνος στήν πόλη καί ἔψαχνε νά τό πουλήσει. Καί ὅταν βρῆκε αὐτόν πού ἤθελε νά τό ἀγοράσει, ζητοῦσε δεκαέξι νομίσματα. Αὐτός ὅμως πού ἤθελε νά τό ἀγοράσει τοῦ λέει: «Δῶσ᾽ μου το πρῶτα νά τό δῶ, ἄν εἶναι καλό, καί μετά σοῦ πληρώνω τήν ἀξία του». Τοῦ τό ᾽δωσε λοιπόν. Καί αὐτός τό πῆρε καί τό ἔφερε στόν ἀββᾶ Γελάσιο γιά νά τό ἐκτιμήσει, ἀφοῦ τοῦ εἶπε προηγουμένως καί τό ποσό πού ὅρισε ὁ πωλητής. Ὁ Γέροντας τοῦ λέει: «Ἀγόρασέ το, εἶναι καλό καί ἀξίζει γιά τήν τιμή πού σοῦ ἔχει πεῖ».

Ἀλλ᾽ ὅταν πῆγε ὁ ἄνθρωπος σ᾽ αὐτόν πού τό πουλοῦσε, τοῦ εἶπε ἄλλα, διαφορετικά ἀπ᾽αὐτά πού τοῦ εἶπε ὁ Γέροντας Γελάσιος. «Νά, τοῦ εἶπε, τό ἔδειξα στόν ἀββᾶ Γελάσιο καί μοῦ εἶπε ὅτι εἶναι ἀκριβό καί δέν ἀξίζει τήν τιμή πού εἶχες πεῖ». Ἐκεῖνος μόλις ἄκουσε, τοῦ εἶπε: «Τίποτε ἄλλο δέν σοῦ εἶπε ὁ Γέροντας;» Ὄχι, τοῦ ἀπάντησε. Τότε τοῦ εἶπε: «Δέν θέλω πιά νά τό πουλήσω».

Κατανύχθηκε καί ἦλθε στόν Γέροντα βάζοντάς του μετάνοια καί παρακαλώντας τον νά τό δεχθεῖ. Ἀλλ᾽ ὁ Γέροντας δέν ἤθελε νά τό πάρει. Καί ὁ ἀδελφός τοῦ εἶπε: «Ἐάν δέν τό πάρεις πίσω, δέν θά ἔχει ἀνάπαυση ἡ ψυχή μου». Τότε ὁ Γέροντας τοῦ λέει: «Ἐφόσον δέν ἀναπαύεσαι, νά, τό παίρνω». Καί ἔμεινε ἐκεῖνος ὁ ἀδελφός μαζί του μέχρι τόν θάνατό του, ὠφελημένος ἀπό τήν πνευματική ἐργασία[3] τοῦ Γέροντα.

---

3. Ἡ γνήσια κατά Θεόν ζωή τοῦ Γέροντα, ἡ ἁγιότητά του, ἡ ἐκδηλουμένη πάνω στήν καθημερινή πράξη, ἦταν αὐτή πού συνετάραξε τόν ἁμαρτήσαντα καί τόν ὁδήγησε στή μετάνοια.

3. Ὁ ἀββᾶς Εὐπρέπιος συλούμενος συνήργει αὐτοῖς. Μετὰ δὲ τὸ βαστάξαι αὐτοὺς τὰ ἔνδον κείμενα, καταλειψάντων αὐτῶν τὴν ῥάβδον αὐτοῦ, ὡς ταύτην ἐθεάσατο ὁ ἀββᾶς Εὐπρέπιος ἠχθέσθη καὶ λαβὼν ἀνέτρεχε βουλόμενος ἀποδοῦναι. Τῶν δὲ μὴ θελόντων δέξασθαι, ἀλλὰ δεδιότων μὴ ἄρα τι γέγονε, περιτυχὼν τισὶν ἠξίου ἀποδοῦναι δι᾿ αὐτῶν τὴν ῥάβδον τὴν αὐτὴν ὁδὸν ὁδευόντων.

4. Εἶπεν ὁ ἀββᾶς Ζήνων· Ὁ θέλων, ἵνα ταχὺ εἰσακούσῃ ὁ Θεὸς τῆς εὐχῆς αὐτοῦ, ἡνίκα ἀναστῇ καὶ ἐκτείνῃ τὰς χεῖρας αὐτοῦ πρὸς Θεόν, πρὸ πάντων καὶ πρὸ τῆς ἰδίας ψυχῆς ὑπὲρ τῶν ἐχθρῶν αὐτοῦ ἀπὸ ψυχῆς εὔξηται. Καὶ διὰ τοῦ τοιούτου κατορθώματος, εἴ τι ἂν παρακαλέσῃ τὸν Θεόν, ὑπακούει αὐτοῦ.

5. Ἦλθόν ποτε ἐπάνω τοῦ ἀββᾶ Θεοδώρου τρεῖς λησταί, καὶ οἱ δύο ἐκράτουν αὐτόν, ὁ δὲ εἷς ἐκουβάλει τὰ σκεύη αὐτοῦ. Ὡς δὲ ἐξήνεγκε τὰ βιβλία καὶ τὸν λεβίτωνα ἤθελε λαβεῖν, τότε λέγει αὐτοῖς ὁ Γέρων· Τοῦτον ἄφετε. Οἱ δὲ οὐκ ἤθελον, καὶ κινήσας τὰς χεῖρας αὐτοῦ ἔρριψε τοὺς δύο. Καὶ ἰδόντες ἐφοβήθησαν, καὶ λέγει αὐτοῖς ὁ Γέρων· Μηδὲν δειλιάσητε· ποιήσατε αὐτὰ εἰς τέσσαρα μέρη καὶ λάβετε τὰ τρία καὶ ἄφετε τὸ ἕν.

Καὶ οὕτως ἐποίησαν διὰ τὸ λαβεῖν τὸ μέρος αὐτοῦ, τὸν λεβίτωνα τὸν συνακτικόν.

6. Καθημένου ποτὲ τοῦ ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ ἔμπροσθεν τῆς ἐκκλησίας, ἐκύκλωσαν αὐτὸν οἱ ἀδελφοὶ καὶ

3. Ὁ ἀββᾶς Εὐπρέπιος βοηθοῦσε αὐτούς πού τοῦ ἔκλεβαν. Ἀφοῦ ξεσήκωσαν αὐτοί ὅλα ὅσα ὑπῆρχαν μέσα καί ἄφησαν τελικά μόνο τό μπαστούνι του, στενοχωρήθηκε μόλις τό εἶδε ὁ ἀββᾶς Εὐπρέπιος. Τό ἅρπαξε καί ἔτρεχε ἀπό πίσω τους γιά νά τούς τό δώσει. Ἐπειδή ὅμως αὐτοί δέν ἤθελαν νά τό πάρουν, ἀπό φόβο μήπως συνέβη κάτι, μόλις συνάντησε κάποιους πού βάδιζαν τόν ἴδιο δρόμο μέ τούς κλέφτες, τούς παρακάλεσε ἐπίμονα νά πάρουν τό ραβδί καί νά τούς τό δώσουν.

4. Εἶπε ὁ ἀββᾶς Ζήνων*: «Ἐκεῖνος πού θέλει ν᾿ ἀκούσει γρήγορα ὁ Θεός τήν προσευχή του, μόλις σταθεῖ ὄρθιος καί ὑψώσει τά χέρια του γιά νά προσευχηθεῖ πρός τόν Θεό, πρίν ἀπ᾿ ὅλα καί προτοῦ ἀκόμα εὐχηθεῖ γιά τή δική του ψυχή, ἄς προσευχηθεῖ ἀπ᾿ τά κατάβαθα τῆς ψυχῆς του γιά τούς ἐχθρούς του. Καί μ᾿ αὐτή του τήν πράξη, γιά ὅ,τι κι ἄν παρακαλέσει τόν Θεό, θά εἰσακουσθεῖ».

5. Κάποτε ἐπιτέθηκαν στόν ἀββᾶ Θεόδωρο τρεῖς ληστές. Καί οἱ μέν δύο τόν κρατοῦσαν, ἐνῶ ὁ τρίτος κουβαλοῦσε τά πράγματά του. Μόλις ὅμως ἔβγαλε ἔξω τά βιβλία καί ἤθελε νά πάρει καί τό ράσο, γυρίζει ὁ Γέροντας καί τούς λέει: «Αὐτό ἀφῆστε το». Αὐτοί ὅμως δέν ἤθελαν, καί μέ μιά κίνηση τῶν χεριῶν του ἔριξε κάτω καί τούς δύο. Αὐτοί, ὅταν εἶδαν αὐτό, τρόμαξαν, ὁπότε καθησυχάζοντάς τους λέει ὁ Γέροντας: «Μήν ταράζεσθε καθόλου. Χωρίστε τα αὐτά σέ τέσσερα μέρη, πάρτε τά τρία καί ἀφῆστε μου τό ἕνα».

Πράγματι ἔτσι ἔκαναν γιά νά πάρει τό ἀναλογοῦν μερίδιο, δηλαδή τό ράσο πού φοροῦσε στίς συνάξεις.

6. Ἐνῶ καθόταν κάποτε ὁ ἀββᾶς Ἰωάννης* ὁ Κολοβός μπροστά ἀπό τήν ἐκκλησία, τόν περιτριγύρισαν οἱ ἀδελφοί

ἐξήταζον αὐτῷ τοὺς λογισμοὺς αὐτῶν. Καὶ ἰδών τις τῶν Γερόντων καὶ πολεμηθεὶς εἰς φθόνον λέγει αὐτῷ· Τὸ βαυκάλιόν σου, Ἰωάννη, φαρμάκων γέμει. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἰωάννης. Οὕτως ἐστίν, ἀββᾶ. Καὶ τοῦτο εἶπες, ὅτι τὰ ἔξω βλέπεις μόνον. Εἰ δὲ ἔβλεπες τὰ ἔσω, τί εἶχες εἰπεῖν;

7. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰσιδώρου τοῦ πρεσβυτέρου τῆς Σκήτεως, ὅτι εἴ τις εἶχεν ἀδελφὸν ἀσθενῆ ἢ ὀλίγωρον ἢ ὑβριστὴν καὶ ἤθελε βαλεῖν αὐτὸν ἔξω, ἔλεγε· Φέρετε αὐτὸν ὧδε. Καὶ ἐλάμβανεν αὐτὸν καὶ διὰ τῆς μακροθυμίας ἔσωζεν αὐτόν.

8. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν περὶ τοῦ ἀββᾶ Ἰσιδώρου ὅτι, ὅταν ἐλάλει πρὸς τοὺς ἀδελφοὺς ἐν τῇ ἐκκλησίᾳ, τοῦτο μόνον τὸ ῥῆμα ἔλεγεν· Ἀδελφοί, ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν.

9. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ Πέρσου ὅτι κακούργων αὐτῷ ἐπιστάντων νιπτῆρα προσέφερε καὶ ἠξίου τοὺς πόδας αὐτῶν νίπτειν. Κἀκεῖνοι αἰδεσθέντες μετανοεῖν ἤρξαντο.

10. Ἔλεγον περὶ τοῦ μικροῦ Ἰωάννου τοῦ Θηβαίου, μαθητοῦ τοῦ ἀββᾶ Ἀμμώη, ὅτι δώδεκα ἔτη ἐποίησεν ὑπηρετῶν τῷ Γέροντι, ὅτε ἠσθένει, καὶ μετὰ ταῦτα ἦν εἰς τὸ χαράδριον καθήμενος. Καὶ ὀλιγώρει ὁ Γέρων ἐπάνω αὐτοῦ. Καὶ πολλὰ κοπιῶντα, οὐδέποτε εἶπεν αὐτῷ· Σωθείης. Ὅτε δὲ ἔμελλε τελευτᾶν, καθεζομένων τῶν Γερόντων ἐκράτησε τὴν χεῖρα αὐτοῦ καὶ λέγει αὐτῷ· Σωθείης, σωθείης, σωθείης. Καὶ παρέ-

καί τοῦ ἐμπιστεύονταν τούς λογισμούς τους. Τόν εἶδε κάποιος ἀπ' τούς Γέροντες καί ἐπειδή πολεμήθηκε ἀπό φθόνο, τοῦ εἶπε: «Τό κανάτι σου, Ἰωάννη, εἶναι γεμάτο δηλητήριο». Καί ὁ ἀββᾶς Ἰωάννης τοῦ εἶπε: «Ἔτσι εἶναι, ἀββᾶ. Καί αὐτό τό εἶπες, γιατί βλέπεις μόνο τά ἔξω. Καί τί δέν θά εἶχες ἀκόμη νά πεῖς, ἄν ἔβλεπες καί τά μέσα;»

7. Ἔλεγαν γιά τόν ἀββᾶ Ἰσίδωρο*, τόν πρεσβύτερο τῆς Σκήτης, πώς, ἐάν κάποιος εἶχε ἀδελφό ψυχικά ἀδύνατο ἤ ἀδιάφορο ἤ αὐθάδη καί ἤθελε νά τόν διώξει, ἔλεγε: «Φέρτε τον ἐδῶ». Τόν ἔπαιρνε κοντά του καί μέ τήν μακροθυμία του τόν ἔσωζε.

8. Εἶπε ὁ ἀββᾶς Ποιμήν* γιά τόν ἀββᾶ Ἰσίδωρο ὅτι, ὅταν μιλοῦσε στούς ἀδελφούς στήν ἐκκλησία, αὐτόν τόν λόγο μόνο ἔλεγε: «Ἀδελφοί, συγχωρῆστε καί θά συγχωρηθοῦν καί οἱ δικές σας ἁμαρτίες[4]».

9. Ἔλεγαν γιά τόν ἀββᾶ Ἰωάννη τόν Πέρση πώς, ὅταν τοῦ ἐπιτέθηκαν κακοῦργοι, τούς ἔβγαλε λεκάνη καί ἤθελε νά τούς πλένει τά πόδια. Κι ἐκεῖνοι ἀπό σεβασμό καί ντροπή ἄρχισαν νά μετανιώνουν.

10. Ἔλεγαν γιά τόν μικρό Ἰωάννη τόν Θηβαῖο, πού ὑπῆρξε μαθητής τοῦ ἀββᾶ Ἀμμώη, ὅτι δώδεκα χρόνια ὑπηρέτησε τόν Γέροντα, ὅταν ἦταν ἄρρωστος. Καί μετά τήν ὑπηρεσία του καθόταν σέ μιά ψάθα. Ὁ Γέροντας σάν νά ἀδιαφοροῦσε γι' αὐτόν. Ἐνῶ ἔκανε πολλούς κόπους, καμιά φορά δέν τοῦ εἶπε: «Εἴθε νά σωθεῖς». Ὅταν πλησίαζε τό τέλος του κι ἐνῶ κάθονταν γύρω του οἱ Γέροντες, τοῦ κράτησε ὁ Γέροντάς του τό χέρι του καί τοῦ εἶπε: «Εἴθε νά σωθεῖς,

4. Ματθ. 6, 14.

δωκεν αὐτὸν τοῖς Γέρουσι λέγων· Οὗτος ἄγγελός ἐστι καὶ οὐκ ἄνθρωπος.

11. Ἔλεγον περὶ τοῦ ἀββᾶ Λογγίνου ὅτι διεβλήθη ποτέ τις τῶν μαθητῶν αὐτοῦ, ἵνα διώξῃ αὐτόν. Ἐλθόντες δὲ οἱ περὶ τὸν ἀββᾶν Θεόδωρον εἶπον αὐτῷ· Ἀββᾶ, ἀκούομεν περὶ τοῦ ἀδελφοῦ τούτου τί ποτε πρᾶγμα. Καὶ εἰ κελεύεις, λαμβάνομεν αὐτὸν ἀπὸ σοῦ καὶ φέρομέν σοι καλὸν ἀδελφόν. Ὁ δὲ Γέρων εἶπεν αὐτοῖς· Ἐγὼ οὐ διώκω αὐτόν, ἀναπαύει γάρ με. Ὡς δὲ ἤκουσε τὴν αἰτίαν ὁ Γέρων, εἶπεν· Οὐαί μοι, ὅτι ἐρχόμεθα ὧδε ἄγγελοι γενέσθαι καὶ γινόμεθα ἄλογα, ἀκάθαρτα ζῶα.

12. Ὁ ἀββᾶς Μακάριος ὁ ἐν Αἰγύπτῳ εὗρεν ἄνθρωπον ἔχοντα κτῆνος καὶ συλοῦντα τὰ σκεύη αὐτοῦ. Καὶ αὐτὸς ὡς ξένος παραστὰς τῷ συλοῦντι συνεγέμου τὸ κτῆνος καὶ μετὰ πολλῆς ἡσυχίας προέπεμπεν αὐτὸν λέγων· Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. Ὁ Κύριος ἔδωκεν, ὡς αὐτὸς ἠθέλησεν, οὕτω καὶ ἐγένετο. Εὐλογητὸς Κύριος ἐπὶ πᾶσιν.

13. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου ὅτι ἀπόντος αὐτοῦ εἰσῆλθε ληστὴς εἰς τὸ κελλίον αὐτοῦ. Παραγενομένου δὲ αὐτοῦ εἰς τὸ κελλίον εὗρε τὸν ληστὴν γεμίζοντα τὴν κάμηλον τὰ σκεύη αὐτοῦ. Αὐτὸς δὲ εἰσελθὼν εἰς τὸ κελλίον ἐλάμβανεν ἀπὸ τῶν σκευῶν καὶ συνεγέμιζε μετ᾽ αὐτοῦ τὴν κάμηλον.

Ὡς οὖν ἐγέμισαν, ἤρξατο ὁ ληστὴς τύπτειν τὴν κάμηλον,

---

5. Α´ Τιμ. 6, 7. 6. Ἰώβ 1, 21.

νά σωθεῖς, νά σωθεῖς». Καί παραδίδοντάς τον στούς Γέροντες εἶπε: «Αὐτός εἶναι ἄγγελος καί ὄχι ἄνθρωπος».

11. Ἔλεγαν γιά τόν ἀββᾶ Λογγίνο ὅτι τοῦ κατηγόρησαν κάποτε ἕναν ἀπό τούς μαθητές του, ὥστε νά ἀναγκασθεῖ νά τόν διώξει. Ὅταν ἦλθαν κάποιοι ἀπ᾽ τή συνοδία τοῦ ἀββᾶ Θεοδώρου, τοῦ εἶπαν: «Ἀββᾶ, κάτι ἄσχημο ἀκοῦμε γιά τόν ἀδελφό αὐτόν καί ἄν συμφωνεῖς, τόν παίρνουμε ἀπό σένα καί σοῦ φέρνουμε ἕναν καλό ἀδελφό». Κι ὁ Γέροντας εἶπε: «Ἐγώ δέν τόν διώχνω, γιατί μέ ἀναπαύει». Ἀλλά μόλις ἔμαθε τήν αἰτία, εἶπε: «Ἀλίμονό μου, ἐρχόμαστε ἐδῶ γιά νά γίνουμε ἄγγελοι καί γινόμαστε ἄλογα καί βρωμερά ζῶα».

12. Ὁ ἀββᾶς Μακάριος* ὁ Αἰγύπτιος πέτυχε στό κελί του κάποιον μέ τό ζῶο του πού τοῦ ἔκλεβε τό νοικοκυριό του. Καί ἀμέσως καί ὁ ἴδιος σάν κάποιος περαστικός στάθηκε καί βοηθοῦσε τόν κλέφτη φορτώνοντας μαζί του τό ζῶο· καί ὕστερα τόν κατευόδωνε πολύ ἤρεμα λέγοντάς του: «Ὅταν γεννηθήκαμε δέν φέραμε τίποτε στόν κόσμο καί εἶναι φανερό πώς καί τίποτε δέν θά μπορέσουμε νά πάρουμε μαζί μας[5]. Ὁ Κύριος τά ἔδωσε καί ὅπως Αὐτός θέλησε, ἔτσι καί ἔγινε. Ἄς εἶναι εὐλογημένο τό ὄνομά Του γιά ὅλα[6]».

13. Ἔλεγαν γιά τόν ἀββᾶ Μακάριο ὅτι κάποια φορά, πού ἔλειπε ὁ ἴδιος, μπῆκε ἕνας ληστής στό κελί του. Ὅταν γύρισε ὁ ἀββᾶς, βρῆκε τόν ληστή νά φορτώνει στήν καμήλα τά σκεύη του. Μπῆκε καί ὁ ἴδιος στό κελί του καί ἔπαιρνε ἀπ᾽ τά σκεύη του καί τά φόρτωνε μαζί μέ τόν κλέφτη στήν καμήλα.

Ἀφοῦ λοιπόν τά φόρτωσαν ὅλα, ἄρχισε ὁ ληστής νά χτυπᾶ τήν καμήλα γιά νά σηκωθεῖ, ἀλλ᾽ αὐτή δέν σηκωνό-

ἵνα ἀναστῇ, καὶ οὐκ ἠγείρετο. Ἰδὼν δὲ ὁ ἀββᾶς Μακάριος ὅτι οὐκ ἠγείρετο εἰσελθὼν ἐν τῷ κελλίῳ εὗρε μικρὸν σκαλίδιν καὶ ἐκβαλὼν ἐπέθηκε τῇ καμήλῳ λέγων· ᾿ Αδελφέ, τοῦτο ζητεῖ ἡ κάμηλος. Καὶ κρούσας αὐτὴν ὁ Γέρων τῷ ποδὶ λέγει· Ἀνάστα. Καὶ εὐθέως ἀνέστη καὶ ἀπῆλθε μικρὸν διὰ τὸν λόγον αὐτοῦ καὶ πάλιν ἐκάθισε καὶ οὐκ ἀνέστη, ἕως ἀπεγέμισαν ὅλα τὰ σκεύη, καὶ οὕτως ἀπῆλθε.

14. Γενομένου ποτὲ συνεδρίου ἐν τῇ Σκήτει, θέλοντες οἱ Πατέρες δοκιμάσαι τὸν ἀββᾶν Μωυσῆν ἐξουδένωσαν αὐτὸν λέγοντες· Τί καὶ ὁ Αἰθίοψ οὗτος ἔρχεται εἰς τὸ μέσον ἡμῶν; Ὁ δὲ ἀκούσας ἐσιώπησε. Μετὰ δὲ τὸ ἀπολῦσαι αὐτοὺς λέγουσιν αὐτῷ· Ἀββᾶ, ἄρτι οὐκ ἐταράχθης; Λέγει αὐτοῖς· Ἐταράχθην, ἀλλ᾿ οὐκ ἐλάλησα.

15. Διηγήσατο περὶ τοῦ ἀββᾶ Μωτίου ὁ ἀββᾶς Ἰσαάκ, ὁ μαθητὴς αὐτοῦ –ἀμφότεροι δὲ ἐγένοντο ἐπίσκοποι– ὅτι πρῶτον ᾠκοδόμησεν ὁ Γέρων μοναστήριον εἰς τὸ Ἡράκλειον καί, ὡς ἀνεχώρησεν ἐκεῖθεν, ἀπῆλθεν εἰς ἕτερον τόπον καὶ ᾠκοδόμησεν ἐκεῖ πάλιν. Καὶ κατ᾿ ἐνέργειαν τοῦ διαβόλου εὑρέθη ἀδελφός τις ἐχθραίνων αὐτῷ καὶ θλίβων αὐτόν. Καὶ ἀναστὰς ὁ Γέρων ἀνεχώρησεν εἰς τὴν ἰδίαν κώμην καὶ ἐποίησεν ἑαυτῷ μοναστήριον καὶ ἐνέκλεισεν ἑαυτόν.

Καὶ μετὰ χρόνον ἦλθον οἱ Γέροντες τοῦ τόπου, ὅθεν ἐξῆλθε, λαβόντες καὶ τὸν ἀδελφόν, ὅπου εἶχε πρὸς αὐτὸν τὴν λύπην καὶ ἀπῆλθον παρακαλέσαι αὐτόν, ἵνα ἐνέγκωσιν αὐτὸν εἰς τὴν μονὴν αὐτοῦ. Ὡς δὲ ἤγγισαν, ὅπου ἦν ὁ ἀββᾶς Σώρης, ἀφῆκαν τὰ μηλωτάρια αὐτῶν ἐγγὺς αὐτοῦ καὶ τὸν ἀδελφὸν τὸν ἔχοντα τὴν λύπην. Καὶ ὡς ἔκρουσαν, βάλλει ὁ

ταν. Ὅταν εἶδε ὁ ἀββᾶς Μακάριος ὅτι δέν σηκωνόταν, ξαναμπῆκε στό κελί καί βρῆκε ἕνα σκαλιστηράκι. Τό ἔβαλε κι αὐτό πάνω στήν καμήλα καί εἶπε: «Ἀδελφέ, αὐτό ζητοῦσε ἡ καμήλα». Καί ἀφοῦ τήν χτύπησε μέ τό πόδι του ὁ Γέροντας, εἶπε: «Σήκω». Καί ἀμέσως σηκώθηκε καί προχώρησε λίγο ὑπακούοντας στόν λόγο του. Ἀλλά καί πάλι κάθισε καί δέν σηκώθηκε, ὥσπου ξεφόρτωσαν ὅλα τά σκεύη καί ἔτσι ἔφυγε.

14. Κάποτε πού συνεδρίαζαν οἱ Πατέρες στή Σκήτη, θέλοντας νά δοκιμάσουν τόν ἀββᾶ Μωυσῆ*, τόν ἐξευτέλισαν λέγοντας: «Τί καί αὐτός ὁ ἀράπης ἔρχεται ἀνάμεσά μας;» Κι αὐτός, ὅταν τ᾿ ἄκουσε, σώπασε. Ἀργότερα, ὅταν διαλύθηκαν αὐτοί, τοῦ εἶπαν: «Ἀλήθεια, ἀββᾶ, δέν ταράχτηκες;» Τούς ἀπάντησε: «Ταράχτηκα, ἀλλά δέν μίλησα».

15. Διηγήθηκε γιά τόν ἀββᾶ Μώτιο ὁ ἀββᾶς Ἰσαάκ, ὁ μαθητής του –καί οἱ δύο ἔγιναν ἀργότερα ἐπίσκοποι– ὅτι στήν ἀρχή ἔφτιαξε ὁ Γέροντας μοναστήρι στό Ἡράκλειο καί ὅταν ἀνεχώρησε ἀπό κεῖ, πῆγε σ᾿ ἄλλον τόπο καί ἔκανε κι ἐκεῖ μοναστήρι. Ἀλλά κατ᾿ ἐνέργειαν τοῦ διαβόλου βρέθηκε κάποιος ἀδελφός πού τόν ἐχθρευόταν καί τόν στενοχωροῦσε. Σηκώνεται λοιπόν ὁ Γέροντας καί φεύγει στό χωριό του, ὅπου φτιάχνει ἕνα μοναστήρι γιά τόν ἑαυτό του καί ἀρχίζει νά ζεῖ ὡς ἔγκλειστος.

Μετά ἀπό κάποιο χρονικό διάστημα ἦλθαν οἱ Γέροντες τοῦ τόπου ἀπ᾿ ὅπου ἔφυγε ὁ ἀββᾶς Μώτιος, πῆραν μαζί τους καί τόν ἀδελφό, πού ἐξαιτίας του ἦταν λυπημένος ὁ ἀββᾶς, καί πῆγαν νά τόν παρακαλέσουν γιά νά ἐπιστρέψει μαζί τους στό μοναστήρι του. Ὅταν πλησίασαν στό σημεῖο πού βρισκόταν ὁ ἀββᾶς Σώρης, ἄφησαν τά ἐπανωφόρια τους σ᾿ αὐτόν, μαζί καί τόν ἀδελφό πού ἦταν λυπημένος. Σάν χτύπησαν τήν πόρτα τοῦ Γέροντα, ἔβαλε ὁ

Γέρων τὸ κλιμάκιον καὶ παρακύπτει καὶ γνωρίζει αὐτοὺς καὶ λέγει· Ποῦ τὰ μηλωτάρια ὑμῶν; Οἱ δὲ εἶπον· Ἰδοὺ ὧδε μετὰ τοῦδε τοῦ ἀδελφοῦ.

Ὡς δὲ ἤκουσε τὸ ὄνομα τοῦ ἀδελφοῦ τοῦ λυπήσαντος αὐτὸν ὁ Γέρων, ἀπὸ χαρᾶς ἔβαλε πέλεκυν καὶ κατέστρεψε τὴν θύραν καὶ ἐξῆλθε τρέχων, ὅπου ἦν ὁ ἀδελφός. Καὶ ἔβαλεν αὐτῷ μετάνοιαν πρῶτος καὶ ἠσπάσατο αὐτόν. Καὶ εἰσήνεγκεν αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ ἐπὶ τρεῖς ἡμέρας εὔφρανεν αὐτοὺς καὶ ἦν καὶ αὐτὸς μετ᾽ αὐτῶν, ὅπερ οὐκ εἶχε συνήθειαν ποιεῖν. Καὶ ἀναστὰς ἐπορεύθη μετ᾽ αὐτῶν. Καὶ μετὰ ταῦτα ἐπίσκοπος γέγονεν· ἦν γὰρ σημειοφόρος. Καὶ τὸν μαθητὴν αὐτοῦ ἐποίησεν ἐπίσκοπον ὁ μακάριος Κύριλλος, τὸν ἀββᾶν Ἰσαάκ.

16. Ἔσχε Παΐσιος, ὁ ἀδελφὸς τοῦ ἀββᾶ Ποιμένος, σχέσιν μετά τινος ἔξω τοῦ κελλίου αὐτοῦ. Ὁ δὲ ἀββᾶς Ποιμὴν οὐκ ἤθελε. Καὶ ἀναστὰς ἔφυγε πρὸς τὸν ἀββᾶν Ἀμμωνᾶν καὶ λέγει αὐτῷ· Παΐσιος ὁ ἀδελφός μου ἔχει πρός τινα σχέσιν, καὶ οὐκ ἀναπαύομαι. Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀμμωνᾶς· Ποιμήν, ἀκμὴν ζῇς; ὕπαγε κάθου εἰς τὸ κελλίον σου καὶ θὲς εἰς τὴν καρδίαν σου ὅτι ἤδη ἔχεις ἐνιαυτὸν ἐν τῷ μνήματι.

17. Εἶπεν ὁ ἀββᾶς Ποιμήν· Πᾶς κόπος ὅς, ἐὰν ἐπέλθῃ σοι, ἡ νίκη αὐτοῦ ἐστι τὸ σιωπᾶν.

18. Εἶπε πάλιν· Ἡ πονηρία τὴν πονηρίαν οὐδαμῶς ἀναιρεῖ· ἀλλὰ ἐάν τίς σε κακοποιήσῃ, εὖ ποίησον αὐτῷ, ἵνα διὰ τῆς ἀγαθοποιΐας ἀνέλῃς τὴν πονηρίαν.

Γέροντας τή σκαλίτσα καί σκύβοντας τούς γνώρισε καί εἶπε: «Ποῦ εἶναι τά ἐπανωφόρια σας;» Κι αὐτοί ἀπάντησαν: «Νά ἐδῶ μαζί μέ τόν τάδε ἀδελφό».

Μόλις ἄκουσε ὁ Γέροντας τό ὄνομα τοῦ ἀδελφοῦ, πού ἐξαιτίας του εἶχε λυπηθεῖ, ἀπό τή χαρά του πιάνει τό τσεκούρι, χαλάει τήν πόρτα του καί βγαίνει τρέχοντας πρός τό μέρος πού βρισκόταν ὁ ἀδελφός. Πρῶτος βάζει αὐτός μετάνοια, τόν ἀσπάζεται καί τόν φέρνει στό κελί του. Καί ἐπί τρεῖς ἡμέρες τούς περιποιήθηκε καί ὁ ἴδιος ἦταν μαζί τους, πράγμα πού δέν συνήθιζε νά τό κάνει. Καί τελικά σηκώθηκε ὁ Γέροντας καί πῆγε μαζί τους. Ὕστερα ἀπ᾽ αὐτά ἔγινε ἐπίσκοπος, γιατί ἔκανε καί θαύματα. Ἐπίσης καί τόν μαθητή του, τόν ἀββᾶ Ἰσαάκ, τόν ἔκανε ἐπίσκοπο ὁ μακαριστός Κύριλλος.


16. Ὁ Παΐσιος, ὁ ἀδελφός τοῦ ἀββᾶ Ποιμένος, σχετιζόταν μέ κάποιον πού ἔμενε ἔξω ἀπ᾽ τό κελί του, πράγμα πού δέν τό ἤθελε ὁ ἀββᾶς Ποιμήν. Σηκώθηκε λοιπόν ὁ ἀββᾶς Ποιμήν καί πάει στόν ἀββᾶ Ἀμμωνᾶ* καί τοῦ λέει: «Ὁ ἀδελφός μου, ὁ Παΐσιος, ἔχει σχέσεις μέ κάποιον καί αὐτό δέν μέ ἀναπαύει». Καί τοῦ ἀπαντᾶ ὁ ἀββᾶς Ἀμμωνᾶς: «Ποιμήν, ἀκόμα ζῇς; Πήγαινε κάθισε στό κελί σου καί βάλε στά κατάβαθα τῆς καρδιᾶς σου ὅτι ἔχεις ἤδη ἕναν χρόνο πού εἶσαι μέσα στό μνῆμα».

17. Εἶπε ὁ ἀββᾶς Ποιμήν*: «Ὁποιαδήποτε ταλαιπωρία κι ἄν πέσει ἐπάνω σου, θά τή νικήσεις μέ τή σιωπή».

18. Ἀκόμα εἶπε: «Ἡ πονηρία δέν ἐξουδετερώνει καθόλου τήν πονηρία, ἀλλά, ἐάν κάποιος σοῦ κάνει κακό, ἐσύ εὐεργέτησέ τον, γιά νά ἐξαφανίσεις τήν κακία μέ τά καλά ἔργα».



Τό ὄρος Θαβώρ



Ἄποψη τοῦ ποταμοῦ Ἰορδάνη

19. Ἤκουσεν ὁ ἀββᾶς Ποιμὴν περί τινος ἕλκοντος τὰς ἕξ, διότι ὠργίζετο. Ὁ δὲ Γέρων εἶπεν· Ἔμαθεν αἴρειν τὰς ἓξ καὶ οὐκ ἔμαθεν ἐκβάλλειν τὴν ὀργήν.

20. Ὁ μακάριος Πίωρ ἐργασάμενος εἰς τὸ θέρος παρά τινι ὑπεμίμνησκε τὸν μισθὸν λαβεῖν. Τοῦ δὲ ὑπερτιθεμένου, εἰς τὴν μονὴν ἐπανῆλθε. Πάλιν τοῦ καιροῦ καλέσαντος, θερίσας παρ᾽ αὐτῷ καὶ προθύμως ἐργασάμενος οὐδὲν ἐκείνου παρασχόντος ἐπανῆλθεν εἰς τὴν μονὴν αὐτοῦ. Τοῦ δὲ τρίτου συμπληρωθέντος ἔτους τὴν συνήθη ἐργασίαν τελέσας ὁ Γέρων ἀνεχώρησε μηδὲν λαβών. Καὶ τοῦ Κυρίου ἐτάσαντος τὸν ἐκείνου οἶκον, ἐπιφερόμενος τὸν μισθὸν εἰς τὰ μοναστήρια περιῆγε ζητῶν τὸν ἅγιον. Καὶ μόλις αὐτὸν εὑρὼν προσέπεσε τοῖς ποσὶν αὐτοῦ καὶ ἀποδιδοὺς ἔφασκεν ὅτι ἐμοὶ ὁ Κύριος ἀπέδωκεν. Ὁ δὲ ἐπέτρεψε παρασχεῖν αὐτὰ εἰς τὴν ἐκκλησίαν τῷ πρεσβυτέρῳ.

21. Ὁ ἀββᾶς Παῦλος ὁ κοσμίτης καὶ Τιμόθεος ὁ ἀδελφὸς αὐτοῦ ἐκαθέζοντο ἐν τῇ Σκήτει. Καὶ πολλαχῶς ἐγίνετο μεταξὺ αὐτῶν ἀντιλογία. Λέγει ὁ ἀββᾶς Παῦλος· Ἕως πότε μένομεν οὕτω; Λέγει αὐτῷ ὁ ἀββᾶς Τιμόθεος· Ποίησον ἀγάπην, ὅταν ἔρχωμαι ἐπάνω σου, βάσταξόν με, καὶ ὅταν ἔρχῃ καὶ σὺ ἐπάνω μου, βαστάζω σε κἀγώ. Καὶ ποιήσαντες οὕτως ἀνεπάησαν τὰς ἐπιλοίπους αὐτῶν ἡμέρας.

22. Ἀδελφὸς ἀδικηθεὶς ὑπὸ ἑτέρου ἀδελφοῦ ἦλθε πρὸς τὸν ἀββᾶν Σισόην καὶ λέγει αὐτῷ· Ἠδικήθην παρά τινος

7. Κοσμῆται λέγονταν ὅσοι ἀδελφοί εἶχαν τό διακόνημα νά εὐτρεπίζουν τόν χῶρο τῆς Μονῆς. Βλ. Μ. Γερ. τ. Α΄, σελ. 273, ἀπόφθ. 49, σημ. 22.

19. Ἄκουσε ὁ ἀββᾶς Ποιμήν γιά κάποιον πού ἔτρωγε κάθε ἕξι ἡμέρες, διότι ὀργιζόταν. Καί εἶπε ὁ Γέροντας: «Ἔμαθε νά σηκώνει τό βάρος τῆς νηστείας τῶν ἕξ ἡμερῶν καί δέν ἔμαθε νά διώχνει τήν ὀργή του»

20. Ὁ μακαριστός Πίωρ*, ἀφοῦ ἐργάστηκε στό χωράφι κάποιου θερίζοντας, τοῦ θύμιζε ὅτι ἔχει νά πάρει μισθό. Ἐπειδή ὅμως ἐκεῖνος ἀνέβαλλε συνεχῶς, γύρισε πίσω στό μοναστήρι. Πάλι ὅταν ἦλθε ὁ καιρός, ἀφοῦ θέρισε στό χωράφι του καί ἐργάστηκε μέ προθυμία, γύρισε πίσω στό μοναστήρι χωρίς νά πάρει τίποτε. Καί τήν ἑπόμενη τρίτη χρονιά, ἀφοῦ τελείωσε τή συνηθισμένη ἐργασία ὁ Γέροντας, ἔφυγε πάλι χωρίς νά πληρωθεῖ. Καί ὅταν ὁ Κύριος ἔστειλε μία δοκιμασία στό σπιτικό τοῦ ἀφεντικοῦ του, πῆρε τόν μισθό καί γύριζε στά μοναστήρια ψάχνοντας νά βρεῖ τόν ἅγιο. Μόλις τόν βρῆκε ἔπεσε στά πόδια του καί δίνοντας τό χρέος ἔλεγε: Ἐμένα μέ πλήρωσε ὁ Κύριος. Ἐκεῖνος ὅμως (ὁ ἀββᾶς Πίωρ) τόν ἔστειλε νά τά δώσει αὐτά στόν ἱερέα γιά τήν Ἐκκλησία.

21. Ὁ ἀββᾶς Παῦλος ὁ κοσμήτης[7] καί ὁ Τιμόθεος ὁ ἀδελφός του ἔμειναν μαζί στή Σκήτη καί πολλές φορές μάλωναν μεταξύ τους. Εἶπε λοιπόν ὁ ἀββᾶς Παῦλος: «Ἕως πότε θά 'μαστε ἔτσι;» Καί τοῦ λέει ὁ ἀββᾶς Τιμόθεος: «Κάνε ἀγάπη καί ὅταν σοῦ ἐπιτίθεμαι νά μέ ὑπομένεις· καί ὅταν κι ἐσύ μοῦ ἐπιτίθεσαι, θά ὑπομένω κι ἐγώ ἐσένα». Καί κάνοντας ἔτσι εἶχαν ἀνάπαυση τίς ὑπόλοιπες ἡμέρες τῆς ζωῆς τους.

22. Κάποιος ἀδελφός, πού ἀδικήθηκε ἀπό ἄλλον ἀδελφό, ἦλθε στόν ἀββᾶ Σισόη* καί τοῦ εἶπε: «Ἀδικήθηκα ἀπό

ἀδελφοῦ κἀγὼ θέλω ἐμαυτὸν ἐκδικῆσαι. Ὁ δὲ Γέρων παρεκάλει αὐτὸν λέγων· Μὴ τέκνον, κατάλειψον δὲ μᾶλλον τῷ Θεῷ τὰ τῆς ἐκδικήσεως. Ὁ δὲ ἔλεγεν· Οὐ παύσομαι ἕως οὗ ἐκδικήσω ἐμαυτόν. Εἶπε δὲ ὁ Γέρων· Εὐξώμεθα, ἀδελφέ. Καὶ ἀναστὰς εἶπεν ὁ Γέρων· Ὁ Θεός, οὐκέτι σου ἔχομεν χρείαν φροντίζειν περὶ ἡμῶν. Ἡμεῖς γὰρ τὴν ἐκδίκησιν ἑαυτῶν ποιοῦμεν. Τοῦτο οὖν ἀκούσας ὁ ἀδελφὸς ἔπεσε παρὰ τοὺς πόδας τοῦ Γέροντος εἰπών· Οὐκέτι δικάζομαι μετὰ τοῦ ἀδελφοῦ, συγχώρησόν μοι, ἀββᾶ.

23. Περὶ δὲ Σπυρίδωνος, τοσαύτη τῷ ποιμένι προσῆν ὁσιότης, ὡς ἀξιωθέντα αὐτὸν καὶ ἀνθρώπων ποιμένα γενέσθαι μιᾶς τῶν ἐν Κύπρῳ πόλεων ὀνόματι Τριμυθούντων. Οὗτος τὴν ἐπισκοπὴν ἐκεκλήρωτο, διὰ δὲ ἀτυφίαν πολλὴν ἐχόμενος τῆς ἐπισκοπῆς ἐποίμαινε καὶ τὰ πρόβατα.

Μεσούσης δὲ τῆς νυκτὸς κλέπται τῇ μάνδρᾳ τῶν προβάτων λαθραίως ἐπελθόντες κλέψαι τῶν προβάτων ἐσπούδαζον. Ὁ δὲ Θεὸς ὁ τὸν ποιμένα σῴζων καὶ τὰ πρόβατα ἔσῳζεν. Οἱ γὰρ κλέπται ἀοράτῳ δυνάμει παρὰ τῇ μάνδρᾳ ἐδέδεντο. Ὄρθρος δὲ ἦν. Καὶ ἦν ὁ ποιμὴν παρὰ τὰ πρόβατα. Ὡς δὲ εὗρεν ὀπίσω τὰς χεῖρας ἔχοντας, ἔγνω τὸ γεγονός. Καὶ εὐξάμενος λύει τοὺς κλέπτας, πολλὰ δὲ νουθετήσας καὶ παραινέσας αὐτοὺς ἐκ δικαίου πόρου σπουδάζειν μᾶλλον καὶ μὴ ἐξ ἀδικίας ζῆν, καὶ ἕνα κριὸν αὐτοῖς χαρισάμενος ἀπέλυσε. Καὶ χαριέντως ἐπιφθεγξάμενος εἶπεν· Ἵνα μὴ μάτην ἠγρυπνηκότες φανῆτε.

8. Τριμυθοῦς ἢ Τρεμεθοῦσα ἢ Τρεμετοῦσα καί Τρεμετουσιά, κωμόπολη στήν ἐπαρχία Λάρνακας, πού ὑπῆρξε ἐπισκοπική ἕδρα τοῦ ἁγ. Σπυρίδωνα καί ἐπέζησε μέχρι τόν 10ο αἰ.

κάποιον ἀδελφό καί θέλω νά πάρω πίσω τό δίκιο μου». Ὁ Γέροντας ὅμως τόν παρακαλοῦσε λέγοντας: «Μή, τέκνον, καλύτερα ἄφησέ το στόν Θεό τό θέμα τοῦ δίκιου σου». Κι ἐκεῖνος ἐπέμεινε: «Δέν θά σταματήσω τήν ὑπόθεση, ὥσπου νά πάρω τό δίκιο μου πίσω». Τότε ὁ Γέροντας τοῦ εἶπε: «Ἄς σηκωθοῦμε γιά προσευχή, ἀδελφέ». Καί, ἀφοῦ σηκώθηκε, εἶπε ὁ Γέροντας: «Θεέ, δέν σέ ἔχουμε πλέον ἀνάγκη νά φροντίζεις γιά μᾶς, γιατί ἐμεῖς οἱ ἴδιοι παίρνουμε πίσω τό δίκιο μας». Μόλις λοιπόν τ᾽ ἄκουσε αὐτό ὁ ἀδελφός, ἔπεσε στά πόδια τοῦ Γέροντα λέγοντας: «Συγχώρεσέ με, ἀββᾶ, δέν θά ζητήσω πλέον τό δίκιο μου ἀπ᾽ τόν ἀδελφό».

23. Σχετικά μέ τόν Σπυρίδωνα*, τόσο μεγάλη καθαρότητα βίου ὑπῆρχε στόν βοσκό αὐτόν, ὥστε νά ἀξιωθεῖ νά γίνει ποιμενάρχης μιᾶς ἀπ᾽ τίς πόλεις τῆς Κύπρου, τῆς Τριμυθοῦντος[8]. Σ᾽ αὐτόν ἔλαχε ὁ κλῆρος νά γίνει ἐπίσκοπος, καί ἐπειδή δέν εἶχε καθόλου ὑπερηφάνεια, παράλληλα πρός τήν ἐπισκοπή, ἔβοσκε καί τά πρόβατα.

Κάποια λοιπόν μεσάνυχτα ὅρμησαν κρυφά κλέφτες στή μάνδρα τῶν προβάτων του καί κοίταγαν πῶς νά κλέψουν τά πρόβατα. Ὁ Θεός ὅμως πού φυλάγει τόν ποιμένα, ἔσωσε καί τά πρόβατα. Γιατί οἱ κλέφτες δέθηκαν ἀπό κάποια ἀόρατη δύναμη στή μάνδρα, ὥσπου ξημέρωσε καί ἦλθε καί ὁ ποιμένας στά πρόβατα. Μόλις τούς βρῆκε μέ τά χέρια ὀπισθάγκωνα, κατάλαβε τί συνέβη. Προσευχήθηκε τότε καί τούς ἔλυσε (μέ τήν προσευχή του). Καί δίνοντάς τους πολλές νουθεσίες νά φροντίζουν νά ζοῦν μέ δίκαια μέσα καί ὄχι μέ ἀδικίες, τούς ἄφησε ἐλεύθερους χαρίζοντάς τους κι ἕνα κριάρι. Καί χαριτολογώντας πρόσθεσε: «Γιά νά μή φανεῖ ὅτι ἄδικα ξαγρυπνήσατε».

24. Ἦλθέ ποτέ τις ἀδελφὸς Λιβυκὸς πρὸς τὸν ἀββᾶν Σιλουανὸν εἰς τὸ ὄρος εἰς Πανεφῶ καὶ λέγει αὐτῷ· Ἀββᾶ, ἐχθρὸν ἔχω πολλὰ κακὰ ποιήσαντά με· καὶ γὰρ καὶ τὸν ἀγρόν μου ὡς ἤμην ἐν τῷ κόσμῳ ἥρπασε καὶ πολλάκις ἐπεβούλευσέ μοι καὶ φαρμακοὺς ἐκίνησε πρὸς τὸ ἀδικῆσαί με νῦν· καὶ βούλομαι παραδοῦναι αὐτὸν τῷ ἄρχοντι. Λέγει αὐτῷ ὁ Γέρων· Ὡς ἀναπαύῃ, τέκνον, ποίησον. Λέγει ὁ ἀδελφός· Φύσει, ἐὰν παιδευθῇ, πάνυ ὠφελεῖται ἡ ψυχὴ αὐτοῦ. Λέγει ὁ Γέρων· Ὡς δοκεῖ σοι, τέκνον, ποίησον.

Καὶ λέγει ὁ ἀδελφὸς τῷ Γέροντι· Ἀνάστα, πάτερ, ποιήσωμεν εὐχήν, καὶ ἀπέρχομαι πρὸς τὸν ἄρχοντα. Καὶ ἀνέστη ὁ Γέρων. Καὶ λεγόντων αὐτῶν τὸ Πάτερ ἡμῶν, ὡς ἦλθον εἰπεῖν τό, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, εἶπεν ὁ Γέρων· Καὶ μὴ ἀφήσῃς ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς οὐδὲ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ λέγει ὁ ἀδελφὸς τῷ Γέροντι· Μὴ οὕτω, πάτερ. Καὶ εἶπεν ὁ Γέρων· Ἀλλὰ πῶς, τέκνον; Φύσει, ἐὰν πρὸς τὸν ἄρχοντα βούλῃ ἀπελθεῖν, ἵνα ἐκδικήσῃ σε, Σιλουανὸς ἄλλην εὐχὴν οὐ ποιεῖ σοι. Καὶ βαλὼν μετάνοιαν ὁ ἀδελφὸς συνεχώρησε τῷ ἐχθρῷ αὐτοῦ.

25. Ἀδελφός τις ἐποίησεν ἀντίκλειδον καὶ ἤνοιγεν ἑνὸς τῶν Γερόντων τὸ κελλίον καὶ ἐλάμβανε τὸ κέρμα αὐτοῦ. Ὁ δὲ Γέρων ἔγραψε χάρτην λέγων· Κύρι ἀδελφέ, ὅστις ἂν ᾖς, ποίησον ἀγάπην, ἄφες μοι τὸ ἥμισυ εἰς τὴν ἐμὴν χρείαν. Καὶ ποιήσας τὸ κέρμα δύο μέρη ἀπέθηκε τὸν χάρτην. Ὁ δὲ πάλιν εἰσελθὼν καὶ σχίσας τὸν χάρτην ἔλαβεν ὅλον. Εἶτα μετὰ δύο

24. Κάποιος ἀδελφός ἀπ᾽ τή Λιβύη πῆγε κάποτε στόν ἀββᾶ Σιλουανό*, στό ὄρος Πανεφώ καί τοῦ εἶπε: «Ἀββᾶ, ἔχω ἕναν ἐχθρό πού μοῦ προκάλεσε πολλές συμφορές· ἀκόμη καί τό χωράφι μου ἅρπαξε τότε πού ἤμουν στόν κόσμο καί πολλές φορές ἐπεδίωξε νά μέ βλάψει καί τώρα ἔβαλε καί μάγους ἐναντίον μου γιά νά μοῦ κάνουν κακό. Καί θέλω νά τόν παραδώσω στόν ἄρχοντα». Κι ἀπάντησε ὁ Γέροντας: «Κάνε, παιδί μου, ὅπως ἀναπαύεσαι». Εἶπε ὁ ἀδελφός στόν Γέροντα: «Σίγουρα πολύ θά ὠφεληθεῖ ἡ ψυχή του, ἐάν τιμωρηθεῖ». «Ὅπως σοῦ φαίνεται καλό, κάνε, παιδί μου», πρόσθεσε ὁ Γέροντας.

Λέει τότε ὁ ἀδελφός στόν Γέροντα: «Σήκω, πάτερ, νά προσευχηθοῦμε καί μετά πάω στόν ἄρχοντα». Καί ὁ Γέροντας σηκώθηκε. Καί καθώς ἔλεγαν αὐτοί τό "Πάτερ ἡμῶν", ὅταν ἔφθασαν στό σημεῖο νά ποῦν: «Καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν» εἶπε ὁ Γέροντας: «Καί μήν ἀφήσεις ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς οὐδέ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν». Καί εἶπε ὁ ἀδελφός στόν Γέροντα: «Ὄχι ἔτσι, πάτερ». Ρώτησε ὁ Γέροντας: «Ἀλλά πῶς, τέκνον; Ὄντως, ἄν θέλεις νά πᾶς στόν ἄρχοντα, γιά νά σέ ὑπερασπισθεῖ, ὁ Σιλουανός ἄλλου εἴδους προσευχή δέν κάνει γιά σένα». Μετά ἀπ᾽ αὐτό ἔβαλε μετάνοια ὁ ἀδελφός καί συγχώρησε τόν ἐχθρό του.

25. Κάποιος ἀδελφός ἔφτιαξε ἀντικλείδι καί ἄνοιγε τό κελί κάποιου ἀπ᾽ τούς Γέροντες καί ἔπαιρνε τά κέρματά του. Κι ὁ Γέροντας τοῦ ἔγραψε σημείωμα λέγοντάς του: «Κύρ-ἀδελφέ, ὅποιος κι ἄν εἶσαι, κάνε ἀγάπη καί ἄφησέ μου τά μισά γιά τίς ἀνάγκες μου». Καί ἀφοῦ χώρισε τά κέρματα σέ δύο μέρη, ἄφησε καί τό σημείωμα. Ἐκεῖνος ὅμως, ὅταν ξαναμπῆκε, ἔσχισε τό χαρτί καί πῆρε ὅλα τά χρήματα. Μετά ἀπό δύο χρόνια βρέθηκε στά τελευταῖα του αὐτός,

ἔτη τελευτᾷ καὶ ἡ ψυχὴ αὐτοῦ οὐκ ἐξήρχετο. Τότε καλέσας τὸν Γέροντα λέγει αὐτῷ· Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ· ἐγὼ γὰρ ἤμην ὁ κλέπτων σου τὸ κέρμα. Καὶ εἶπεν ὁ Γέρων· Καὶ διατί τάχιον οὐκ εἶπες; Ὅμως εὐξαμένου αὐτοῦ, παρέδωκε τὸ πνεῦμα.

26. Ἄλλος δέ τις παραδοθεὶς εἰς μαρτύριον ὑπὸ τῆς ἑαυτοῦ δούλης, ἀπερχόμενος ἐπὶ τὸ τελειωθῆναι, εἶδε τὴν δούλην αὐτοῦ, τὴν παραδοῦσαν αὐτόν. Καὶ λαβὼν ὃν ἐφόρει δακτύλιον χρυσοῦν ἔδωκεν αὐτῇ λέγων· Εὐχαριστῶ σοι, ὅτι τοσούτων καὶ τοιούτων ἀγαθῶν πρόξενός μοι γέγονας.

27. Φιλόπονόν τις ἑωρακὼς βαστάζοντα νεκρὸν ἐν κραββάτῳ λέγει αὐτῷ· Τοὺς νεκροὺς βαστάζεις; Ὕπαγε, βάσταζε τοὺς ζῶντας.

28. Ἔλεγον περί τινος μοναχοῦ ὅτι ὅσα ἄν τις ἔτι αὐτὸν ὕβριζεν ἢ ἐδόκει παροξύνειν, τοσούτῳ μᾶλλον πρὸς αὐτὸν ἔτρεχε λέγων ὅτι οἱ τοιοῦτοι αἴτιοι κατορθωμάτων γίνονται τοῖς σπουδαίοις, οἱ δὲ μακαρίζοντες πλανῶσι καὶ ταράσσουσι τὴν ψυχήν· γέγραπται γὰρ ὅτι οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς.

29. Ἦλθόν ποτε ἐν μοναστηρίῳ Γέροντός τινος λησταὶ καὶ εἶπον αὐτῷ· Πάντα τὰ ἐν τῷ κελλίῳ σου λαβεῖν ἥκομεν. Ὁ δὲ ἔφη· Ὅσα ἂν δοκῇ ὑμῖν, τέκνα, λάβετε. Ἔλαβον οὖν ἃ εὗ-

9. Φιλόπονοι ἤ σπουδαῖοι λέγονταν ὅσοι ἀνῆκαν σέ ἐθελοντικές ὁμάδες ἀφιερωμένων χριστιανῶν, πού ἐπιδίδονταν σέ ἔργα φιλανθρωπίας. Βλ. Μ. Γερ. τ. Β΄, σελ. 319.

ἀλλά ἡ ψυχή του δέν ἔβγαινε. Τότε κάλεσε τόν Γέροντα καί τοῦ εἶπε: «Πάτερ, εὐχήσου γιά μένα, γιατί ἐγώ ἤμουν πού σοῦ ἔκλεβα τά χρήματα». Εἶπε ὁ Γέροντας: «Καί γιατί δέν τό 'πες νωρίτερα;» Ὅμως, μόλις προσευχήθηκε ὁ Γέροντας, παρέδωσε τήν ψυχή του.

26. Κάποιος ἄλλος παραδόθηκε ἀπό τή δούλη του στό μαρτύριο. Καί τήν ὥρα πού πήγαινε γιά νά "τελειωθεῖ", εἶδε τή δούλη του, πού τόν πρόδωσε, καί βγάζοντας τό χρυσό δαχτυλίδι πού φοροῦσε, τῆς τό ἔδωσε λέγοντάς της: «Σ' εὐχαριστῶ, γιατί μοῦ στάθηκες πρόξενος τόσο μεγάλων καί τέτοιων ἀγαθῶν».

27. Κάποιος πού εἶχε δεῖ ἕναν "φιλόπονο"[9] νά κουβαλάει ἕναν νεκρό σέ φορεῖο, τοῦ εἶπε: «Τούς νεκρούς κρατᾶς; Πήγαινε καί ἄντεξε τούς ζωντανούς».

28. Ἔλεγαν γιά κάποιον μοναχό ὅτι ὅσο περισσότερο κάποιος τόν κακολογοῦσε ἤ φαινόταν νά τόν ἐρεθίζει, τόσο περισσότερο ἔτρεχε πρός αὐτόν λέγοντας πώς αὐτοῦ τοῦ εἴδους οἱ ἄνθρωποι γίνονται αἴτιοι στούς ἐκλεκτούς γιά νά προκόψουν, ἐνῶ αὐτοί πού τούς ἐπαινοῦν τούς παραπλανοῦν καί ταράζουν τήν ψυχή τους. Γιατί ἔχει γραφεῖ ὅτι αὐτοί πού σᾶς ἐπαινοῦν σᾶς παραπλανοῦν[10].

29. Πῆγαν κάποτε στό ἀσκητήριο ἑνός Γέροντα ληστές καί τοῦ εἶπαν: «Ἔχουμε ἔλθει νά σοῦ πάρουμε ὅσα ἔχεις στό κελί σου». Κι ἐκεῖνος εἶπε: «Πάρτε ὅσα νομίζετε, παιδιά μου». Πῆραν λοιπόν ὅσα βρῆκαν στό κελί, ξέχασαν ὅμως

10. Ἠσ. 3, 12.

ρον ἐν τῷ κελλίῳ καὶ ἀπῆλθον, ἐπελάθοντο δὲ ἓν μαρσίπιον, ὃ ἦν ἐκεῖ κρεμάμενον. Ὁ οὖν Γέρων λαβὼν αὐτὸ κατεδίωξεν ὀπίσω αὐτῶν βοῶν καὶ λέγων· Τέκνα, λάβετε ὃ ἐπελάθεσθε ἐν τῷ κελλίῳ ὑμῶν. Οἱ δὲ θαυμάσαντες ἐπὶ τῇ ἀνεξικακίᾳ τοῦ Γέροντος ἀπεκατέστησαν αὐτῷ πάντα ἐν τῷ κελλίῳ καὶ μετενόησαν εἰπόντες πρὸς ἀλλήλους· Ἀληθῶς ἄνθρωπος τοῦ Θεοῦ ἐστιν οὗτος.*

30. Ἀδελφὸς παρέβαλε Γέροντί τινι εἰς ἔρημον τόπον καθεζομένῳ, καὶ εὗρεν ἔξω τοῦ μοναστηρίου παῖδας βόσκοντας καὶ λαλοῦντας ῥήματα ἀπρεπῆ. Καὶ μετὰ τὸ ἀναθέσθαι αὐτῷ τοὺς λογισμοὺς αὐτοῦ καὶ ὠφεληθῆναι ἀπὸ τῆς γνώσεως τοῦ Γέροντος λέγει αὐτῷ· Πῶς ἀνέχῃ, ἀββᾶ, τῶν παίδων καὶ οὐ παραγγέλλεις αὐτοῖς, ἵνα μὴ στρηνιῶσι; Καὶ εἶπεν ὁ Γέρων· Φύσει, ἀδελφέ, ἔχω ἡμέρας θέλων παραγγεῖλαι αὐτοῖς καὶ ἐπιτιμῶ ἐμαυτῷ λέγων· εἰ τὸ μικρὸν τοῦτο οὐ βαστάζω, πῶς, ἐὰν ἐπέλθωσί μοι πειρασμοί βαστάζω; Διὰ τοῦτο οὐδὲν αὐτοῖς εἶπον, ἵνα γένηται νομὴ τοῦ βαστάζειν τὰ ἐπερχόμενα.

31. Ἔλεγον περὶ ἀδελφοῦ τινος γειτνιῶντος μεγάλῳ Γέροντι ὅτι εἰσερχόμενος εἰς τὸ κελλίον αὐτοῦ ἔκλεπτεν. Ἔβλεπε δὲ ὁ Γέρων καὶ οὐκ ἤλεγχεν αὐτόν, ἀλλ᾽ εἰργάζετο περισσὸν λέγων ὅτι τάχα χρείαν ἔχει ὁ ἀδελφός. Καὶ πολλὴν θλῖψιν εἶχεν ὁ Γέρων μετ᾽ ἐνδείας εὑρίσκων τὸν ἄρτον αὐτοῦ. Μέλλοντος δὲ τοῦ Γέροντος τελευτᾶν ἐκύκλωσαν αὐτὸν οἱ ἀδελφοί, καὶ ἰδὼν τὸν κλέπτοντα αὐτὸν λέγει· Ἔγγισόν μοι. Καὶ κατεφίλησε τὰς χεῖρας αὐτοῦ λέγων· Εὐχαριστῶ ταῖς χερσὶ ταύταις, ὅτι δι᾽ αὐτῶν ὑπάγω εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Ὁ

* Ὁ κώδ. 454 ἔχει: *ἡμῶν*.

ἕνα σακκούλι πού ἦταν ἐκεῖ κρεμασμένο. Τό πῆρε λοιπόν ὁ Γέροντας καί ἔτρεχε ἀπό πίσω τους φωνάζοντάς τους καί λέγοντας: « Παιδιά, πάρτε αὐτό πού ξεχάσατε στό κελί σας». Κι ἐκεῖνοι, ἐπειδή θαύμασαν τήν ἀγαθότητα τοῦ Γέροντα, ἔβαλαν στή θέση τους ὅλα τά πράγματα τοῦ κελιοῦ καί μετανιωμένοι ἔλεγαν μεταξύ τους: «Πραγματικά αὐτός εἶναι ἄνθρωπος τοῦ Θεοῦ».

30. Κάποιος ἀδελφός ἐπισκέφθηκε ἕναν Γέροντα πού ἀσκήτευε σέ ἕναν ἔρημο τόπο· καί βρῆκε ἔξω ἀπ᾽ τό ἀσκητήριο παιδιά πού ἔβοσκαν ζῶα καί ἔλεγαν ἄπρεπα λόγια. Ἀφοῦ τοῦ ἐμπιστεύθηκε τούς λογισμούς του καί ὠφελήθηκε ἀπ᾽ τήν πείρα τοῦ Γέροντα, τοῦ εἶπε: «Πῶς ἀνέχεσαι, ἀββᾶ, αὐτά τά παιδιά καί δέν τά λές νά μήν παραφέρονται;» Κι ὁ Γέροντας εἶπε: «Πράγματι, ἀδελφέ, πᾶνε μέρες πού θέλω νά τά μιλήσω καί τά βάζω μέ τόν ἑαυτό μου λέγοντας: “Ἐάν αὐτό τό λίγο δέν μπορῶ νά σηκώσω, πῶς ἄν μέ βροῦν πειρασμοί, θά τούς σηκώνω;” Γι᾽ αὐτό δέν τά εἶπα τίποτε, γιά νά μοῦ γίνει συνήθεια νά ἀντέχω αὐτά πού θά μοῦ ἔρχονται».

31. Ἔλεγαν γιά κάποιον ἀδελφό πού γειτόνευε μ᾽ ἕναν μεγάλο Γέροντα ὅτι ἔμπαινε στό κελί τοῦ Γέροντα καί ἔκλεβε. Παρόλο πού τό ᾽βλεπε ὁ Γέροντας, δέν τόν ἤλεγχε, ἀλλά ἐργαζόταν περισσότερο λέγοντας ὅτι ἴσως ἔχει ἀνάγκη ὁ ἀδελφός. Καί δυσκολευόταν πολύ ὁ Γέροντας νά ἐξασφαλίσει τό λιγοστό ψωμί του.

Ὅταν ἐπρόκειτο νά πεθάνει ὁ Γέροντας, τόν περικύκλωσαν οἱ ἀδελφοί καί μόλις εἶδε αὐτόν πού τοῦ ἔκλεβε, τοῦ εἶπε: «Πλησίασέ με». Καί ἔπιασε καί φιλοῦσε τά χέρια του λέγοντας: «Εὐχαριστῶ αὐτά τά χέρια, γιατί ἐξαιτίας αὐτῶν πηγαίνω στή Βασιλεία τῶν Οὐρανῶν». Ὁ ἀδελφός

δὲ κατανυγεὶς καὶ μετανοήσας καὶ αὐτὸς ἐγένετο δόκιμος μοναχὸς ἀπὸ τῶν πράξεων ὧν εἶδε τοῦ μεγάλου Γέροντος.

32. Ἔλεγέ τις τῶν Γερόντων ὅτι· Ἤκουσα παρά τινων ἁγίων ὅτι εἰσὶν νεώτεροι καὶ ὁδηγοῦσιν εἰς ζωήν. Καὶ διηγεῖτο οὕτως, ὅτι· Ἦν τις Γέρων μεθυστὴς καὶ εἰργάζετο ψιάθιον καθ' ἡμέραν καὶ ἐπώλει αὐτὸ εἰς τὴν κώμην καὶ ἔπινε τὴν τιμὴν αὐτοῦ. Ὕστερον δὲ ἦλθέ τις πρὸς αὐτὸν ἀδελφὸς καὶ ἔμεινε μετ' αὐτοῦ καὶ εἰργάζετο καὶ αὐτὸς ψιάθιον. Ἐλάμβανε δὲ καὶ αὐτὸ ὁ Γέρων καὶ ἐπώλει καὶ ἔπινε τὴν τιμὴν τῶν δύο, τῷ δὲ ἀδελφῷ ἔφερε μικρὸν ἄρτον κατ' ὀψέ. Καὶ τοῦτο ποιοῦντος ἐπὶ τρία ἔτη, οὐδὲν ἐλάλησεν αὐτῷ ὁ ἀδελφός. Καὶ μετὰ ταῦτα λέγει ἐν ἑαυτῷ· Ἰδοὺ γυμνός εἰμι καὶ τὸν ἄρτον μου μετ' ἐνδείας ἐσθίω. Ἀναστῶ οὖν καὶ πορευθῶ ἔνθεν. Πάλιν δὲ ἐλογίσατο ἐν ἑαυτῷ λέγων· Ποῦ ἔχω ἀπελθεῖν; Καθέζομαι πάλιν· ἐγὼ γὰρ τῷ Θεῷ καθέζομαι κοινόβιον. Καὶ εὐθέως ἐφάνη αὐτῷ ἄγγελος λέγων· Μηδαμοῦ ἀναχωρήσῃς· ἔρχομαι γὰρ αὔριον ἐπὶ σέ.

Καὶ παρεκάλει ὁ ἀδελφὸς τὸν Γέροντα κατ' ἐκείνην τὴν ἡμέραν λέγων· Μηδαμοῦ ἀπέλθῃς· ἔρχονται γὰρ οἱ ἐμοὶ λαβεῖν με σήμερον. Ὡς οὖν ἦλθεν ἡ ὥρα τοῦ Γέροντος ἀπελθεῖν, ἔλεγεν αὐτῷ· Οὐκ ἔρχονται σήμερον, τέκνον· ἐχρόνισαν γάρ. Ὁ δὲ εἶπεν· Ναί, ἀββᾶ, πάντως ἔρχονται. Καὶ λαλῶν μετ' αὐτοῦ ἐκοιμήθη. Ὁ δὲ Γέρων κλαίων ἔλεγεν· Οἴμοι, τέκνον, ὅτι ἐν πολλοῖς ἔτεσίν εἰμι ζῶν ἐν ἀμελείᾳ, σὺ δὲ ἐν ὀλίγῳ χρόνῳ τὴν ψυχήν σου ἔσωσας ἐν ὑπομονῇ. Καὶ ἀπὸ τότε ὁ Γέρων ἐσωφρονίσθη καὶ γέγονε δόκιμος μοναχός.

33. Διηγήσαντο οἱ Γέροντες περὶ ἑτέρου Γέροντος ὅτι

κατανύχθηκε, μετανόησε καί ἔγινε καί ὁ ἴδιος ἄξιος μοναχός ἀπό τό παράδειγμα τοῦ μεγάλου Γέροντα.

32. Ἔλεγε κάποιος ἀπ' τούς Γέροντες: «Ἄκουσα ἀπό κάποιους ἁγίους ὅτι ὑπάρχουν νέοι μοναχοί πού ὁδηγοῦν στή ζωή». Καί διηγήθηκε τό ἑξῆς. Ζοῦσε κάποτε ἕνας Γέροντας μέθυσος πού δούλευε τό ψαθί καθημερινά καί τό πουλοῦσε στό χωριό καί ξόδευε στό πιοτό τά χρήματα πού ἔπαιρνε ἀπ' αὐτό. Ἀργότερα ἦλθε κάποιος ἀδελφός κοντά του κι ἔμεινε μαζί του καί δούλευε κι αὐτός τό ψαθί. Ὅμως τό 'παιρνε καί αὐτό ὁ Γέροντας, τό πουλοῦσε καί ἔπινε τά χρήματα τῶν εἰσπράξεων καί τῶν δυό· στόν ἀδελφό ἔφερνε μόνο λίγο ψωμί κάθε βράδυ. Αὐτό τό ἔκανε ἐπί τρία χρόνια, καί ὁ ἀδελφός δέν τοῦ εἶπε τίποτε. Ἀλλά κατόπιν εἶπε μέσα του ὁ ἀδελφός: «Νά, καί ἀπό ροῦχα στεροῦμαι καί τό ψωμί πού τρώω εἶναι λιγοστό. Νά σηκωθῶ λοιπόν καί νά φύγω ἀπό ἐδῶ». Πάλι ὅμως συλλογίσθηκε: «Καί ποῦ ἔχω νά πάω; Ἄς παραμείνω πάλι. Γιατί ἐγώ γιά τόν Θεό μένω κοινοβιακά μέ ἄλλον». Κι ἀμέσως τοῦ παρουσιάστηκε ἕνας ἄγγελος πού τοῦ εἶπε: «Καθόλου μή φύγεις ἀπό δῶ, γιατί αὔριο ἔρχομαι γιά σένα».

Παρακαλοῦσε λοιπόν ὁ ἀδελφός τόν Γέροντα ἐκείνη τήν ἡμέρα λέγοντάς του: «Μή φύγεις πουθενά, γιατί ἔρχονται σήμερα οἱ δικοί μου νά μέ πάρουν». Ἀλλά ὅταν ἦλθε ἡ ὥρα γιά νά φύγει ὁ Γέροντας, ἔλεγε στόν ἀδελφό: «Δέν θά ρθοῦν σήμερα, παιδί μου. Νά, πέρασε ἡ ὥρα». Κι ὁ ἀδελφός εἶπε: «Ναί, ἀββᾶ, ὁπωσδήποτε θά ἔλθουν». Καί ἐνῶ μιλοῦσε μαζί του, ἐκοιμήθη. Καί τότε κλαίγοντας ὁ Γέροντας ἔλεγε: «Ἀλίμονο, παιδί μου, πολλά χρόνια ζῶ ἀμελής καί σύ μέσα σέ λίγο χρόνο ἔσωσες τήν ψυχή σου μέ τήν ὑπομονή σου». Καί ἀπό τότε ὁ Γέροντας ἔβαλε μυαλό καί ἔγινε καλός μοναχός.

33. Διηγήθηκαν οἱ Γέροντες γιά κάποιον ἄλλον Γέρον-

εἶχε παῖδα σύνοικον καὶ εἶδεν αὐτὸν ποιοῦντα ἔργον μὴ συμφέρον αὐτῷ καὶ εἶπεν αὐτῷ· Ἅπαξ μὴ ποιήσῃς τὸ πρᾶγμα τοῦτο. Καὶ οὐκ ἤκουσεν αὐτοῦ. Ὡς δὲ παρήκουσεν, ἀπεμερίμνησεν ὁ Γέρων ἐπιρρίψας αὐτῷ τὸ ἴδιον κρῖμα.

Κλείσας δὲ ὁ νεώτερος τὴν θύραν τοῦ κελλίου ἐν ᾧ ἦσαν τὰ ψωμία, ἐπὶ ἡμέρας δεκατρεῖς ἀφῆκε τὸν Γέροντα νῆστιν. Καὶ οὐκ εἶπεν αὐτῷ ὁ Γέρων ποῦ ἧς ἢ ποῦ ὑπάγεις ἔξω. Εἶχε δὲ γειτνιῶντα ὁ Γέρων τινά, καὶ ὡς ᾔσθετο ὅτι ἐχρόνισεν ὁ νεώτερος, ἐποίει μικρὸν ἕψημα καὶ παρεῖχεν αὐτῷ διὰ τοῦ τείχους καὶ παρεκάλει αὐτὸν γεύσασθαι. Εἰ δὲ ἔλεγεν αὐτῷ τί ἐβράδυνεν ὁ ἀδελφός, ἔλεγεν ὁ Γέρων ὅτι, ἐὰν εὐκαιρῇ, ἔρχεται.

34. Διηγήσαντό τινες ὅτι φιλόσοφοι ἠθέλησάν ποτε δοκιμάσαι τοὺς μοναχούς. Παρήρχετο οὖν τις ἐστολισμένος καλῶς, καὶ λέγουσιν αὐτῷ· Σύ, δεῦρο ὧδε. Ὁ δὲ ὀργισθεὶς ὕβρισεν αὐτούς. Ἐπέρασε δὲ καὶ ἄλλος μοναχὸς Λιβυκός, καὶ λέγουσιν αὐτῷ· Ἔ, σύ, μοναχέ, κακόγηρε, δεῦρο ὧδε. Ὁ δὲ μετὰ σπουδῆς ἀπῆλθε, καὶ διδόασιν αὐτῷ ῥάπισμα. Ὁ δὲ ἔστρεψε καὶ τὴν ἄλλην σιαγόνα. Οἱ δὲ εὐθέως ἀνέστησαν καὶ προσεκύνησαν αὐτὸν λέγοντες· Ἀληθῶς, ἰδοὺ μοναχός.

Καὶ καθίσαντες αὐτὸν ἐν μέσῳ αὐτῶν ἠρώτων αὐτὸν λέγοντες· Τί πλέον ἡμῶν ποιεῖτε εἰς τὴν ἔρημον; Νηστεύετε; καὶ ἡμεῖς νηστεύομεν. Ἀγρυπνεῖτε; καὶ ἡμεῖς ἀγρυπνοῦμεν. Εἴ τι δ' ἂν ποιῆτε, καὶ ἡμεῖς ποιοῦμεν· τί οὖν περισσότερον ποιεῖτε εἰς τὴν ἔρημον καθήμενοι; Λέγει αὐτοῖς ὁ Γέρων· Εἰς τὴν χάριν τοῦ Θεοῦ ἐλπίζομεν ἡμεῖς καὶ νοῦν τηρῶμεν. Λέ-

τα ὅτι ζοῦσε μαζί μέ κάποιον νεαρό ἀδελφό καί ὅταν τόν εἶδε νά κάνει κάτι πού δέν συνέφερε στόν ἴδιο τόν ἀδελφό, τοῦ εἶπε: « Ἄλλη φορά μήν τό ξανακάνεις αὐτό». Ὅμως ὁ νεαρός ἀδελφός δέν τόν ἄκουσε. Μετά τήν ἀνυπακοή αὐτή σταμάτησε νά νοιάζεται ὁ Γέροντας, ρίχνοντας σ' αὐτόν ὅλη τήν εὐθύνη γιά τήν ὑπόθεση.

Κι ὁ νεαρός κλείδωσε τήν πόρτα τοῦ κελιοῦ, ὅπου βρίσκονταν τά ψωμιά, καί ἐπί δεκατρεῖς ἡμέρες ἄφησε τόν Γέροντα νηστικό. Καί δέν εἶπε ὁ Γέροντας ποῦ ἦσουν ἤ σέ ποιό μέρος πᾶς ἔξω. Εἶχε ὅμως ὁ Γέροντας κάποιο γείτονα, ὁ ὁποῖος, μόλις ἀντιλαμβανόταν ὅτι ἄργησε νά ἐπιστρέψει ὁ νεαρός, ἔφτιαχνε λίγο φαγητό καί τοῦ τό ἔδινε ἀπό τό τεῖχος παρακαλώντας τον νά βάλει κάτι στό στόμα του. Καί ἄν τύχαινε καί τοῦ ἔλεγε ὁ γείτονας γιατί καθυστέρησε ὁ ἀδελφός, ἀπαντοῦσε ὁ Γέροντας: «Μόλις εὐκαιρήσει, θά 'ρθει».

34. Διηγήθηκαν κάποιοι ὅτι μερικοί φιλόσοφοι θέλησαν νά δοκιμάσουν κάποτε τούς μοναχούς. Περνοῦσε λοιπόν κάποιος μοναχός καλοντυμένος καί τοῦ λένε: «Ἔ, σύ, ἔλα ἐδῶ». Ἐκεῖνος ὅμως θύμωσε καί τούς ἔβρισε. Πέρασε καί ἕνας ἄλλος μοναχός ἀπό τά μέρη τῆς Λιβύης καί τοῦ εἶπαν: «Ἔ σύ μοναχέ, κακόγερε, ἔλα ἐδῶ». Κι αὐτός πῆγε πρόθυμα καί τοῦ δίνουν ἕνα χαστούκι. Τότε ἐκεῖνος ἔστριψε καί τό ἄλλο μάγουλο. Ὁπότε αὐτοί σηκώθηκαν ἀμέσως καί τοῦ ἔβαλαν μετάνοια λέγοντας: «Νά, πραγματικός μοναχός».

Καί βάζοντάς τον νά καθίσει ἀνάμεσά τους ἄρχισαν νά τόν ρωτοῦν: «Τί περισσότερο κάνετε ἐσεῖς οἱ μοναχοί στήν ἔρημο; Νηστεύετε; Κι ἐμεῖς νηστεύουμε. Ἀγρυπνεῖτε; Κι ἐμεῖς ἀγρυπνοῦμε. Ὅ,τι κάνετε, τό κάνουμε. Τί περισσότερο λοιπόν κάνετε μένοντας στήν ἔρημο;» Κι ὁ Γέροντας τούς ἀπάντησε: «Ἐμεῖς ἐλπίζουμε στήν Χάρη τοῦ Θεοῦ καί προσέχουμε τούς λογισμούς μας». Κι εἶπαν οἱ φιλόσοφοι:

γουσι καὶ αὐτοί· Ἡμεῖς τοῦτο φυλάξαι οὐ δυνάμεθα. Καὶ ὠφεληθέντες ἀπέλυσαν αὐτόν.

35. Ἦσαν δύο μοναχοὶ εἰς τόπον οἰκοῦντες, καὶ παρέβαλεν αὐτοῖς Γέρων μέγας. Καὶ θέλων δοκιμάσαι αὐτοὺς ἔλαβε ῥάβδον καὶ ἤρξατο συντρίβειν τὰ λάχανα τοῦ ἑνός. Καὶ ἰδὼν ὁ ἀδελφὸς ἐκρύβη. Καὶ ὡς παρέμεινε μία ῥίζα, λέγει τῷ Γέροντι· Ἀββᾶ, ἐὰν θέλῃς, ἄφες αὐτήν, ἵνα ἑψήσω καὶ γευσώμεθα ὁμοῦ.

Καὶ ἔβαλεν ὁ Γέρων μετάνοιαν τῷ ἀδελφῷ λέγων· Διὰ τὴν ἀνεξικακίαν σου ἀναπέπαυται τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ σέ, ἀδελφέ.

36. Γέρων τις κατέλαβεν ἐν Σκήτει λῃστὰς συλοῦντας τὴν κέλλαν αὐτοῦ. Καὶ λέγει αὐτοῖς· Ταχύνατε πρὸ τοῦ ἐλθεῖν τοὺς ἀδελφούς, καὶ κωλύσωσί με πληρῶσαι τὴν ἐντολὴν τοῦ Χριστοῦ τοῦ εἰπόντος ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει.

37. Εἶπε Γέρων· Ἐὰν ἀκούσῃς περί τινος μισοῦντός σε καὶ λοιδοροῦντος, πέμψον ἢ δὸς αὐτῷ μικρὰν εὐλογίαν κατὰ τὴν δύναμίν σου, ἵνα ἔχῃς παρρησίαν εἰπεῖν ἐν τῇ ὥρᾳ τῆς κρίσεως· Ἄφες ἡμῖν, Δέσποτα, τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν.

38. Ἀδελφοὶ ὁδεύοντες καὶ πλανηθέντες τὴν ὁδὸν ἠρώτων τινάς, ὥστε μαθεῖν. Οἱ δὲ ὑπῆρχον κακοῦργοι καὶ ἀπε-

11. Λουκ. 6, 35.

12. Παρρησία: Βλ. Μ. Γερ. τ. Γ', σελ. 24-25, σημ. 7.

«Ἐμεῖς δέν μποροῦμε αὐτό νά τό κάνουμε». Καί ἀφοῦ ὠφελήθηκαν, ἄφησαν τόν μοναχό νά φύγει.

35. Δύο μοναχοί κατοικοῦσαν σ' ἕναν τόπο καί τούς ἐπισκέφθηκε κάποτε ἕνας μεγάλος Γέροντας. Θέλοντας αὐτός νά τούς δοκιμάσει, πῆρε ἕνα ραβδί καί ἄρχισε νά καταστρέφει τά λαχανικά τοῦ ἑνός. Ὁ ἀδελφός μόλις τόν εἶδε, κρύφτηκε. Καί ὅταν πιά ἔμεινε μία ρίζα, λέει στόν Γέροντα: «Ἀββᾶ, ἄν θέλεις, ἄφησέ την αὐτήν γιά νά τή μαγειρέψω καί νά φᾶμε μαζί». Τότε ἔβαλε ὁ Γέροντας μετάνοια στόν ἀδελφό καί τοῦ εἶπε: «Γιά τήν ἀνεξικακία πού ἔχεις, ἀδελφέ, ἔχει ἀναπαυθεῖ σέ σένα τό Πνεῦμα τό Ἅγιο».

36. Κάποιος Γέροντας ἔπιασε ληστές στή Σκήτη νά ἀδειάζουν τό κελί του, καί τούς εἶπε: «Βιαστεῖτε, μήν ἔρθουν οἱ ἀδελφοί καί μ' ἐμποδίσουν νά πραγματοποιήσω τήν ἐντολή τοῦ Χριστοῦ πού εἶπε: Μή ζητᾶς πίσω ἀπ' αὐτόν πού πῆρε τά δικά σου[11]».

37. Εἶπε ἕνας Γέροντας: «Ἄν ἀκούσεις ὅτι κάποιος σέ μισεῖ καί σέ κακολογεῖ, στεῖλε ἤ δῶσ' του κάποια εὐλογία ἀνάλογη μέ τή δύναμή σου, γιά νά μπορεῖς νά πεῖς τήν ὥρα τῆς κρίσεως μέ παρρησία[12]: Συγχώρεσέ μας, Κύριε, αὐτά πού ὀφείλουμε, ὅπως καί ἐμεῖς συγχωρήσαμε σ' αὐτούς πού μᾶς ὀφείλουν[13]».

38. Κάποιοι ἀδελφοί καθώς βάδιζαν, ἔχασαν τόν δρόμο καί ρώτησαν κάποιους γιά νά τόν βροῦν. Συνέβη ὅμως αὐτοί, τούς ὁποίους ρώτησαν, νά 'ναι κακοῦργοι, καί τούς

13. Ματθ. 6, 12.

πλάνησαν αὐτοὺς εἰς ἐρήμους τόπους. Ἐπακολουθήσαντος δὲ ἑνὸς ὥστε ἀποσυλῆσαι καὶ παρακελευομένου διελθεῖν διώρυγα, ἀρχομένων αὐτῶν διαβαίνειν, κροκόδειλος ἐπέδραμεν ἐπὶ τὸν ληστήν. Ἀλλ' ὁ δοῦλος τοῦ Θεοῦ οὐχ ὑπερεῖδεν, ἀλλ' ἐβόησε πρὸς τὸν κακοῦργον σημαίνων τὴν τοῦ θηρίου ὁρμήν, ὡς σωθέντα ἐκεῖνον εὐχαριστεῖν αὐτῷ καὶ θαυμάσαι αὐτοῦ τὴν ἀγάπην.

39. Διηγήσατό τις τῶν Αἰγυπτίων Πατέρων ὅτι· Ποτὲ ἐνεθυμήθην ξενιτεῦσαι καὶ ἐμβὰς εἰς πλοῖον κατήντησα εἰς τὰς Ἀθήνας. Καὶ μέλλων εἰσιέναι ἐν τῇ πόλει θεωρῶ τινα γέροντα μοναχὸν ἐστολισμένον ἔχοντα μικρὰν πῆραν βαβυλωνικὴν ἐκλειδωμένην, καὶ ἔτρεχε. Καὶ ἄλλοι δὲ ὀπίσω αὐτοῦ ἔτρεχον.

Καὶ ὡς εἰσῆλθεν εἰς τὴν πόλιν, ἀπήντησεν αὐτῷ ὄχλος πολὺς καὶ εἷλκον αὐτὸν εἰς τὸ θέατρον. Καὶ ἠρώτησά τινα ὅτι τίς ἐστιν οὗτος, καὶ εἶπέ μοι ὅτι· Οὗτος ἀπὸ Ἑλλήνων ἐστί, μειζότερος ὅλων τῶν φιλοσόφων, καὶ γέγονε χριστιανός. Καὶ ἐποίησεν ἑαυτῷ μοναστήριον καὶ γέγονε μοναχός. Καὶ διὰ δεκαπέντε ἐτῶν εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ διὰ τοῦτο τρέχομεν, ἵνα ἀκούσωμεν τί λέγει. Καὶ ἀπῆλθον κἀγὼ μετ' αὐτῶν. Καὶ ὡς ἦλθον οἱ ἄρχοντες, παρεκάλεσαν αὐτὸν ὅτι· Εἰπὲ ἡμῖν ὅ τι ἔχεις εἰπεῖν. Καὶ εἶπεν· Οὐκ ἔστιν ἔθνος ὑπὸ τὸν οὐρανὸν ὡς τὸ τῶν Χριστιανῶν. Καὶ οὐκ ἔστι πάλιν τάξις ὡς ἡ τάξις τῶν μοναχῶν, ἀλλὰ τοῦτο μόνον ἐστὶ τὸ βλάπτον αὐτούς, ὅτι φέρει αὐτοῖς ὁ διάβολος μνησικακίαν εἰς ἀλλήλους τοῦ λέγειν ὅτι εἶπέ μοι καὶ εἶπον αὐτῷ, καὶ τὰς ἀκαθαρσίας αὐτῶν ἔμπροσθεν αὐτῶν ἔχουσι καὶ οὐ βλέπουσιν αὐτάς. Τοῦτο οὖν ἀκούσαντες πάντες καὶ πολλὰ εὐφημήσαντες αὐτόν, ἀνεχώρησεν.

ἔστειλαν νά χαθοῦν στίς ἐρημιές. Ἕνας ὅμως ἀπό τούς ληστές τούς πῆρε ἀπό πίσω, μέ σκοπό νά τούς κλέψει. Καί καθώς ἔδωσε ἐντολή νά περάσουν κάποια διώρυγα, μόλις ἄρχισαν νά περνᾶνε, ἐρχόταν μέ ὁρμή πρός τόν ληστή ἕνας κροκόδειλος. Καί ὁ δοῦλος τοῦ Θεοῦ δέν ἀδιαφόρησε, ἀλλά φώναξε στόν κακοῦργο ἐπισημαίνοντας τήν ἐπίθεση τοῦ θηρίου, μέ ἀποτέλεσμα νά τόν εὐχαριστεῖ ἐκεῖνος, γιατί σώθηκε, καί νά θαυμάζει τήν ἀγάπη του.

39. Διηγήθηκε κάποιος ἀπ' τούς Αἰγυπτίους Πατέρες τό ἑξῆς: «Κάποτε σκέφθηκα νά ξενιτευθῶ. Μπῆκα λοιπόν στό πλοῖο καί ἔφθασα στήν Ἀθήνα. Καί ὅταν κόντευα νά μπῶ στήν πόλη, βλέπω ἕναν γέροντα μοναχό περιποιημένον πού κρατοῦσε ἕνα μικρό κλειστό βαβυλωνιακό σακκούλι καί ἔτρεχε. Ἀπό πίσω του ἔτρεχαν καί ἄλλοι.

Μόλις μπῆκε στήν πόλη, τόν προϋπάντησε πολύς κόσμος καί τόν τραβοῦσαν στό θέατρο. Ρώτησα κάποιον ποιός εἶναι αὐτός, καί μοῦ εἶπε: «Αὐτός ἦταν παλιά εἰδωλολάτρης, ὁ μεγαλύτερος ἀπ' ὅλους τούς φιλοσόφους, καί ἔχει γίνει χριστιανός. Ἔκτισε μάλιστα μοναστήρι γιά τόν ἑαυτό του κι ἔγινε μοναχός. Καί μετά ἀπό δεκαπέντε χρόνια ἔρχεται στήν πόλη, γι' αὐτό τρέχουμε νά ἀκούσουμε τί θά πεῖ».

Πῆγα λοιπόν κι ἐγώ μαζί τους. Καί μόλις ἦρθαν οἱ ἄρχοντες, τόν παρακάλεσαν: «Πές μας ὅ,τι ἔχεις νά μᾶς πεῖς». Καί εἶπε: «Δέν ὑπάρχει σύνολο ἀνθρώπων κάτω ἀπ' τόν οὐρανό σάν τῶν χριστιανῶν. Δέν ὑπάρχει ἐπίσης τάξη σάν τήν τάξη τῶν μοναχῶν, ἀλλά αὐτό μόνον τήν χαλάει, πού σπέρνει ὁ διάβολος ἀνάμεσά τους μνησικακία, ὥστε νά λένε "μοῦ εἶπε καί τοῦ εἶπα" καί ἐνῶ ἔχουν μπροστά τους τά ἄσχημα καί ἀδύνατα σημεῖα τους, δέν τά βλέπουν». Τ' ἄκουσαν αὐτό ὅλοι καί ἀφοῦ τόν ἐπευφήμησαν πολύ, ἀναχώρησε.

40. Εἰπέ τις τῶν Πατέρων· Ἐὰν ὑβρίσῃ σέ τις, εὐλόγησον αὐτόν. Ἐὰν δέξηται, καλῶς τοῖς ἀμφοτέροις ἔσται, ἐὰν δὲ μὴ δέξηται, αὐτὸς λαμβάνει παρὰ τοῦ Θεοῦ τὴν ὕβριν καὶ σὺ τὴν εὐλογίαν.

41. Εἶπε Γέρων· Ἐὰν λάβῃ τις μνήμην θλίψαντος αὐτὸν ἢ ἀτιμάσαντος ἢ λοιδορήσαντος ἢ ζημιώσαντος, μεμνῆσθαι ὀφείλει αὐτοῦ ὡς ἰατροῦ πεμφθέντος ὑπὸ Χριστοῦ, καὶ ὀφείλει ἔχειν αὐτὸν ὡς εὐεργέτην. Αὐτὸ γὰρ τὸ θλίβεσθαί σε, νοσούσης ἐστὶ ψυχῆς· εἰ μὴ γὰρ ἐνόσεις, οὐκ ἂν ἔπασχες. Καὶ ὀφείλεις χαίρειν ἐν τῷ ἀδελφῷ, ὅτι δι' αὐτοῦ γινώσκεις τὴν νόσον ἑαυτοῦ καὶ εὔχεσθαι ὑπὲρ αὐτοῦ ὡς φάρμακον ἰαματικὸν πεμφθὲν ὑπὸ Ἰησοῦ. Ἐὰν δὲ λυπῇ κατ' αὐτοῦ, δυνάμει λέγεις κατὰ τοῦ Ἰησοῦ· Οὐ θέλω δέξασθαί σου τὰ φάρμακα· σαπῆναι θέλω ἐν τοῖς τραύμασί μου.

42. Εἶπε πάλιν· Ὁ βουλόμενος ἰαθῆναι ἐκ τῶν δεινῶν τῆς ψυχῆς τραυμάτων, ἵνα ἀπαλλαγῇ τῆς νόσου, ὀφείλει ὑπομεῖναι τὰ ἐπιφερόμενα ὑπὸ τοῦ ἰατροῦ. Οὐδὲ γὰρ ὁ νοσῶν σωματικῶς ἡδέως ἔχει τὸ τέμνεσθαι ἢ καίεσθαι ἢ καθάρσιον λαβεῖν, ἀλλὰ καὶ μέμνηται αὐτῶν μετὰ ἀηδίας. Ὅμως πείθει

14. Α΄ Κορ. 4, 12.

40. Εἶπε ἕνας ἀπ' τούς Πατέρες: «Ἐάν κάποιος σέ κακολογήσει, ἐσύ πές του καλά λόγια[14]. Ἐάν τά δεχθεῖ, θά εἶναι καλό καί γιά τούς δύο. Ἐάν πάλι δέν τά δεχθεῖ, αὐτός θά λάβει ἀπ' τόν Θεό γιά τά ὑβριστικά του λόγια καί σύ γιά τά καλά σου λόγια».

41. Εἶπε Γέροντας: «Ἐάν κάποιος θυμηθεῖ αὐτόν πού τόν ἔθλιψε ἤ τόν περιφρόνησε ἤ τόν κακολόγησε ἤ τόν ἔβλαψε, ὀφείλει νά τόν φέρνει στή μνήμη του σάν γιατρό σταλμένο ἀπ' τόν Χριστό. Καί ἔχει χρέος νά τόν θεωρεῖ εὐεργέτη του.

Διότι τό ὅτι στενοχωρεῖσαι, εἶναι χαρακτηριστικό ἄρρωστης ψυχῆς· ἄν δέν ἦσουν ἄρρωστος, δέν θά σέ πείραζε. Ὀφείλεις νά χαίρεσαι μέ τόν ἀδελφό, διότι αὐτός σοῦ φανέρωσε τήν ἀρρώστια σου, καί νά εὔχεσαι γι' αὐτόν ὡσάν νά πρόκειται γιά ἕνα θεραπευτικό φάρμακο πού σοῦ τό 'στειλε ὁ ἴδιος ὁ Χριστός. Ἄν ὅμως νιώθεις μίσος γι' αὐτόν, εἶναι σάν νά λές μέσα σου κατά τοῦ Χριστοῦ: Δέν θέλω νά δεχτῶ τά φάρμακά σου· θέλω νά σαπίσω μέσα στά τραύματά μου»[15].

42. Εἶπε ἄλλη φορά: «Αὐτός πού θέλει νά γιατρευθεῖ ἀπ' τά φοβερά τραύματα τῆς ψυχῆς, προκειμένου ν' ἀπαλλαγεῖ ἀπ' τήν ἀρρώστια, ὀφείλει νά ὑπομένει ὅσα θά τοῦ κάνει ὁ γιατρός. Γιατί οὔτε κι αὐτός πού πάσχει σωματικά δέχεται εὐχαρίστως νά τόν κόβουν ἤ νά τόν καυτηριάζουν ἤ νά πάρει καθαρτικό, ἀλλά καί μόνο πού τά θυμᾶται ἀηδιάζει. Ὅμως πείθει τόν ἑαυτό του πώς χωρίς αὐτό τοῦ εἶναι

15. Τά ἀποφθ. 41-44 παράβαλέ τα μέ τούς λόγους τοῦ ἀββᾶ Ζωσιμᾶ: Μ. Γερ τ. Α΄, σελ. 165 κ.ἑ.

ἑαυτὸν ὅτι χωρὶς τούτου ἀδύνατον αὐτῷ ἐστιν ἀπαλλαγῆναι τῆς νόσου. Καὶ ὑποφέρει τὰ παρὰ τοῦ ἰατροῦ προσφερόμενα εἰδὼς ὅτι διὰ μικρᾶς ἀηδίας ἀπαλλαγήσεται πολυχρονίου ἀσθενείας.

Καυτὴρ τοῦ Ἰησοῦ ἐστιν ὁ ἀτιμάζων σε ἢ λοιδορῶν σε καὶ ἀπαλλάττει σε κενοδοξίας. Καθάρσιον τοῦ Ἰησοῦ ἐστιν ὁ ἐπιφέρων ζημίαν, ἀλλὰ ἀπαλλάττει σε πλεονεξίας. Ὁ φεύγων πειρασμὸν ἐπ' ὠφελείᾳ, φεύγει ζωὴν αἰώνιον. Τίς ἐδωρήσατο τῷ ἁγίῳ Στεφάνῳ τοιαύτην δόξαν, οἵαν ἐκτήσατο διὰ τῶν λιθασάντων αὐτόν;

43. Εἶπε πάλιν· Ἐγὼ τοὺς ἐμοῦ κατηγοροῦντας οὐκ αἰτιῶμαι, ἀλλ' εὐεργέτας καλῶ. Καὶ οὐκ ἀπωθοῦμαι τὸν ἰατρὸν τῶν ψυχῶν φάρμακον ἀτιμίας προσάγοντα κενοδόξῳ ψυχῇ.

44. Εἶπε πάλιν· Τὸν σταυρὸν τοῦ Χριστοῦ βλέπομεν καὶ τὰ πάθη αὐτοῦ ἀναγινώσκομεν καὶ ἡμεῖς οὐδεμίαν ὕβριν ὑποφέρομεν.

45. Εἶπε Γέρων ὅτι ἐπὶ τοῦ μεγάλου Ἰσιδώρου, τοῦ πρεσβυτέρου τῆς Σκήτεως, ἦν τις ἀδελφὸς διάκονος, ὃν καὶ διὰ τὴν ἀρετὴν ἐποίησε πρεσβύτερον ἐπὶ τὸ διαδέξασθαι αὐτὸν μετὰ θάνατον. Ὁ δὲ οὐχ ἥψατο τῆς χειροτονίας δι' εὐλάβειαν, ἀλλ' ἔμενε διακονῶν. Τοῦτον οὖν κατ' ἐπιβουλὴν τοῦ ἐχθροῦ ἐφθόνησέ τις τῶν Γερόντων. Καὶ πάντων ὄντων ἐν τῇ ἐκκλη-

ἀδύνατον ν' ἀπαλλαγεῖ ἀπ' τήν ἀρρώστια. Καί ὑπομένει ὅσα τοῦ κάνει ὁ γιατρός, γιατί γνωρίζει πώς δοκιμάζοντας προσωρινά κάτι ὄχι εὐχάριστο, θά ἀπαλλαγεῖ ἀπ'τήν μακροχρόνια ἀσθένεια.

Ὄργανο τοῦ Χριστοῦ πού καυτηριάζει εἶναι αὐτός πού σέ προσβάλλει ἤ σέ κακολογεῖ καί σέ ἀπαλλάσσει ἀπ' τήν κενοδοξία. Καθαρτικό πού σοῦ στέλνει ὁ Χριστός εἶναι αὐτός πού σοῦ προκαλεῖ ὑλική ζημία, γιατί σέ ἀπαλλάσσει ἀπ' τήν πλεονεξία.

Καί αὐτός πού ἀποφεύγει ἕναν πειρασμό ἀπ' τόν ὁποῖο θά ἔχει ὠφέλεια, ἀποφεύγει ζωή αἰώνια. Καί ποιός ἄλλος χάρισε στόν ἅγιο Στέφανο τέτοια δόξα, σάν αὐτή πού ἀπέκτησε ἀπ' αὐτούς πού τόν λιθοβόλησαν;

43. Ἄλλη φορά εἶπε: «Ἐγώ δέν κατακρίνω αὐτούς πού μέ κατηγοροῦν, ἀλλά τούς ἀποκαλῶ εὐεργέτες μου. Κι οὔτε πάλι κάνω πέρα τόν γιατρό τῶν ψυχῶν τήν ὥρα πού προσφέρει τό φάρμακο τῆς ἀτιμίας στήν κενόδοξη ψυχή μου».

44. Ἄλλοτε εἶπε: «Βλέπουμε τόν σταυρό τοῦ Χριστοῦ, διαβάζουμε γιά τά πάθη του, κι ὅμως ἐμεῖς δέν σηκώνουμε καμιά προσβολή».

45. Εἶπε κάποιος Γέροντας ὅτι ἐπί τῆς ἐποχῆς τοῦ μεγάλου Ἰσιδώρου, τοῦ πρεσβυτέρου τῆς Σκήτεως, ὑπῆρχε κάποιος ἀδελφός, διάκονος, τόν ὁποῖο χάριν τῆς ἀρετῆς του τόν χειροτόνησε ἱερέα μέ ἀπώτερο σκοπό νά τόν ἀφήσει διάδοχό του μετά τόν θάνατό του.

Αὐτός ὅμως ἀπό εὐλάβεια ἀρκέστηκε στά καθήκοντα του διακόνου καί δέν ἔκαμε χρήση τῆς χειροτονίας του εἰς ιερέα. Αὐτόν λοιπόν, ἀπό κακόβουλο σχέδιο τοῦ διαβόλου, τόν φθόνησε κάποιος ἀπ' τούς Γέροντες. Καί τήν ὥρα πού

σία διὰ τὴν σύναξιν, ἀπελθὼν ὑπέβαλε τὸ ἴδιον βιβλίον εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ. Καὶ ἐλθὼν ἀπήγγειλε τῷ ἀββᾷ Ἰσιδώρῳ ὅτι τίς ποτε τῶν ἀδελφῶν ἔκλεψέ μου τὸ βιβλίον. Καὶ ἐθαύμασεν ὁ ἀββᾶς Ἰσίδωρος λέγων ὅτι οὐδέποτε γέγονέ τι τοιοῦτον ἐν τῇ Σκήτει. Λέγει οὖν αὐτῷ ὁ γέρων ὁ τὸ βιβλίον ὑποβαλὼν ὅτι· Ἀπόστειλον δύο τῶν Πατέρων μετ' ἐμοῦ, ἵνα ἐρευνήσωμεν τὰ κελλία.

Καὶ ἀπελθόντων αὐτῶν ἔλαβεν αὐτοὺς ὁ Γέρων εἰς τὰ κελλία τῶν ἄλλων, ὕστερον δὲ εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ. Καὶ εὗρεν ἐκεῖ τὸ βιβλίον καὶ ἤνεγκε τῷ πρεσβυτέρῳ εἰς τὴν ἐκκλησίαν. Καὶ ποιεῖ μετάνοιαν ὁ ἀδελφὸς ἐπὶ παντὸς τοῦ λαοῦ τῷ ἀββᾷ Ἰσιδώρῳ λέγων τῷ πρεσβυτέρῳ· Ἥμαρτον, δός μοι ἐπιτίμιον. Καὶ ἔδωκεν αὐτῷ ἐπιτίμιον ἐπὶ τρεῖς ἑβδομάδας μὴ κοινωνῆσαι. Καὶ ἐρχόμενος καθ' ἑκάστην σύναξιν ἐν τῇ ἐκκλησίᾳ προσέπιπτε παντὶ τῷ λαῷ λέγων· Συγχωρήσατέ μοι, ὅτι ἡμάρτηκα.

Καὶ μετὰ τὰς τρεῖς ἑβδομάδας ἐδέχθη εἰς τὴν κοινωνίαν. Καὶ εὐθέως ἐδαιμονίσθη ὁ Γέρων ὁ συκοφαντήσας αὐτὸν καὶ ἤρξατο ἐξομολογεῖσθαι λέγων ὅτι· Ἐσυκοφάντησα τὸν δοῦλον τοῦ Θεοῦ. Καὶ γενομένης εὐχῆς ὑπὸ πάσης τῆς ἐκκλησίας περὶ αὐτοῦ οὐκ ἐθεραπεύετο. Τότε ὁ μέγας Ἰσίδωρος λέγει ἐπὶ πάντων τῷ ἀδελφῷ· Εὖξαι ὑπὲρ αὐτοῦ· σὺ γὰρ ἐσυκοφαντήθης. Καὶ εἰ μὴ διὰ σοῦ, οὐ θεραπεύεται. Καὶ εὐξαμένου αὐτοῦ παραχρῆμα ὑγίανεν ὁ Γέρων.

βρίσκονταν ὅλοι στήν ἐκκλησία γιά τή Θεία Λειτουργία, αὐτός ἔφυγε ἀπ' τή σύναξη καί πῆγε κι ἔβαλε κρυφά τό δικό του βιβλίο στό κελί τοῦ ἐνάρετου ἀδελφοῦ. Ὅταν γύρισε, ἀνέφερε στόν ἀββᾶ Ἰσίδωρο «κάποιος ἀπ' τούς ἀδελφούς μοῦ ἔκλεψε τό βιβλίο».

Ἀπόρησε ὁ ἀββᾶς Ἰσίδωρος λέγοντας πώς ποτέ ὡς τώρα δέν ἔχει συμβεῖ κάτι τέτοιο στή Σκήτη. Λέει, λοιπόν, στόν ἀββᾶ Ἰσίδωρο ὁ γέροντας πού ἔβαλε κρυφά τό βιβλίο: «Στεῖλε μαζί μου δύο ἀπ' τούς Πατέρες γιά νά ψάξουμε στά κελιά».

Πράγματι ἔφυγαν αὐτοί ἀπ' τή σύναξη καί τούς πῆγε ὁ γέροντας (πού φθόνησε) γιά νά ψάξουν στά κελιά τῶν ἄλλων ἀδελφῶν καί τελευταῖα στό κελί τοῦ ἐνάρετου ἀδελφοῦ. Καί ἐκεῖ βρῆκε πράγματι τό βιβλίο καί τό ἔφερε στήν ἐκκλησία στόν ἱερέα. Καί βάζει μετάνοια ὁ ἀδελφός ἐνώπιον ὅλου τοῦ λαοῦ στόν ἀββᾶ Ἰσίδωρο, τόν πρεσβύτερο, λέγοντας: «Ἥμαρτον, βάλε μου ἐπιτίμιο». Καί τοῦ ἔδωσε ἐπιτίμιο νά μήν κοινωνήσει ἐπί τρεῖς ἑβδομάδες. Καί κάθε φορά πού ἐρχόταν σέ σύναξη στήν ἐκκλησία, ἔβαζε μετάνοια μπροστά σ' ὅλο τό πλῆθος λέγοντας: «Συγχωρῆστε με, γιατί ἔχω ἁμαρτήσει».

Μετά βέβαια ἀπό τίς τρεῖς ἑβδομάδες ἔγινε δεκτός στή Θεία Κοινωνία. Καί ἀμέσως δαιμονίσθηκε ὁ γέροντας πού τόν συκοφάντησε καί ἄρχισε νά ὁμολογεῖ λέγοντας: «Συκοφάντησα τόν δοῦλο τοῦ Θεοῦ». Καί παρόλο πού εὐχήθηκε γι' αὐτόν ὅλο τό ἐκκλησίασμα, δέν θεραπευόταν.

Τότε ὁ μέγας Ἰσίδωρος εἶπε στόν ἐνάρετο ἀδελφό ἐνώπιον ὅλων: «Προσευχήσου γι' αὐτόν, γιατί σύ ὁ ἴδιος συκοφαντήθηκες. Καί ἄν δέν θεραπευθεῖ μέ τή δική σου προσευχή, δέν θεραπεύεται καμία φορά». Μόλις προσευχήθηκε ὁ ἐνάρετος ἀδελφός, ἀμέσως θεραπεύθηκε ὁ γέροντας.

46. Γέγονέ τις Πατριάρχης κατὰ τὴν πόλιν Θεούπολιν λεγομένην, ὃς οὕτω γέγονεν ἐλεήμων καὶ φιλοσυμπαθὴς πρὸς τοὺς ἁμαρτάνοντας, εὔσπλαγχνός τε καὶ φιλάνθρωπος, ὅτι ποτὲ εἷς τῶν νοταρίων αὐτοῦ κλέψας αὐτῷ λάθρα χρυσίον καὶ φοβηθεὶς ἔφυγε καὶ ἀπῆλθεν εἰς Θηβαΐδα τῆς Αἰγύπτου.

Τούτῳ οὖν πλανωμένῳ περιτυχόντες οἱ τῆς Αἰγύπτου ἀγρίων θηρῶν ἀγριώτεροι καὶ ὠμότεροι βάρβαροι πρὸς τὰ ἔσχατα τῆς αὐτῶν ἄγουσι χώρας. Καὶ μαθὼν ὁ θειότατος ἀρχιεπίσκοπος Ἀλέξανδρος ὠνεῖται μὲν αὐτὸν αἰχμάλωτον ὄντα ὀγδοήκοντα καὶ πέντε νομισμάτων. Ἐπανελθόντος δὲ οὕτως ἐχρήσατο εὐσπλάγχνως πρὸς αὐτόν, φιλανθρώπως τε καὶ ἀγαθῶς, ὡς εἰπεῖν τινα τῶν τῆς πόλεως οἰκητόρων τότε μηδὲν εἶναι τοῦ εἰς τὸν Πατριάρχην τῆς πόλεως ἐκείνης ἁμαρτάνειν ἐπωφελέστερον.

Τέλος τῆς περὶ ἀνεξικακίας πραγματείας.



16. Θεούπολις ὀνομάστηκε ἡ Μεγάλη Ἀντιόχεια τῆς Συρίας ἐπί Ἰουστινιανοῦ.


46. Ὑπῆρξε κάποιος Πατριάρχης στήν πόλη πού ὀνομαζόταν Θεούπολη[16], ὁ ὁποῖος ἦταν πολύ ἐλεήμων, πολύ πονετικός στούς ἁμαρτάνοντες καί σπλαχνικός καί φιλάνθρωπος. Γιατί κάποτε ἕνας ἀπ' τούς γραμματεῖς του τοῦ 'κλεψε χρυσάφι καί ἐπειδή φοβήθηκε, ἔφυγε καί πῆγε στή Θηβαΐδα τῆς Αἰγύπτου.

Αὐτόν λοιπόν πού περιπλανιόταν ἀπό δῶ καί ἀπό κεῖ, τόν συνάντησαν οἱ βάρβαροι τῆς Αἰγύπτου, πού εἶναι πιό ἄγριοι καί πιό σκληροί κι ἀπ' αὐτά τά ἄγρια θηρία, καί τόν ὁδήγησαν στά βάθη τῆς χώρας τους.

Καί μόλις τό ἔμαθε ὁ εὐσεβέστατος ἄνθρωπος τοῦ Θεοῦ, ὁ ἀρχιεπίσκοπος δηλαδή Ἀλέξανδρος[17], τόν ἐξαγόρασε, καθώς ἦταν αἰχμάλωτος, μέ ὀγδονταπέντε χρυσά νομίσματα.

Κι ὅταν ἐπέστρεψε, τόσο σπλαχνικά καί φιλάνθρωπα καί καλά τοῦ φέρθηκε, ὥστε ἔφτασε νά πεῖ κάποιος ἀπ' τούς κατοίκους τῆς πόλεως τότε ὅτι τίποτε δέν φέρνει μεγαλύτερη ὠφέλεια ἀπό τό νά κάνει κάποιος κακό στόν Πατριάρχη τῆς πόλεως ἐκείνης.

Τέλος τοῦ κεφαλαίου περί ἀνεξικακίας.



17. Ἀλέξανδρος Α΄, ἀρχιεπίσκοπος Ἀντιοχείας (413-420).

Ἀπόσπασμα ἀπό τόν χειρόγραφο κώδικα Coislin 127 (12ος αἰ.)

ΚΕΦΑΛΑΙΟ ΙΖ΄

Ἔλεγεν ὁ ἀββᾶς Ἀγάθων: «Εἰ δυνατόν μοι ἦν εὑρεῖν κελεφὸν (=λεπρόν) καὶ δοῦναι αὐτῷ τὸ ἐμὸν σῶμα καὶ λαβεῖν τὸ αὐτοῦ, ἡδέως εἶχον· αὕτη γάρ ἐστιν ἡ τελεία ἀγάπη».

(Ἀπόφθ. 7)



Περὶ ἀγάπης



Ἶπεν ὁ ἀββᾶς Ἀντώνιος· Ἐγὼ οὐκέτι φοβοῦμαι τὸν Θεόν, ἀλλὰ ἀγαπῶ αὐτόν· ἡ γὰρ ἀγάπη ἔξω βάλλει τὸν φόβον.


2. Εἶπε πάλιν ὅτι· Ἐκ τοῦ πλησίον ἐστὶν ἡ ζωὴ καὶ ὁ θάνατος· ἐὰν γὰρ κερδήσωμεν τὸν ἀδελφόν, τὸν Θεὸν κερδαίνομεν· ἐὰν δὲ σκανδαλίσωμεν τὸν ἀδελφόν, εἰς Χριστὸν ἁμαρτάνομεν.

3. Ἔλεγον ὅτι τις τῶν Γερόντων ἠρώτησε τὸν Θεὸν ἰδεῖν τοὺς Πατέρας. Καὶ εἶδεν αὐτοὺς χωρὶς τοῦ ἀββᾶ Ἀντωνίου. Λέγει οὖν τῷ δεικνύοντι αὐτῷ· Ποῦ ἐστιν ὁ ἀββᾶς Ἀντώνιος; Ὁ δὲ εἶπεν αὐτῷ ὅτι εἰς τὸν τόπον ὅπου ὁ Θεός, ἐκεῖ ἐστιν.

4. Εἶπεν ὁ ἀββᾶς Ἀγάθων ὅτι· Οὐδέποτε ἐκοιμήθην ἔχων κατά τινος οὐδὲ ἀφῆκά τινα κοιμηθῆναι ἔχοντα κατ᾽ ἐμοῦ, κατὰ τὴν δύναμίν μου.

5. Ὁ αὐτὸς εἶπεν ὅτι· Οὐδέποτε ἔδωκα ἀγάπην, ἀλλὰ τὸ

1. Α´ Ἰω. 4, 18. 2. Α´ Ἰω. 3, 14.



Περί ἀγάπης



Ἶπε ὁ ἀββᾶς Ἀντώνιος*: «Ἐγώ δέν φοβᾶμαι πιά τόν Θεό, ἀλλά τόν ἀγαπῶ· γιατί ἡ ἀγάπη διώχνει πέρα τόν φόβο[1]».

2. Εἶπε πάλι: «Ἡ ζωή καί ὁ θάνατος τῆς ψυχῆς ἐξαρτᾶται ἀπό τόν πλησίον[2]. Ἄν κερδίσουμε τόν ἀδελφό, τόν Θεό κερδίζουμε· ἐνῶ ἄν σκανδαλίσουμε τόν ἀδελφό, στόν Χριστό ἁμαρτάνουμε».

3. Ἔλεγαν ὅτι κάποιος ἀπό τούς Γέροντες ζήτησε ἀπό τόν Θεό νά δεῖ τούς Πατέρες στόν οὐρανό. Πράγματι τούς εἶδε ἐκτός ἀπό τόν ἀββᾶ Ἀντώνιο. Ρωτάει τόν ἄγγελο πού τούς παρουσίαζε: «Ποῦ εἶναι ὁ ἀββᾶς Ἀντώνιος;» Καί ἐκεῖνος τοῦ ἀπαντᾶ: «Στόν τόπο ὅπου βρίσκεται ὁ Θεός, ἐκεῖ εἶναι».

4. Ὁ ἀββᾶς Ἀγάθων* εἶπε: «Ποτέ δέν πλάγιασα νά κοιμηθῶ, ἔχοντας δυσαρεστηθεῖ μέ κάποιον, ἀλλά οὔτε καί ἄφησα –ὅσο μποροῦσα– ἄλλον νά κοιμηθεῖ, ἔχοντας κάτι μέ μένα».

5. Ὁ ἴδιος εἶπε: «Ποτέ δέν ἔδωσα ἁπλῶς ἐλεημοσύνη. Φρόντιζα οἱ δοσοληψίες μου νά εἶναι μέ ἀγάπη, γιατί σκε-

δοῦναι καὶ λαβεῖν ἀγάπη μοι ἦν, λογιζόμενος ὅτι τὸ κέρδος τοῦ ἀδελφοῦ μου ἔργον καρποφορίας μοί ἐστιν.

6. Ἔλεγεν ὁ ἀββᾶς Ἰωσὴφ ἀδελφῶν λαλούντων περὶ ἀγάπης ὅτι· Ἡμεῖς οὐκ οἴδαμεν τί ἐστιν ἀγάπη. Καὶ εἶπε περὶ τοῦ ἀββᾶ Ἀγάθωνος ὅτι σμιλίον εἶχε, καὶ ἦλθε πρὸς αὐτὸν ἀδελφὸς καὶ ἐπήνεσεν αὐτό· καὶ οὐκ ἀφῆκεν αὐτὸν ἐξελθεῖν, εἰ μὴ ἔλαβε τὸ σμιλίον.

7. Ἔλεγεν ὁ ἀββᾶς Ἀγάθων ὅτι· Εἰ δυνατόν μοι ἦν εὑρεῖν κελεφὸν καὶ δοῦναι αὐτῷ τὸ ἐμὸν σῶμα καὶ λαβεῖν τὸ αὐτοῦ, ἡδέως εἶχον· αὕτη γάρ ἐστιν ἡ τελεία ἀγάπη.

8. Ἔλεγον πάλιν περὶ αὐτοῦ ὅτι ἐλθών ποτε πωλῆσαι σκεύη ἐν τῇ πόλει εὗρεν ἄνθρωπον ξένον ἐν τῇ πλατείᾳ ἐρριμμένον ἄρρωστον, μὴ ἔχοντα τὸν ἐπιμελούμενον, καὶ ἔμεινε σὺν αὐτῷ ὁ Γέρων λαβὼν ἐνοικίου κελλίον. Καὶ ἐκ τοῦ ἐργοχείρου παρεῖχε τὸ ἐνοίκιον καὶ τὰ λοιπὰ εἰς τὴν τοῦ ἀρρώστου χρείαν ἀνήλισκεν. Καὶ ἔμεινε τετράμηνον, ἕως οὗ ἰάθη ὁ ἄρρωστος. Καὶ οὕτως ὁ Γέρων ἀπῆλθεν εἰς τὸ κελλίον αὐτοῦ μετ' εἰρήνης.

9. Διηγήσαντο περὶ τοῦ ἀββᾶ Ἀγάθωνος ὅτι ἐσπούδαζε πᾶσαν ἐντολὴν ποιεῖν. Καὶ εἰ διέβαινεν εἰς πορθμεῖον, αὐτὸς πρῶτος ἐκράτει τὴν κώπην. Καὶ ὅτε παρέβαλλεν αὐτῷ ἀδελφός, εὐθέως ἀπὸ τῆς εὐχῆς ἡ χεὶρ αὐτοῦ τὴν τράπεζαν ἐτίθει· ἦν γὰρ μεστὸς ἀγάπης Θεοῦ.

10. Εἰσῆλθέ ποτε ὁ ἀββᾶς Ἀγάθων εἰς τὴν πόλιν πωλῆ-

φτόμουν ὅτι τό κέρδος τοῦ ἀδελφοῦ μου φέρνει σέ μένα καρπό».

6. Ἐνῶ κάποιοι ἀδελφοί συζητοῦσαν γενικά γιά τήν ἀγάπη, ὁ ἀββᾶς Ἰωσήφ εἶπε: «Ἐμεῖς δέν ξέρουμε τί εἶναι ἀγάπη». Καί πρόσθεσε: «Ὁ ἀββᾶς Ἀγάθων εἶχε ἕνα μικρό κλαδευτήρι. Μιά φορά πού τόν ἐπισκέφτηκε ἕνας ἀδελφός τό εἶδε καί τό ἐπαίνεσε. Ἔ, δέν τόν ἄφησε νά φύγει, παρά μόνον ἀφοῦ τό πῆρε μαζί του».

7. Ἔλεγε ὁ ἀββᾶς Ἀγάθων: «Ἄν γινόταν νά βρῶ ἕναν λεπρό καί νά τοῦ δώσω τό δικό μου σῶμα καί νά πάρω τό δικό του, εὐχαρίστως θά τό ἔκαμνα. Γιατί αὐτή εἶναι ἡ τέλεια ἀγάπη».

8. Ἔλεγαν πάλι γι' αὐτόν ὅτι πῆγε κάποτε στήν πόλη, γιά νά πουλήσει τό ἐργόχειρό του. Στήν πλατεία βρῆκε ριγμένο κάποιον ἄρρωστο, ξένο, πού δέν εἶχε ἄνθρωπο νά τόν φροντίζει. Ὁ Γέροντας τόν πῆρε καί ἔμεινε μαζί του σέ δωμάτιο πού νοίκιασε. Ἀπό τό ἐργόχειρό του πλήρωνε τό ἐνοίκιο καί τά ὑπόλοιπα τά ξόδευε γιά τίς ἀνάγκες τοῦ ἀρρώστου. Ἐκεῖ παρέμεινε τέσσερις μῆνες, ἑωσότου γιατρεύτηκε ὁ ἄρρωστος. Ἔτσι γύρισε ὁ Γέροντας μέ εἰρήνη στό κελί του.

9. Διηγήθηκε κάποιος γιά τόν ἀββᾶ Ἀγάθωνα ὅτι μέ ζῆλο ἀγωνιζόταν νά τηρεῖ κάθε ἐντολή. Ἄν ἦταν νά πλεύσει ἀπό τήν μιά ὄχθη στήν ἄλλη, αὐτός πρῶτος κρατοῦσε τό κουπί. Ἐπίσης, ὅταν ἐρχόταν νά τόν ἐπισκεφθεῖ κάποιος ἀδελφός, ἀμέσως μετά τήν προσευχή ἔστρωνε τραπέζι. Καί ὅλα αὐτά, γιατί ἦταν γεμάτος ἀπό ἀγάπη Θεοῦ.

10. Κάποτε ὁ ἀββᾶς Ἀγάθων ἦρθε στήν πόλη, γιά νά

σαι σκεύη καὶ εὑρίσκει τινὰ λελωβημένον παρὰ τὴν ὁδόν. Λέγει οὖν αὐτῷ ὁ λελωβημένος· Ποῦ ὑπάγεις; Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀγάθων· Εἰς τὴν πόλιν πωλῆσαι σκεύη. Λέγει αὐτῷ· Ποίησον ἀγάπην καὶ ἆρόν με ἐκεῖ. Καὶ βαστάσας αὐτὸν ἤνεγκεν εἰς τὴν πόλιν. Λέγει οὖν αὐτῷ· Ὅπου πωλεῖς τὰ σκεύη, ἐκεῖ με θές.

Ἐποίησε δὲ οὕτω. Καὶ ὅτε ἐπώλει σκεῦος, ἔλεγεν αὐτῷ ὁ λελωβημένος· Πόσου ἐπώλησας αὐτό; Καὶ ἔλεγε· Τόσου. Καὶ ἔλεγεν αὐτῷ· Ἀγόρασόν μοι πλακοῦντας. Καὶ ἠγόραζε. Καὶ πάλιν ἐπώλει ἄλλο σκεῦος, καὶ ἔλεγε· Καὶ τοῦτο πόσου ἐπώλησας; Καὶ ἔλεγε τόσου. Καὶ ἔλεγεν· Ἀγόρασόν μοι τόδε. Καὶ ἠγόραζε.

Μετὰ οὖν τὸ πωλῆσαι ὅλα τὰ σκεύη καὶ θέλειν ἀπελθεῖν, λέγει αὐτῷ ὁ λελωβημένος· Ὑπάγεις; Καὶ λέγει αὐτῷ· Ναί. Καὶ εἶπε· Ποίησον πάλιν ἀγάπην καὶ ἆρόν με ὅπου με εὗρες. Καὶ βαστάσας αὐτὸν ἀπήνεγκεν εἰς τὸν τόπον αὐτοῦ. Καὶ λέγει αὐτῷ· Εὐλογημένος εἶ, Ἀγάθων, ὑπὸ Κυρίου ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

Καὶ ἄρας τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐδένα εἶδεν· ἦν γὰρ ἄγγελος Κυρίου ἐλθὼν δοκιμάσαι αὐτόν.

11. Ὁ ἀββᾶς Ἀμμοὺν ὁ Νιτριώτης παρέβαλε τῷ ἀββᾷ Ἀντωνίῳ καὶ λέγει αὐτῷ ὅτι· Ἐγὼ πλειονά σου κόπον ἔχω καὶ πῶς τὸ ὄνομά σου ἐμεγαλύνθη ἐν τοῖς ἀνθρώποις ὑπὲρ ἐμέ; Λέγει αὐτῷ ὁ ἀββᾶς Ἀντώνιος· Ἐπειδὴ ἐγὼ ἀγαπῶ τὸν Θεὸν ὑπὲρ σέ.

12. Ἦν τις Γέρων εἰς τὰ Κελλία ὀνόματι Ἀπολλὼ καί, εἰ

3. Πού μόναζε στή Νιτρία. Βλ. Μ. Γερ. τ. Α', σελ. 24.

πουλήσει διάφορα ἀντικείμενα. Πλάι στόν δρόμο βρίσκει ἕναν λεπρό. Τόν ρωτάει ὁ λεπρός: «Ποῦ πηγαίνεις;» Ὁ ἀββᾶς ἀπαντᾶ: «Στήν πόλη νά πουλήσω πράγματα». Τοῦ λέει ὁ λεπρός: «Δεῖξε ἀγάπη καί πήγαινέ με ἐκεῖ». Τόν σήκωσε καί τόν ἔφερε στήν πόλη. Τοῦ λέει πάλι ὁ λεπρός: «Ὅπου πουλᾶς αὐτά πού ἔφερες, ἐκεῖ βάλε με».

Ὁ ἀββᾶς ἔκανε ὅπως τοῦ ζήτησε. Στήν συνέχεια, ὅταν πουλοῦσε κάτι, τόν ρωτοῦσε: «Καί αὐτό πόσο τό πούλησες;» Τοῦ ἀπαντοῦσε: «Τόσο». Τοῦ ἔλεγε τότε: «Ἀγόρασέ μου λιχουδιές», καί ὁ ἀββᾶς τοῦ ἀγόραζε. Πάλι, ὅταν πουλοῦσε ἄλλο, τόν ρωτοῦσε: «Καί αὐτό πόσο τό πούλησες;» Τοῦ ἀπαντοῦσε: «Τόσο». Τοῦ ἔλεγε: «Ἀγόρασέ μου τό τάδε», καί τοῦ τό ἀγόραζε.

Ὅταν ὁ ἀββᾶς πούλησε ὅλα ὅσα εἶχε γιά πούλημα καί ἐπρόκειτο νά φύγει, τόν ρωτάει ὁ λεπρός: «Φεύγεις;» «Ναί» τοῦ ἀπαντᾶ. «Δεῖξε πάλι ἀγάπη –τοῦ λέει ὁ λεπρός– καί πήγαινέ με, ὅπου μέ βρῆκες». Τόν σήκωσε λοιπόν καί τόν ἔφερε στόν τόπο του. Καί ὁ λεπρός τοῦ λέει: «Ἀγάθων, εἶσαι εὐλογημένος ἀπό τόν Κύριο στόν οὐρανό καί στή γῆ».

Σήκωσε ὁ Γέροντας τά μάτια του καί δέν εἶδε κανέναν. Ὁ λεπρός ἦταν ἄγγελος Κυρίου πού εἶχε ἔλθει νά τόν δοκιμάσει.

11. Ἐπισκέφθηκε κάποτε τόν ἀββᾶ Ἀντώνιο ὁ ἀββᾶς Ἀμμούν, ὁ Νιτριώτης[3], καί τοῦ λέει: «Ἐγώ ἔχω κοπιάσει πιό πολύ ἀπό σένα, καί πῶς ἔγινε καί οἱ ἄνθρωποι δόξασαν περισσότερο τό δικό σου ὄνομα ἀπό τό δικό μου;» Τοῦ λέει ὁ ἀββᾶς Ἀντώνιος: «Ἐπειδή ἐγώ ἀγαπῶ τόν Θεό παραπάνω ἀπό ὅ,τι ἐσύ».

12. Στά Κελλία ζοῦσε κάποιος Γέροντας, πού τόν ἔλεγαν Ἀπολλῶ. Αὐτός, ἄν ἐρχόταν κάποιος ἀδελφός νά τόν

ἤρχετό τις αἰτούμενος αὐτὸν εἰς οἱονδήποτε ἔργον, μετὰ χαρᾶς ἀπήει λέγων· Μετὰ τοῦ Χριστοῦ ἔχω σήμερον ἐργάσασθαι ὑπὲρ τῆς ψυχῆς μου· οὗτος γάρ ἐστιν ὁ μισθὸς αὐτῆς.

13. Εἶπεν ὁ ἀββᾶς Ἠσαΐας· Ἡ ἀγάπη ἀδολεσχία ἐστὶ πρὸς τὸν Θεὸν μετὰ ἀδιαλείπτου εὐχαριστίας, τῇ δὲ εὐχαριστίᾳ χαίρει ὁ Θεός. Σημεῖον δέ ἐστι τῆς ἀναπαύσεως.

14. Εἶπεν ὁ ἀββᾶς Θεόδωρος ὁ τοῦ Ἐνάτου ὅτι· Ὅτε ἤμην νεώτερος, εἰς τὴν ἔρημον ἔμενον. Ἀπῆλθον οὖν εἰς τὸ ἀρτοκοπεῖον ποιῆσαι δύο σιτίας καὶ εὗρον ἐκεῖ ἀδελφὸν θέλοντα ποιῆσαι ἄρτον, καὶ οὐκ εἶχέ τινα δοῦναι αὐτῷ χεῖρα. Ἐγὼ δὲ ἀφῆκα τὰ ἐμὰ καὶ ἔδωκα αὐτῷ χεῖρα. Ὡς δὲ ἐσχόλασα, ἦλθεν ἄλλος ἀδελφός, καὶ πάλιν ἔδωκα καὶ αὐτῷ χεῖρα καὶ ἐποίησα τὰ ψωμία. Καὶ πάλιν τρίτος ἦλθε καὶ ἐποίησα ὁμοίως. Καὶ οὕτως ἕκαστον τῶν ἐρχομένων ἐποίουν. Καὶ ἐποίησα ἓξ σιτίας. Ὕστερον δὲ ἐποίησα τὰς δύο σιτίας τὰς ἐμὰς ἀποσχόντων τῶν ἐρχομένων.

15. Ἀναβαίνοντός ποτε τοῦ ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ ἀπὸ Σκήτεως μετ᾽ ἄλλων ἀδελφῶν ἐπλανήθη ὁ ὁδηγῶν αὐτούς· ἦν γὰρ νύξ. Καὶ λέγουσιν οἱ ἀδελφοὶ τῷ ἀββᾷ Ἰωάννῃ· Τί ποιήσωμεν, πάτερ, ὅτι ἐπλανήθη ὁ ἀδελφὸς τὴν ὁδόν; Μήποτε ἀποθάνωμεν πλανώμενοι; Λέγει αὐτοῖς ὁ Γέρων· Ἐὰν εἴπωμεν αὐτῷ, λυπεῖται καὶ αἰσχύνεται· ἀλλ᾽ ἰδοὺ ποιῶ ἐμαυτὸν ἀσθενοῦντα καὶ λέγω οὐ δύναμαι ὁδεῦσαι, ἀλλὰ μένω ὧδε ἕως πρωί. Καὶ ἐποίησεν οὕτως. Οἱ δὲ λοιποὶ εἶπον·

4. Ἀδολεσχία: Βλ. Μ. Γερ. τ. Α', σελ. 94, ὑποσημ. 82.

ζητήσει γιά ὁποιαδήποτε ἐργασία, πήγαινε μέ χαρά λέγοντας: «Σήμερα μαζί μέ τόν Χριστό ἔχω νά ἐργασθῶ γιά τήν ψυχή μου· γιατί αὐτό εἶναι ὁ μισθός της».

13. Εἶπε ὁ ἀββᾶς Ἠσαΐας: «Ἡ ἀγάπη εἶναι ἀδολεσχία[4] πρός τόν Θεό πού συνοδεύεται ἀπό συνεχή εὐχαριστία. Μέ αὐτήν τήν εὐχαριστία χαίρεται ὁ Θεός. Ὅλο αὐτό εἶναι ἔνδειξη ὅτι ἡ ψυχή ἔχει ἀνάπαυση».

14. Ὁ ἀββᾶς Θεόδωρος τοῦ Ἐνάτου[5] εἶπε: «Ὅταν ἤμουν νέος, ἔμενα στήν ἔρημο. Μιά μέρα πῆγα στό ἀρτοποιεῖο νά κάνω δυό ψωμιά. Ἐκεῖ βρῆκα ἕναν ἀδελφό πού ἤθελε νά κάνει ψωμί, ἀλλά δέν εἶχε κάποιον νά τοῦ δώσει ἕνα χέρι βοήθειας. Ἄφησα τότε τά δικά μου καί τόν βοήθησα. Μόλις εὐκαίρησα ἀπ᾽ αὐτόν ἦρθε ἄλλος. Τόν βοήθησα καί ἐκεῖνον καί ἔγιναν τά ψωμιά του. Ἦλθε καί τρίτος ἀδελφός· ἔκανα τό ἴδιο. Ἔτσι ἔκαμνα μέ κάθε ἕναν πού ἐρχόταν. Καί ἔκανα ἕξι ψωμιά. Ὕστερα, ὅταν σταμάτησαν νά ἔρχονται ἄλλοι, ἔφτιαξα τά δυό δικά μου ψωμιά».

15. Κάποτε ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβός* ἀνέβαινε ἀπό τή Σκήτη μαζί μέ ἄλλους ἀδελφούς. Ἦταν νύχτα, καί ὁ ὁδηγός τους ἔχασε τόν δρόμο. Οἱ ἀδελφοί τό κατάλαβαν καί λένε στόν ἀββᾶ: «Τί νά κάνουμε, πάτερ; Ὁ ἀδελφός ἔχασε τόν δρόμο, καί περιπλανώμενοι θά κινδυνεύσουμε νά πεθάνουμε». Ὁ Γέροντας τούς λέει: «Ἄν τοῦ ποῦμε, θά πικραθεῖ καί θά ντροπιασθεῖ. Θά κάνω λοιπόν ὅτι ἀρρώστησα. Θά πῶ ὅτι δέν μπορῶ νά περπατήσω· ὅτι θά μείνω ἐδῶ ὥς τό πρωί». Ἔτσι καί ἔκανε. Ἀλλά καί οἱ ὑπόλοιποι εἶπαν:

5. Ἔνατον: Βλ. Μ. Γερ. τ. Γ', σελ. 75, ὑποσημ. 38.

Οὐδὲ ἡμεῖς ὑπάγομεν, ἀλλὰ καθήμεθα μετὰ σοῦ. Καὶ ἐκάθησαν ἕως πρωὶ καὶ τὸν ἀδελφὸν οὐκ ἐσκανδάλισαν.

16. Ἔλεγεν ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβός· Οὐ δυνατὸν οἰκοδομῆσαι τὸν οἶκον ἄνωθεν ἐπὶ τὰ κάτω, ἀλλ' ἐκ τοῦ θεμελίου ἐπὶ τὰ ἄνω. Λέγουσιν αὐτῷ· Τί ἐστιν ὁ λόγος οὗτος; Λέγει αὐτοῖς· Ὁ θεμέλιος ὁ πλησίον ἐστίν, ἵνα αὐτὸν κερδάνῃς, καὶ ὠφελῇ πρῶτος· εἰς αὐτὸν γὰρ κρέμανται πᾶσαι αἱ ἐντολαὶ τοῦ Χριστοῦ.

17. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἰωάννου ὅτι τινὸς νεωτέρας ἐτελεύτησαν οἱ γονεῖς καὶ ὑπελείφθη ὀρφανή, ὄνομα δὲ αὐτῇ Ταϊσία. Ἐλογίσατο οὖν ποιῆσαι τὸν οἶκον ἑαυτῆς ξενοδοχεῖον εἰς λόγον τῶν Πατέρων τῆς Σκήτεως. Ἔμεινεν οὖν οὕτω ξενοδοχοῦσα ἐπὶ χρόνον ἱκανὸν καὶ θεραπεύουσα τοὺς Πατέρας.

Μετὰ δὲ χρόνον, ὡς ἀνηλώθη τὰ πράγματα, ἀρχὴν ἐποίησεν ὑστερεῖσθαι. Ἐκολλήθησαν οὖν ἐν αὐτῇ δύστροφοι ἄνθρωποι καὶ μετέστησαν αὐτὴν τοῦ κατὰ Θεὸν σκοποῦ. Καὶ λοιπὸν ἤρξατο διάγειν κακῶς, ὥστε φθάσαι αὐτὴν εἰς τὸ πορνεύειν.

Ἤκουσαν δὲ οἱ Πατέρες καὶ πάνυ ἐλυπήθησαν καὶ προσκαλεσάμενοι τὸν ἀββᾶν Ἰωάννην τὸν Κολοβὸν λέγουσιν αὐτῷ ὅτι· Ἠκούσαμεν περὶ τῆς ἀδελφῆς ἐκείνης ὅτι διάγει κακῶς. Καὶ αὕτη μέν, ὅτε ἠδύνατο, τὴν ἀγάπην αὐτῆς εἰς ἡμᾶς ἐνεδείξατο. Καὶ νῦν ἡμεῖς ἐπιδειξώμεθα εἰς αὐτὴν ἀγά-

6. «Ἡ ἀγάπη μακροθυμεῖ... ἡ ἀγάπη πάντα στέγει» λέει ὁ ἀπόστολος Παῦλος (Α΄ Κορ. 13, 7) καί συνοδευομένη μέ τήν σύνεση ἐπινοεῖ τόν πιό φιλάνθρωπο τρόπο διόρθωσης τοῦ σφάλλοντος.

«Οὔτε κι ἐμεῖς θά προχωρήσουμε· θά μείνουμε μαζί σου». Καί κάθησαν ὥς τό πρωί κι ἔτσι δέν ἔβαλαν σέ πειρασμό τόν ἀδελφό[6].

16. Ἔλεγε ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβός: «Δέν γίνεται νά χτίσει κανείς τό σπίτι, ἀρχίζοντας ἀπό πάνω καί προχωρώντας πρός τά κάτω. Ἀπό τά θεμέλια θά ἀρχίσει καί θά προχωρήσει πρός τά πάνω». Τόν ρωτοῦν: «Τί σημαίνουν αὐτά τά λόγια;». «Τό θεμέλιο, ἀπαντᾶ, εἶναι ὁ πλησίον, προκειμένου νά τόν σώσεις· καί πρῶτος ἐσύ ὠφελεῖσαι, γιατί ἀπ' αὐτόν κρέμονται ὅλες οἱ ἐντολές τοῦ Χριστοῦ»[7].

17. Γιά τόν ἀββᾶ Ἰωάννη διηγοῦνταν τά ἑξῆς: Μιᾶς νέας πέθαναν οἱ γονεῖς καί ἔμεινε ὀρφανή. Τό ὄνομά της ἦταν Ταϊσία[8]. Σκέφτηκε λοιπόν ἡ κόρη αὐτή νά κάνει τό σπίτι της ξενοδοχεῖο, γιά τήν ἐξυπηρέτηση τῶν Πατέρων ἀπό τή Σκήτη, καί ἔμεινε σάν ξενοδόχος ἀρκετό καιρό, ἐξυπηρετώντας τούς Πατέρες.

Μετά ἀπό καιρό ξοδεύτηκαν αὐτά πού εἶχε καί ἄρχισε νά στερεῖται. Ἀπό τήν ἄλλη τήν πλησίασαν κάποιοι διεφθαρμένοι ἄνθρωποι καί τήν ἀπομάκρυναν ἀπό τόν καλό σκοπό της. Ἔτσι, ἄρχισε νά ζεῖ κακή ζωή. Ἔφθασε μέχρι τήν πορνεία.

Οἱ Πατέρες τό πληροφορήθηκαν καί πάρα πολύ λυπήθηκαν. Κάλεσαν τόν ἀββᾶ Ἰωάννη τόν Κολοβό καί τοῦ λένε: «Μάθαμε γιά κείνη τήν ἀδελφή ὅτι ζεῖ ὄχι καλή ζωή. Αὐτή βέβαια, ὅταν μποροῦσε, μᾶς ἔδειξε τήν ἀγάπη της. Τώρα κι ἐμεῖς ἄς τῆς δείξουμε ἀγάπη καί ἄς τήν βοηθή-

7. Ματθ. 22, 40.

8. Στόν κώδ. 108 γράφει Παϊσία, ἐνῶ στόν 127 Ταϊσία. Στά ἐκκλησιαστικά βιβλία φέρεται ὡς Ταϊσία καί ἡ μνήμη της ἑορτάζεται στίς 8 Ὀκτωβρίου.

πην καὶ βοηθήσωμεν αὐτῇ. Σκύλθητι οὖν πρὸς αὐτὴν καὶ κατὰ τὴν σοφίαν, ἣν ἔδωκέ σοι ὁ Θεός, οἰκονόμησον τὰ κατ᾽ αὐτήν.

Ἦλθεν οὖν ὁ ἀββᾶς Ἰωάννης πρὸς αὐτὴν καὶ λέγει τῇ γραΐδι τῇ θυρωρῷ· Μήνυσόν με πρὸς τὴν κυρίαν σου. Ἡ δὲ ἐπεμέμψατο αὐτῷ λέγουσα· Ὑμεῖς ἐξ ἀρχῆς κατεφάγετε τὰ ἑαυτῆς, καὶ ἤδη πτωχή ἐστι. Λέγει αὐτῇ ὁ ἀββᾶς Ἰωάννης· Εἰπὲ αὐτῇ, πάνυ γὰρ ἔχω αὐτὴν ὠφελῆσαι. Οἱ δὲ παῖδες αὐτῆς ὑπομειδιῶντες λέγουσιν αὐτῷ· Τί γὰρ ἔχεις δοῦναι αὐτῇ, ὅτι θέλεις αὐτῇ συντυχεῖν; Ὁ δὲ ἀπεκρίθη λέγων· Πόθεν γὰρ οἴδατε τὶ μέλλω αὐτῇ παρασχεῖν;

Ἀνελθοῦσα οὖν ἡ γραῦς εἶπεν αὐτῇ περὶ αὐτοῦ. Καὶ λέγει αὐτῇ ἡ νεωτέρα· Οὗτοι οἱ μοναχοὶ ἀεὶ διακινοῦνται παρὰ τὴν Ἐρυθρὰν Θάλασσαν καὶ εὑρίσκουσι μαργαρίτας. Κοσμήσασα οὖν ἑαυτὴν λέγει· Θέλησον ἀνενέγκαι αὐτὸν πρός με. Ὡς οὖν ἀνῆλθε, προλαβοῦσα ἐκαθέσθη εἰς τὴν κλίνην. Καὶ ἐλθὼν ὁ ἀββᾶς Ἰωάννης ἐκαθέσθη ἐγγὺς αὐτῆς. Προσχὼν δὲ εἰς τὸ πρόσωπον αὐτῆς λέγει αὐτῇ· Τί κατέγνως τοῦ Ἰησοῦ ὅτι εἰς τοῦτο ἦλθες; Ἀκούσασα δὲ ἀπεπάγη ὅλη. Καὶ κλίνας κάτω τὴν κεφαλὴν αὐτοῦ ὁ ἀββᾶς Ἰωάννης ἤρξατο κλαίειν σφοδρῶς. Λέγει αὐτῷ ἐκείνη· Ἀββᾶ, τί κλαίεις; Ὡς δὲ ἀνένευσε, πάλιν ἔκλινεν ἑαυτὸν κλαίων καὶ λέγει αὐτῇ· Βλέπω ὅτι ὁ Σατανᾶς παίζει εἰς τὴν ὄψιν σου, καὶ οὐ μὴ κλαύσω;

Ἀκούσασα δὲ λέγει αὐτῷ· Ἔνι μετάνοια, ἀββᾶ; Λέγει· Ναί. Λέγει αὐτῷ· Λάβε με, ὅπου θέλεις. Λέγει αὐτῇ· Ἄγωμεν. Καὶ ἀνέστη ἀκολουθῆσαι αὐτῷ. Προσέσχε δὲ ὁ ἀββᾶς Ἰωάννης ὅτι οὐδὲν διετάξατο ἢ ἐλάλησε περὶ τοῦ οἴκου αὐτῆς, καὶ ἐθαύμασεν.

Ὡς οὖν ἔφθασαν εἰς τὴν ἔρημον, βράδιον ἐγένετο. Καὶ ποιήσας ἐκ τῆς ἄμμου μικρὸν προσκεφάλαιον αὐτῇ, ποιήσας δὲ καὶ ἑαυτῷ ἀπὸ μικροῦ διαστήματος, καὶ σφραγισά-

σουμε. Μπές ἐσύ στόν κόπο νά τήν συναντήσεις καί μέ τή σοφία πού σοῦ χάρισε ὁ Θεός τακτοποίησε ὅ,τι ἔχει σχέση μέ κείνην».

Πῆγε λοιπόν ὁ ἀββᾶς. Λέει στή γριά τή θυρωρό: «Κάνε γνωστό στήν κυρία σου ὅτι ἦρθα». Αὐτή ὅμως τόν ἀπόδιωξε λέγοντας: «Ἐσεῖς ἀπό τήν ἀρχή τῆς φάγατε ὅ,τι εἶχε, καί τώρα πιά εἶναι φτωχή». Τῆς λέει ὁ ἀββᾶς Ἰωάννης: «Μίλησέ της γιά μένα· μπορῶ νά τῆς φανῶ πολύ χρήσιμος». Οἱ ὑπηρέτες της χαμογελώντας εἰρωνικά τοῦ λένε: «Τί μπορεῖς τάχα νά τῆς δώσεις καί θέλεις νά τήν ἀνταμώσεις;» «Ποῦ ξέρετε ἐσεῖς –ἀποκρίθηκε– τί πρόκειται νά τῆς δώσω;»

Ἀνέβηκε λοιπόν ἡ θυρωρός καί τῆς εἶπε γιά τόν ἀββᾶ. Λέει ἡ νέα: «Αὐτοί οἱ μοναχοί πάντοτε περνοῦν ἀπό τά παράλια τῆς Ἐρυθρᾶς θάλασσας καί βρίσκουν μαργαριτάρια». Ἔπειτα στολίστηκε καί τῆς λέει: «Νά μοῦ τόν φέρεις, παρακαλῶ, ἐπάνω». Μόλις ἀνέβηκε ὁ ἀββᾶς, ἐκείνη πρόλαβε καί κάθισε στήν κλίνη. Ὁ ἀββᾶς ἦρθε καί κάθισε κοντά της καί κοιτάζοντάς την μέ προσοχή στό πρόσωπο, λέει: «Γιατί ἀπέρριψες τόν Ἰησοῦ, ὥστε νά φτάσεις ὥς αὐτό τό σημεῖο;» Στά λόγια αὐτά πάγωσε ὁλόκληρη. Ἔσκυψε τό κεφάλι κάτω ὁ ἀββᾶς καί ἄρχισε νά κλαίει δυνατά. «Ἀββᾶ, τοῦ λέει ἐκείνη, γιατί κλαῖς;» Σήκωσε γιά λίγο τό κεφάλι του, ἀλλ᾽ ἔσκυψε πάλι καί κλαίγοντας τῆς λέει: «Βλέπω τόν σατανᾶ νά παίζει στήν ὄψη σου καί δέν θά κλάψω;»

Τότε τοῦ λέει: «Ὑπάρχει μετάνοια, ἀββᾶ;» «Ναί», ἀπαντᾶ. «Πάρε με, τοῦ λέει, καί πήγαινέ με ὅπου θέλεις». «Πᾶμε», τῆς ἀποκρίνεται. Σηκώθηκε καί τόν ἀκολούθησε. Δέν ἄφησε καμία ἐντολή οὔτε ὅρισε τίποτε γιά τό σπίτι της. Τά πρόσεξε αὐτά ὁ ἀββᾶς καί θαύμασε.

Ἔφθασαν στήν ἔρημο. Εἶχε βραδιάσει. Ὁ ἀββᾶς ἔκανε ἀπό τήν ἄμμο ἕνα μικρό προσκεφάλι γι᾽ αὐτήν καί σέ μικρή ἀπόσταση ἕνα γιά τόν ἑαυτό του. Τό δικό της τῆς τό

μενος λέγει αὐτῇ· Καθεύδησον ἐνταῦθα. Πληρώσας δὲ τὰς εὐχὰς αὐτοῦ ἀνεκλίθη καὶ αὐτός. Περὶ δὲ τὸ μεσονύκτιον διυπνισθεὶς βλέπει ὁδόν τινα φωτεινὴν ἀπὸ τοῦ οὐρανοῦ ἕως αὐτῆς ἐστηριγμένην. Καὶ εἶδεν τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναφέροντας τὴν ψυχὴν αὐτῆς. Ἀναστὰς οὖν καὶ ἀπελθὼν ἔνυξεν αὐτὴν τῷ ποδί. Ὡς δὲ εἶδεν ὅτι ἀπέθανεν, ἔρριψεν ἑαυτὸν ἐπὶ πρόσωπον δεόμενος τοῦ Θεοῦ. Καὶ ἤκουσεν ὅτι ἡ μία ὥρα τῆς μετανοίας αὐτῆς προσεδέχθη ὑπὲρ μετάνοιαν πολλῶν χρονιζόντων καὶ μὴ ἐνδεικνυμένων τὸ θερμὸν τῆς τοιαύτης μετανοίας.

18. Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὅτι ὁ πατὴρ ἡμῶν ὁ ἀββᾶς Ἀντώνιος εἶπεν· οὐδέποτε τὸ ἑαυτοῦ συμφέρον προέκρινα τῆς τοῦ ἀδελφοῦ μου ὠφελείας.

19. Παρέβαλεν ὁ ἀββᾶς Ἱλαρίων ἀπὸ Παλαιστίνης εἰς τὸ ὄρος πρὸς τὸν ἀββᾶν Ἀντώνιον. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ἀντώνιος· Καλῶς ἦλθες ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων. Καὶ εἶπεν αὐτῷ ὁ ἀββᾶς Ἱλαρίων· Εἰρήνη σοι, ὁ στῦλος τοῦ πυρός, ὁ τὴν οἰκουμένην φωτίζων.

20. Ἦλθέ τις τῶν Γερόντων πρὸς τὸν ἀββᾶν Λὼτ εἰς τὸ μικρὸν ἕλος τοῦ Ἀρσενοΐτου καὶ παρεκάλεσεν αὐτὸν διὰ κελλίον, καὶ ἔδωκεν αὐτῷ. Ἦν δὲ ὁ Γέρων ἀσθενής, καὶ ἀνέπαυσεν αὐτὸν ὁ ἀββᾶς Λώτ. Καὶ εἰ ἤρχοντό τινες παραβαλεῖν τῷ ἀββᾷ Λώτ, ἐποίει αὐτοὺς παραβαλεῖν καὶ τῷ Γέροντι τῷ ἀσθενεῖ. Καὶ ἤρξατο αὐτοῖς λαλεῖν λόγους τοῦ Ὠριγένους. Καὶ ἐθλίβετο ὁ ἀββᾶς Λὼτ λέγων μὴ καὶ νομίσωσιν οἱ Πα-

σφράγισε μέ τό σχῆμα τοῦ Σταυροῦ καί τῆς λέει: «Κοιμήσου ἐδῶ». Καί ὁ ἴδιος, ἀφοῦ τελείωσε τίς προσευχές του, ξάπλωσε. Τά μεσάνυχτα ξύπνησε. Βλέπει ἕναν δρόμο φωτεινό, πού ξεκινοῦσε ἀπό τόν οὐρανό καί τερμάτιζε πάνω στή γυναίκα· καί εἶδε τούς ἀγγέλους τοῦ Θεοῦ νά ἀνεβάζουν ψηλά τήν ψυχή της. Σηκώθηκε. Τήν πλησίασε καί τήν ἔσπρωξε ἁπαλά μέ τό πόδι. Ἀντιλήφθηκε ὅτι εἶχε πεθάνει. Συγκινημένος ἔπεσε μέ τό πρόσωπο στή γῆ καί δέονταν στόν Θεό.

Μιά φωνή ἀκούστηκε πού ἔλεγε: «Ἡ μετάνοια τῆς μιᾶς ὥρας αὐτῆς τῆς γυναίκας ἔγινε περισσότερο δεκτή ἀπό τή μετάνοια πολλῶν πού χρόνια μετανοοῦν, χωρίς ὅμως ἡ μετάνοιά τους νά ἔχει μιά τέτοια θερμότητα».

18. Ὁ ἀββᾶς Ἰωάννης εἶπε: «Ὁ πατέρας μας, ὁ ἀββᾶς Ἀντώνιος, εἶπε: ποτέ δέν ἔβαλα τό δικό μου συμφέρον πιό πάνω ἀπό τήν ὠφέλεια τοῦ ἀδελφοῦ μου».

19. Κάποτε ὁ ἀββᾶς Ἱλαρίων πῆγε ἀπό τήν Παλαιστίνη στό ὄρος νά συναντήσει τόν ἀββᾶ Ἀντώνιο. Ὅταν ἔφθασε, τοῦ λέει ὁ ἀββᾶς Ἀντώνιος: «Καλωσόρισες, ὁ αὐγερινός πού ἀνατέλλει τό πρωί». Καί ἐκεῖνος τοῦ εἶπε: «Εἰρήνη σέ σένα, τόν στύλο τοῦ φωτός πού φωτίζει τήν οἰκουμένη».

20. Ἦρθε κάποιος ἀπό τούς Γέροντες στόν ἀββᾶ Λώτ, πού ἔμενε στό μικρό ἕλος τοῦ Ἀρσενοΐτου. Τόν παρακάλεσε νά τοῦ δώσει ἕνα κελί, καί τοῦ ἔδωσε. Ὁ Γέροντας αὐτός ἦταν ἄρρωστος καί τόν τακτοποίησε ὁ ἀββᾶς Λώτ. Μάλιστα ἄν ἔρχονταν κάποιοι νά συναντήσουν τόν ἀββᾶ, τούς ἔκανε πρόταση νά ἐπισκεφθοῦν καί τόν ἄρρωστο αὐτόν Γέροντα. Αὐτός ὅμως ἄρχισε νά τούς λέει διδασκαλίες τοῦ Ὠριγένη. Ὁ ἀββᾶς Λώτ θλιβόταν, γιατί φοβόταν μήπως

τέρες ὅτι καὶ ἡμεῖς οὕτως ἐσμέν. Καὶ ἐκβαλεῖν αὐτὸν ἐκ τοῦ τόπου ἐφοβεῖτο διὰ τὴν ἐντολήν.

Καὶ ἀναστὰς ὁ ἀββᾶς Λὼτ ἦλθε πρὸς τὸν ἀββᾶν Ἀρσένιον καὶ διηγήσατο αὐτῷ περὶ τοῦ Γέροντος. Καὶ λέγει αὐτῷ ὁ ἀββᾶς Ἀρσένιος· Μὴ διώξῃς αὐτόν, ἀλλ' εἰπὲ αὐτῷ· ἰδού, ἐκ τῶν τοῦ Θεοῦ φάγε, πίε, ὡς θέλεις, μόνον τὸν λόγον τοῦτον μὴ λαλήσῃς. Καὶ ἐὰν θέλῃ, διορθοῦται· εἰ δὲ μὴ θέλει διορθώσασθαι, ἀφ' ἑαυτοῦ μέλλει παρακαλεῖν τοῦ ἀναχωρῆσαι ἐκ τοῦ τόπου, καὶ οὐκ ἀπὸ σοῦ γίνεται ἡ ἀφορμή.

Ἀπελθὼν οὖν ὁ ἀββᾶς Λὼτ ἐποίησεν οὕτω. Καὶ ὁ Γέρων ὡς ἤκουσε ταῦτα, οὐκ ἤθελε διορθώσασθαι, ἀλλ' ἔβαλε παρακαλεῖν λέγων· Διὰ τὸν Κύριον πέμψατέ με ἐντεῦθεν, ὅτι οὐ δύναμαι βαστάξαι τὴν ἔρημον. Καὶ ἀναστὰς ἐξῆλθε προπεμπόμενος μετὰ ἀγάπης.

21. Ἔλεγεν ὁ ἀββᾶς Πέτρος περὶ τοῦ ἀββᾶ Μακαρίου ὅτι παραγενόμενός ποτε πρός τινα ἀναχωρητὴν καὶ εὑρὼν αὐτὸν κακούμενον ἐπυνθάνετο τί ἔλοιτο τραφῆναι οὐδενὸς ὄντος ἐν τῷ κελλίῳ αὐτοῦ. Καὶ φήσαντος πάστιλον, εἰς τὴν Ἀλεξανδρέων πόλιν οὐκ ὤκνησεν ὁ ἀνδρεῖος παραγενέσθαι καὶ δοῦναι τῷ κάμνοντι· καὶ τὸ θαυμαστόν, μηδενὶ κατάδηλον γενόμενον.

22. Γέρων τις ἦν ἐν Αἰγύπτῳ πρὸ τοῦ ἐλθεῖν τοὺς περὶ τὸν ἀββᾶν Ποιμένα. Καὶ εἶχε γνῶσιν καὶ πολλὴν τιμήν. Ὡς οὖν ἀνέβησαν οἱ περὶ τὸν ἀββᾶν Ποιμένα ἀπὸ τῆς Σκήτεως, ἀφῆκαν αὐτὸν οἱ ἄνθρωποι καὶ ἤρχοντο πρὸς τὸν ἀββᾶν Ποιμένα, καὶ ἐθλίβετο. Καὶ λέγει τοῖς ἀδελφοῖς αὐτοῦ· Τί

καί περάσει ἀπό τόν λογισμό τῶν Πατέρων ὅτι κι ἐμεῖς τέτοιοι εἴμαστε. Ὅμως δίσταζε καί νά τόν διώξει ἀπό τόν τόπο, παραβαίνοντας τήν ἐντολή τῆς ἀγάπης.

Σηκώνεται λοιπόν ὁ ἀββᾶς Λώτ καί πηγαίνει στόν ἀββᾶ Ἀρσένιο. Τοῦ ἐξιστορεῖ ὅλα τά σχετικά μέ τόν Γέροντα καί ὁ ἀββᾶς Ἀρσένιος τοῦ λέει: «Μήν τόν διώξεις, μόνον πές του: Νά, φάε ἀπό ὅσα δίνει ὁ Θεός, πιές ὅπως θέλεις, ἀλλά αὐτά τά λόγια νά μήν τά λές. Ἔτσι, ἄν θέλει, διορθώνεται· ἀλλιῶς μόνος του θά ζητήσει νά φύγει ἀπό κεῖ, καί δέν γίνεσαι ἐσύ ἡ ἀφορμή».

Γυρίζοντας ὁ ἀββᾶς Λώτ, ἔκανε ὅπως τοῦ εἶπε. Ὁ Γέροντας μόλις ἄκουσε αὐτά τά λόγια, δέν ἤθελε νά διορθωθεῖ, καί ἄρχισε νά παρακαλεῖ: «Γιά τό ὄνομα τοῦ Κυρίου, βοηθῆστε με νά φύγω ἀπό δῶ, γιατί δέν μπορῶ νά ἀντέξω τήν ἐρημική ζωή». Ἔτσι, σηκώθηκε καί ἔφυγε, ἀφοῦ τόν ξεπροβόδισαν μέ ἀγάπη.

21. Ἔλεγε ὁ ἀββᾶς Πέτρος γιά τόν ἀββᾶ Μακάριο: «Πῆγε κάποτε σέ ἕναν ἀναχωρητή καί τόν βρῆκε ἄρρωστο. Τόν ρώτησε τί θά προτιμοῦσε νά τοῦ φέρει νά φάει, γιατί τίποτε δέν ὑπῆρχε στό κελί. Καί ὅταν τοῦ εἶπε «παστέλι», δέν δίστασε ὁ καρτερόψυχος ἐκεῖνος ἄνδρας νά πάει ὥς τήν Ἀλεξάνδρεια καί νά τό φέρει στόν ἀνήμπορο ἀδελφό. Καί τό θαυμαστό: δέν τό ἔμαθε κανείς τό γεγονός αὐτό.

22. Στήν Αἴγυπτο ζοῦσε ἕνας Γέροντας, προτοῦ νά σχηματισθεῖ ἡ συνοδεία τοῦ ἀββᾶ Ποιμένα. Ὁ Γέροντας αὐτός εἶχε γνώση καί ἀπολάμβανε μεγάλη τιμή. Μόλις ὅμως ἀνέβηκαν ἀπό τή Σκήτη ὁ ἀββᾶς Ποιμένας καί οἱ δικοί του, οἱ ἄνθρωποι ἄφησαν αὐτόν τόν Γέροντα καί ἔρχονταν στόν ἀββᾶ Ποιμένα. Ὁ ἀββᾶς θλιβόταν ἀπό τό γεγονός αὐτό. Μιά μέρα λέει στούς ἀδελφούς του: «Τί νά κάνουμε μέ αὐ-

ποιήσωμεν τῷ μεγάλῳ Γέροντι τούτῳ, ὅτι εἰς θλῖψιν ἡμᾶς ἔβαλον οἱ ἄνθρωποι καταλιπόντες τὸν Γέροντα καὶ ἡμῖν οὐδὲν οὖσι προσέχοντες; Πῶς οὖν δυνάμεθα τὸν Γέροντα θεραπεῦσαι; Καὶ λέγει αὐτοῖς· Ποιήσατε μικρὰ βρώματα καὶ λάβετε σαΐτην οἴνου καὶ ἄγωμεν πρὸς αὐτὸν καὶ γευσώμεθα ὁμοῦ· τάχα ἐν τούτῳ δυνησόμεθα θεραπεῦσαι αὐτόν.

Ἐβάστασαν οὖν τὰ βρώματα καὶ ἀπῆλθον. Καὶ ὡς ἔκρουσαν τὴν θύραν, ἐπήκουσεν ὁ μαθητὴς αὐτοῦ λέγων· Τίνες ἐστέ; Οἱ δὲ εἶπον· Λάλησον τῷ ἀββᾷ ὁ Ποιμὴν ἐστι θέλων εὐλογηθῆναι παρὰ σοῦ. Καὶ τοῦτο ἀναγγείλαντος ἐδήλωσεν αὐτῷ λέγων· Ὕπαγε, οὐ σχολάζω. Οἱ δὲ ὑπέμειναν εἰς τὸ καῦμα λέγοντες· Οὐκ ἀναχωροῦμεν, ἐὰν μὴ καταξιωθῶμεν τοῦ Γέροντος. Ὁ δὲ Γέρων ἰδὼν τὴν ταπείνωσιν αὐτῶν καὶ τὴν ὑπομονήν, κατανυγεὶς ἀνέῳξεν αὐτοῖς. Καὶ εἰσελθόντες ἐγεύσαντο μετ' αὐτοῦ. Ἐσθιόντων δὲ αὐτῶν ἔλεγεν· Ἐπ' ἀληθείας οὐκ εἰσι μόνα ἃ ἀκήκοα περὶ ὑμῶν, ἀλλ' ἑκατονταπλασίονα εἶδον ἐν τῷ ἔργῳ ὑμῶν. Ἐγένετο δὲ αὐτῶν φίλος ἀπὸ τῆς ἡμέρας ἐκείνης.

23. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι, ἐὰν παρέβαλλεν ἀδελφὸς τῷ ἀββᾷ Ἰωάννῃ τῷ Κολοβῷ, παρεδίδου αὐτῷ τὴν ἀγάπην τὴν ἐν τῷ ἀποστόλῳ· Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται.

24. Εἶπε πάλιν· Μείζονα ταύτης τῆς ἀγάπης οὐκ ἔστιν εὑρεῖν τινα, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τοῦ πλησίον αὐτοῦ. Εἰ γάρ τις ἀκούσῃ λόγον λυπηρόν, δυνάμενος καὶ αὐτὸς τὸν ὅμοιον εἰπεῖν, καὶ ἀγωνίσηται μὴ εἰπεῖν, ἢ ἐὰν πλεονεκτηθῇ καὶ βαστάξῃ καὶ μὴ ἀνταποδώσῃ αὐτῷ, ὁ τοιοῦτος τίθησι τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ πλησίον.

9. Α΄ Κορ. 13, 4.

10. Ἰω. 15, 13 καί Α΄ Ἰω. 3, 16.

τόν τόν μεγάλο Γέροντα; Σέ θλίψη μᾶς ἔβαλαν οἱ ἄνθρωποι· τόν ἐγκατέλειψαν καί προσέχουν ἐμᾶς πού εἴμαστε ἕνα τίποτε. Πῶς, λοιπόν, μποροῦμε νά φροντίσουμε τόν Γέροντα;» Ἔπειτα τούς λέει: «Ἑτοιμάστε λίγα φαγώσιμα, πάρτε καί ἕνα δοχεῖο κρασί, καί ἄς πᾶμε νά φᾶμε μαζί του· ἴσως μ' αὐτό τόν τρόπο μπορέσουμε νά τόν ἀναπαύσουμε».

Πῆραν τά φαγητά καί πῆγαν. Χτύπησαν τήν πόρτα. Τούς ἄκουσε ὁ μαθητής του. Τούς ρωτάει: «Ποιοί εἶστε;» Τοῦ λένε: «Πές στόν ἀββᾶ ὅτι εἶναι ὁ Ποιμήν καί θέλει νά πάρει τήν εὐλογία σου». Τό ἀνήγγειλε αὐτό ὁ μαθητής, ἀλλά ἐκεῖνος τοῦ δήλωσε: «Πήγαινε· δέν εὐκαιρῶ». Ἔκαναν ὅμως ὑπομονή μέσα στόν καύσωνα καί τοῦ εἶπαν: «Δέν φεύγουμε, ἄν δέν γίνουμε ἄξιοι νά μᾶς δεχθεῖ ὁ Γέροντας». Ὅταν ὁ Γέροντας εἶδε τήν ταπείνωση καί τήν ὑπομονή τους, ἔνιωσε κατάνυξη καί τούς ἄνοιξε. Μπῆκαν μέσα καί ἔφαγαν μαζί του. Καθώς ἔτρωγαν, ἔλεγε: «Δέν ἀληθεύουν μόνον ὅσα ἔχω ἀκούσει γιά σᾶς. Εἶδα ἑκατονταπλάσια στήν πράξη». Ἀπό κείνη τή μέρα ἔγινε φίλος τους.

23. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Ὁ ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ἄν τόν ἐπισκεπτόταν κάποιος ἀδελφός, τοῦ προσέφερε τήν ἀγάπη πού διαβάζουμε στόν ἀπόστολο: Ἡ ἀγάπη εἶναι ἀνεκτική, εὐεργετική καί ὠφέλιμη[9]».

24. Εἶπε πάλι: «Δέν μπορεῖ κανείς νά βρεῖ μεγαλύτερη ἀγάπη ἀπό τό νά δίνει κάποιος τή ζωή του γιά τόν πλησίον[10]. Δηλαδή ἄν κανείς ἀκούσει λυπηρό λόγο σέ βάρος του ἀπό τόν πλησίον καί, ἐνῶ μπορεῖ καί ὁ ἴδιος νά τοῦ πεῖ παρόμοιο, ἀγωνιστεῖ καί δέν πεῖ· ἤ ἄν ἀδικηθεῖ καί σηκώσει τήν ἀδικία, χωρίς νά τήν ἀνταποδώσει, αὐτός εἶναι πού προσφέρει τή ζωή του γιά τόν πλησίον».

25. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα λέγων· Εὗρον τόπον ἔχοντα πᾶσαν ἀνάπαυσιν τῶν ἀδελφῶν· θέλεις οἰκήσω ἐκεῖ; Καὶ εἶπεν ὁ Γέρων· Ὅπου οὐ βλάπτεις τὸν ἀδελφόν σου, ἐκεῖ μεῖνον.

26. Ἀδελφὸς ἠρώτησε τὸν ἀββᾶν Ποιμένα· Ἐὰν ἀδελφὸς ἔχῃ μου μικρὰ νουμία, θέλεις αὐτὸν ἐρωτήσω; Λέγει αὐτῷ ὁ Γέρων· Ἐρώτησον αὐτὸν ἅπαξ. Λέγει αὐτῷ ὁ ἀδελφός· Τί οὖν ποιήσω; οὐ γὰρ περιγίνομαι τοῦ λογισμοῦ μου. Λέγει αὐτῷ ὁ Γέρων· Ἄφες τὸν λογισμόν σου λακᾶν· μόνον τὸν ἀδελφόν σου μὴ θλίψῃς.

27. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ποιμένος ὅτι ἐκάθητο εἰς Σκῆτιν μετὰ δύο ἀδελφῶν αὐτοῦ. Καὶ ὁ μικρότερος ἔθλιβεν αὐτούς. Καὶ λέγει τῷ ἄλλῳ ἀδελφῷ· Παραλύει ἡμᾶς ὁ μικρὸς οὗτος. Ἐγείρου, ἄγωμεν ἔνθεν. Καὶ ἐξελθόντες ἀφῆκαν αὐτόν. Ὡς οὖν οἶδεν ὅτι ἐχρόνισαν, εἶδεν αὐτοὺς μακρὰν ἀπέχοντας καὶ ἤρξατο τρέχειν ὀπίσω αὐτῶν κράζων. Λέγει ὁ ἀββᾶς Ποιμήν· Μείνωμεν τὸν ἀδελφόν, ὅτι κοπιᾷ. Ὡς οὖν ἦλθε πρὸς αὐτούς, ἔβαλε μετάνοιαν λέγων· Ποῦ ὑπάγετε καὶ ἀφίετέ με μόνον; Λέγει αὐτῷ ὁ Γέρων. Ὅτι θλίβεις ἡμᾶς, διὰ τοῦτο ἡμεῖς ἀναχωροῦμεν. Λέγει αὐτοῖς· Ναί, ναί· ὅπου θέλετε, ἄγωμεν ὁμοῦ.

Καὶ ἰδὼν ὁ Γέρων τὴν ἀκακίαν αὐτοῦ λέγει τῷ ἀδελφῷ αὐτοῦ· Ἀναστρέψωμεν, ἀδελφέ· οὐ γὰρ θέλων ταῦτα ποιεῖ, ἀλλ' ὁ διάβολός ἐστιν ὁ ταῦτα ποιῶν αὐτῷ. Καὶ ἀναστρέψαντες ἦλθον εἰς τὸν τόπον αὐτῶν.

11. Νουμίον: Βλ. Μ. Γερ. τ. Γ', σελ. 137, ὑποσημ. 95.

25. Ἕνας ἀδελφός εἶπε στόν ἀββᾶ Ποιμένα: «Βρῆκα ἕναν τόπο πού παρέχει κάθε ἀνάπαυση στούς ἀδελφούς. Μοῦ δίνεις εὐλογία νά ἐγκατασταθῶ ἐκεῖ;» Εἶπε ὁ Γέροντας: «Ὅπου δέν βλάπτεις τόν ἀδελφό σου, ἐκεῖ νά μείνεις».

26. Ἕνας ἀδελφός ἔκανε τήν παρακάτω ἐρώτηση στόν ἀββᾶ Ποιμένα: «Ἄν κάποιος ἀδελφός μοῦ χρωστάει λίγα νουμία[11], ἐπιτρέπεις νά τοῦ κάνω λόγο;» Λέει ὁ Γέροντας: «Κάν' του λόγο μιά φορά».

Ξανά τόν ρωτάει: «Τί θά κάνω λοιπόν; Γιατί δέν μπορῶ νά συγκρατήσω τόν λογισμό μου». Ὁ Γέροντας ἀπαντᾶ: «Ἄσ' τον τόν λογισμό σου νά φύγει· μόνον τόν ἀδελφό σου νά μήν θλίψεις».

27. Ἔλεγαν γιά τόν ἀββᾶ Ποιμένα ὅτι γιά τήν ἄσκησή του ἔμενε στή Σκήτη μέ δύο ἀδελφούς του. Ὁ μικρότερος ὅμως τούς στενοχωροῦσε. Μιά μέρα λέει στόν ἄλλο ἀδελφό: «Αὐτός ὁ μικρός μᾶς ταλαιπωρεῖ· σήκω νά φύγουμε ἀπό δῶ». Βγῆκαν καί τόν ἄφησαν. Μόλις κατάλαβε ὁ μικρός ὅτι καθυστέρησαν, πρόσεξε καί τούς εἶδε ὅτι εἶχαν ἀπομακρυνθεῖ ἀρκετά. Ἄρχισε νά τρέχει ἀπό πίσω τους φωνάζοντας. Λέει ὁ ἀββᾶς Ποιμήν: «Ἄς περιμένουμε τόν ἀδελφό, γιατί κοπιάζει». Σάν τούς ἔφτασε, ἔβαλε μετάνοια λέγοντας: «Ποῦ πηγαίνετε καί μ' ἀφήνετε μόνο;» Τοῦ λέει ὁ Γέροντας: «Ἐπειδή μᾶς θλίβεις, γι' αὐτό καί μεῖς φεύγουμε». «Ναί, ναί, τούς λέει, ὅπου θέλετε, ἄς πᾶμε μαζί».

Βλέποντας ὁ Γέροντας τήν ἀκακία του, λέει στόν ἀδελφό του: «Ἄς γυρίσουμε πίσω, ἀδελφέ, γιατί δέν τά κάνει αὐτά μέ τή θέλησή του. Ὁ διάβολος εἶναι πού τόν βάζει νά κάνει». Καί ἔκαναν στροφή καί ἦρθαν στόν τόπο τους[12].

12. Βλ. Μ. Γερ. τ. Γ', σελ.126, ἀπόφθ. 129, ὑποσημ. 90.

28. Ἐγένετό ποτε τὸν ἀββᾶν Παμβὼ ὁδεύειν μετὰ ἀδελφῶν εἰς τὰ μέρη τῆς Αἰγύπτου. Καὶ ἰδὼν κοσμικοὺς καθημένους λέγει αὐτοῖς· Ἀναστάντες ἀσπάσασθε τοὺς μοναχούς, ἵνα εὐλογηθῆτε· συνεχῶς γὰρ τῷ Θεῷ λαλοῦσι, καὶ τὰ στόματα αὐτῶν ἅγιά ἐστιν.

29. Ἔλεγον περὶ τοῦ ἀββᾶ Παφνουτίου ὅτι οὐ ταχέως ἔπινεν οἶνον. Ὁδεύων δέ ποτε εὑρέθη ἐπάνω κολληγίου ληστῶν καὶ εὗρεν αὐτοὺς πίνοντας οἶνον. Ἐγνώριζε δὲ αὐτὸν ὁ ἀρχιληστὴς καὶ ᾔδει ὅτι αὐτὸς οὐ πίνει οἶνον. Καὶ θεωρῶν αὐτὸν ἀπὸ μεγάλου καμάτου ἐγέμισε ποτήριον οἴνου καὶ τὸ ξῖφος ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ λέγει τῷ Γέροντι· Ἐὰν μὴ πίῃς, φονεύω σε. Γνοὺς δὲ ὁ Γέρων ὅτι ἐντολὴν Θεοῦ θέλει ποιῆσαι, βουλόμενος αὐτὸν κερδῆσαι, ἔλαβε καὶ ἔπιεν. Ὁ δὲ ἀρχιληστὴς μετενόησεν αὐτῷ λέγων· Συγχώρησόν μοι, ἀββᾶ, ὅτι ἔθλιψά σε. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Πιστεύω τῷ Θεῷ, ὅτι διὰ τὸ ποτήριον τοῦτο ποιεῖ μετὰ σοῦ ἔλεος καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Λέγει αὐτῷ ὁ ἀρχιληστής· Πιστεύω τῷ Θεῷ, ὅτι ἀπὸ τοῦ νῦν οὐ μὴ κακοποιήσω τινά. Καὶ ἐκέρδησεν ὅλον τὸ κολλήγιον ἀφεὶς τὸ θέλημα αὐτοῦ διὰ τὸν Κύριον.

30. Ἦλθόν ποτε Σαρακηνοὶ καὶ ἐξέδυσαν τὸν ἀββᾶν Σισόην καὶ τὸν ἀδελφὸν αὐτοῦ. Καὶ ἐξελθόντες αὐτοὶ εἰς τὴν ἔρημον, ἵνα εὕρωσί τι βρώσιμον, εὗρεν ὁ Γέρων βόλβιτα καμήλων. Καὶ κλάσας εὗρε κοκκία κριθῆς. Ἔτρωγε δὲ ἓν κοκκίον καὶ τὸ ἓν εἰς τὴν χεῖρα αὐτοῦ ἐτίθει.

28. Κάποτε ὁ ἀββᾶς Παμβώ* ὁδοιποροῦσε μαζί μέ ἀδελφούς στά μέρη τῆς Αἰγύπτου. Σέ μιά στιγμή εἶδε μερικούς κοσμικούς νά εἶναι καθισμένοι. Τούς λέει: «Σηκωθεῖτε καί ἀσπασθεῖτε τούς μοναχούς, γιά νά πάρετε εὐλογία, γιατί αὐτοί συνεχῶς μιλοῦν στόν Θεό καί τά στόματά τους εἶναι ἁγιασμένα».

29. Ἔλεγαν γιά τόν ἀββᾶ Παφνούτιο* ὅτι δέν ἔπινε εὔκολα κρασί. Μιά μέρα καθώς βάδιζε, ἔπεσε σέ μιά ὁμάδα ληστῶν. Τούς βρῆκε τήν ὥρα πού ἔπιναν κρασί. Ὁ ἀρχιληστής γνώριζε τόν ἀββᾶ καί ἤξερε ὅτι δέν πίνει κρασί. Καθώς ὅμως τόν εἶδε κατάκοπο, γέμισε ἕνα ποτήρι κρασί, παίρνοντας καί τό ξίφος στό χέρι του καί λέει στόν Γέροντα: «Ἄν δέν πιεῖς, σέ σκοτώνω».

Ὁ Γέροντας ἤξερε καλά ὅτι ἐντολή Θεοῦ θά κάνει, καθώς ἤθελε νά τόν κερδίσει, γι᾽ αὐτό πῆρε καί ἤπιε. Τότε ὁ ἀρχιληστής μετανοημένος τοῦ λέει: «Συγχώρεσέ με, ἀββᾶ, πού σέ λύπησα». Λέει ὁ Γέροντας: «Ἔχω βέβαιη ἐλπίδα στόν Θεό ὅτι γι᾽ αὐτό τό ποτήρι θά σοῦ δείξει ἔλεος καί σ᾽ αὐτή τή ζωή καί στόν μέλλοντα αἰώνα». Τοῦ λέει ὁ ἀρχιληστής: «Πιστεύω ὅτι μέ τή βοήθεια τοῦ Θεοῦ ἀπό τώρα καί στό ἑξῆς δέν θά βλάψω κανέναν».

Ἔτσι ὁ ἀββᾶς, ἀφήνοντας τό θελημά του γιά τό ὄνομα τοῦ Κυρίου, κέρδισε ὁλόκληρη τήν ὁμάδα.

30. Κάποτε ἦρθαν Σαρακηνοί καί πῆραν ὅ,τι εἶχε καί δέν εἶχε ὁ ἀββᾶς Σισόης* καί ὁ ἀδελφός του. Γι᾽ αὐτό βγῆκαν στήν ἔρημο, γιά νά βροῦν κάτι φαγώσιμο. Ὁ Γέροντας βρῆκε κοπριές ἀπό καμῆλες. Τίς ἔσπασε καί εἶδε μέσα κόκκους ἀπό κριθάρι. Ἔτρωγε τόν ἕναν κόκκο καί ἔβαζε τόν ἄλλον στό χέρι του.

Ἐλθὼν δὲ ὁ ἀδελφὸς αὐτοῦ εὗρεν αὐτὸν ἐσθίοντα καὶ λέγει αὐτῷ· Αὕτη ἐστὶν ἡ ἀγάπη, ὅτι εὗρες βρώσιμον καὶ μόνος ἐσθίεις καὶ οὐκ ἐφώνησάς μοι; Λέγει αὐτῷ ὁ ἀββᾶς Σισόης· Οὐκ ἠδίκησά σε, ἀδελφέ· ἰδοὺ τὸ μέρος σου ἐν τῇ χειρί μου ἐτήρησα.

31. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σιλουανοῦ ὅτι ἐκάθισεν εἰς κελλίον κρυφῇ ἔχων μικρὰ ἐρεβίνθια καὶ ἐποίησεν εἰς αὐτὰ ἔργον ἑκατὸν κόσκινα. Καὶ ἰδοὺ ἄνθρωπος ἦλθεν ἀπὸ Αἰγύπτου ἔχων ὄνον μεστὸν ἄρτων. Καὶ κρούσας εἰς τὸ κελλίον αὐτοῦ, ἔθηκε. Λαβὼν οὖν ὁ Γέρων τὰ κόσκινα ἐγέμισε τὸν ὄνον καὶ ἀπέλυσεν αὐτόν.

32. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος· Ῥῦσαι τὸν πλησίον ἀπὸ ἁμαρτιῶν χωρὶς ὀνειδισμοῦ, ὅση σοι δύναμις· Θεὸς γὰρ τοὺς ἐπιστρέφοντας οὐκ ἀπωθεῖται. Ῥῆμα δὲ κακίας καὶ πονηρίας μὴ αὐλιζέσθω ἐν καρδίᾳ σου κατὰ τοῦ ἀδελφοῦ σου, ἵνα δυνατός ᾖς τοῦ λέγειν· Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

33. Διηγήσατό τις ὅτι μαγιστριανός τις πράκτωρ νεώτερος, καλὸς τῷ εἴδει, ὑπηρέτει βασιλικαῖς ἀποκρίσεσιν. Εἶχε δὲ φίλον τινὰ τῶν λαμπρῶν ἐν μιᾷ τῶν πόλεων, ἔχοντα γυναῖκα νεωτέραν. Ὅτε οὖν ἤρχετο ἐκεῖ, ἐδέχετο αὐτόν, καὶ κατέλυεν εἰς τὸν οἶκον αὐτοῦ καὶ συνήσθιε μετὰ τῆς γυναικὸς αὐτοῦ ἀγάπῃ φερόμενος πρὸς αὐτόν.

Ἐν τῷ οὖν πολλάκις πυκνάζειν πρὸς αὐτὸν ἔλαβε λογι-

13. Ματθ. 6, 12.

Ἔρχεται ὁ ἀδελφός καί τόν βρίσκει νά τρώει. Τοῦ λέει: «Αὐτή εἶναι ἡ ἀγάπη; Βρῆκες κάτι φαγώσιμο καί τό τρῶς μόνος σου καί δέν μέ φωνάζεις;» Τοῦ λέει ὁ ἀββᾶς Σισόης: «Δέν σέ ἀδίκησα, ἀδελφέ. Νά τό δικό σου μερτικό· τό φύλαξα στό χέρι μου».

31. Ἔλεγαν γιά τόν ἀββᾶ Σιλουανό* ὅτι κάθισε σέ κελί ἔγκλειστος ἔχοντας λίγα ρεβίθια. Χρησιμοποιώντας αὐτά ὡς τροφή ἔκανε ἑκατό κόσκινα. Καί νά, ἦρθε κάποιος ἀπό τήν Αἴγυπτο μέ ἕνα γαϊδουράκι φορτωμένο ψωμιά. Χτύπησε τήν πόρτα τοῦ κελιοῦ καί ἄφησε ἐκεῖ τό φορτίο. Ὁ Γέροντας πῆρε τά κόσκινα, τά φόρτωσε στό γαϊδουράκι καί τόν ἔστειλε στό καλό.

32. Εἶπε ὁ ἀββᾶς Ὑπερέχιος: «Προσπάθησε νά γλυτώσεις –ὅσο μπορεῖς– τόν πλησίον ἀπό τίς ἁμαρτίες χωρίς νά τόν προσβάλεις, διότι καί ὁ Θεός δέν ἀποστρέφεται ὅσους μετανοοῦν. Ἐπίσης, λόγος κακίας ἤ πονηρίας ἐναντίον τοῦ ἀδελφοῦ σου ἄς μήν παραμένει στήν καρδιά σου, γιά νά μπορεῖς νά λές: Συγχώρεσέ μας τά παραπτώματά μας, ὅπως καί ἐμεῖς συγχωροῦμε ἐκείνους πού μᾶς ἔφταιξαν[13]».

33. Κάποιος διηγήθηκε τά ἑξῆς: «Ἕνας μαγιστριανός[14] ὑπάλληλος, νέος καί ὡραῖος στή μορφή, ὑπηρετοῦσε σέ βασιλικές ἀποστολές. Σέ κάποια πόλη εἶχε ἕναν φίλο τῆς ὑψηλῆς κοινωνίας, παντρεμένο μέ νέα γυναίκα. Ὅταν πήγαινε ἐκεῖ, τόν ὑποδεχόταν καί τόν φιλοξενοῦσε στό σπίτι του. Μάλιστα ἔτρωγε στό ἴδιο τραπέζι μέ τή γυναίκα τοῦ φίλου του, συμπεριφερόμενος μέ ἀγάπη πρός αὐτόν.

Καθώς ἐρχόταν συχνά στό σπίτι του, ἡ γυναίκα ἔβαλε

14. Μαγιστριανός: Βλ. Μ. Γερ. τ. Β΄, σελ. 241, ὑποσημ. 2.

σμοὺς ἡ γυνὴ εἰς αὐτὸν μὴ γινώσκοντος αὐτοῦ. Καὶ σωφρονοῦσα οὐκ ἐνέφαινέ τι τοιοῦτον πρὸς αὐτόν, ἀλλ' ἐκαρτέρει πάσχουσα.

Συνέβη δὲ αὐτὸν κατὰ τὸ σύνηθες ὁδεῦσαι. Ἐκείνη δὲ ἀπὸ τῶν λογισμῶν ἠσθένει καὶ κατέκειτο. Ἀνέφερε δὲ πρὸς αὐτὴν ὁ ἀνὴρ αὐτῆς ἰατρούς. Καὶ ψηλαφῶντες αὐτὴν λέγουσι τῷ ἀνδρὶ αὐτῆς· Εἰ μή τι γε ψυχικὸν πάθος ἔχει, ἐπεὶ σωματικῶς οὐδὲν κακὸν ἔχει. Παρακάθεται δὲ αὐτῇ ὁ ἀνὴρ αὐτῆς ἐπὶ πλεῖον παρακαλῶν αὐτὴν καὶ λέγων· Εἰπέ μοι τί ἔχεις. Ἐκείνη εὐλαβουμένη καὶ ἐρυθριῶσα τὴν ἀρχὴν οὐχ ὡμολόγει. Ὕστερον δὲ ὡμολόγησε λέγουσα· Οἶδας, κύρι, εἴτε ἀπὸ ἀγάπης εἴτε ἁπλότητι φερόμενος ἀναφέρεις ὧδε πρόσωπα νεώτερα. Καὶ ἐγὼ ὡς γυνὴ ἔπαθον εἰς τὸν μαγιστριανόν. Ἀκούσας δὲ ὁ ἀνὴρ αὐτῆς ἡσύχασεν.

Καὶ ὡς συνέβη μεθ' ἡμέρας ἐλθεῖν τὸν μαγιστριανόν, ἀπελθὼν προϋπήντησεν αὐτὸν καὶ λέγει αὐτῷ· Οἶδας, ἀδελφέ μου, πῶς ἠγάπησά σε. Καὶ ἀπὸ ἀγάπης ἐδεχόμην σε, καὶ συνήσθιες τῇ γυναικί μου. Λέγει ἐκεῖνος· Οὕτως ἐστί, δέσποτα. Καὶ λέγει αὐτῷ· Ἰδοὺ ἔλαβε λογισμοὺς εἰς σὲ ἡ γυνή μου. Ὁ δὲ ἀκούσας οὐ μόνον οὐκ ἔλαβε λογισμοὺς εἰς αὐτήν, ἀλλὰ καὶ πάνυ ἐλυπήθη ἀγάπῃ φερόμενος. Καὶ λέγει αὐτῷ· Μηδὲν λυπηθῇς· ἔχει ὁ Θεὸς βοηθῆσαι.

Ἀπελθὼν οὖν ἐπῆρε τὰς τρίχας αὐτοῦ. Καὶ λαβὼν λαμνίον ἐξύρησε τὴν κεφαλὴν καὶ τὴν ὄψιν ἕως οὗ ἐξέκαυσεν ἑαυτὸν μέχρι τῶν ὀφρύων, καὶ ἐπῆρεν ὅλην τὴν ὡραιότητα ἐκείνην καὶ ἐφαίνετο ὡς παλαιὸς λελωβημένος. Καὶ ἀποκαλύψας δείκνυσιν αὐτοῦ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον. Καὶ ἤρξατο λέγειν ὅτι· Οὕτως ἐποίησέ μοι ὁ Κύριος. Ἐκείνη δέ, ὡς εἶδεν αὐτὸν ἐκ τοιαύτης μορφῆς εἰς τοιαύτην ἀμορφίαν, ἐθαύμασε. Καὶ ἰδὼν ὁ Θεὸς τὴν ἐργασίαν αὐτοῦ ἐπῆρεν ἀπ' αὐτῆς

μέσα της λογισμούς γι' αὐτόν, χωρίς αὐτός νά ἔχει ἰδέα. Ἐκείνη καθώς ἦταν συνετή, δέν φανέρωνε κάτι τέτοιο πρός αὐτόν, ἀλλά ἔκαμνε ὑπομονή, ὑποφέροντας τό πάθος της.

Ἦρθε ἡ ὥρα ὁ μαγιστριανός νά ταξιδέψει ὅπως συνήθως. Ἐκείνη ἀπό τούς λογισμούς ἦταν ἄρρωστη καί στό κρεββάτι. Ὁ ἄνδρας της ἔφερε γιατρούς, οἱ ὁποῖοι μετά τήν ἐξέταση λένε στόν ἄνδρα της: «Μήπως ἔχει κάτι ψυχικό, γιατί ἀπό τή σωματική ἄποψη εἶναι ὑγιής». Κάθεται ὁ ἄνδρας της δίπλα της καί παρακαλώντας την πάλι καί πάλι, τῆς λέει: «Πές μου τί ἔχεις». Ἐκείνη γεμάτη σεβασμό καί κόκκινη ἀπό ντροπή στήν ἀρχή σιωποῦσε. Ὕστερα ὁμολόγησε: «Ξέρεις, κύριέ μου· ἐσύ εἴτε ἀπό ἀγάπη εἴτε ἀπό ἁπλότητα φέρνεις ἐδῶ στό σπίτι πρόσωπα νέα στήν ἡλικία. Κι ἐγώ σάν γυναίκα ἔνιωσα συμπάθεια γιά τόν μαγιστριανό». Ὅταν τό ἄκουσε ὁ ἄνδρας της, δέν μίλησε.

Σέ λίγες μέρες συνέβη νά ἔρθει ὁ μαγιστριανός. Βγῆκε καί τόν προϋπάντησε. Τοῦ λέει: «Ξέρεις, ἀδελφέ μου, πόσο σέ ἀγάπησα. Ἀπό ἀγάπη σέ δεχόμουν, καί ἔτρωγες μαζί μέ τή γυναίκα μου». Λέει ἐκεῖνος: «Ἔτσι εἶναι, κύριε». Προσθέτει ὁ πρῶτος: «Νά, ἡ γυναίκα μου σέ συμπάθησε». Ἐκεῖνος μόλις τ' ἄκουσε, ὄχι μόνο δέν ἔβαλε λογισμούς γι' αὐτήν, ἀλλά καί λυπήθηκε πάρα πολύ, ἀπό ἀγάπη πρός τόν φίλο του. Τοῦ λέει: «Καθόλου μή λυπηθεῖς· ὁ Θεός ἔχει τή δύναμη νά βοηθήσει».

Πῆγε, ἔκοψε τά μαλλιά του καί μέ ξυράφι ξύρισε τό κεφάλι καί τά γένια ἀπό τό πρόσωπο, σέ σημεῖο πού φαινόταν σάν καμμένος μέχρι τά φρύδια. Ἔτσι, ἀφαίρεσε ὅλη ἐκείνη τήν ὡραιότητα πού εἶχε, καί φαινόταν σάν λεπρός ἀπό χρόνια. Ἔρχεται, ξεσκεπάζει καί δείχνει τό κεφάλι καί τό πρόσωπο λέγοντας: «Ἔτσι μέ ἔκανε ὁ Κύριος». Ἐκείνη, μόλις τόν εἶδε σέ τέτοια ἀσχήμια ἀπό τήν προηγούμενή του ὀμορφιά, ἀπόρησε. Καί ὁ Θεός βλέποντας τόν ἀγώνα του,

τὸν πόλεμον καὶ εὐθέως ἀνέστη ἀπορριψαμένη ὅλους τοὺς λογισμοὺς ἐκείνους. Τότε ὁ μαγιστριανὸς λαμβάνει τὸν ἄνδρα αὐτῆς κατ' ἰδίαν καὶ λέγει αὐτῷ· Ἰδοὺ διὰ τοῦ Θεοῦ ἡ γυνή σου οὐδὲν κακὸν ἔχει. Οὐκέτι οὖν βλέπει τὸ πρόσωπόν μου.

Ἰδού, τοῦτό ἐστι τὸ θεῖναι τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἀγάπης καὶ ἀποδοῦναι ἀγαθὸν ἀντὶ ἀγαθοῦ.

34. Δύο τινὲς ἀδελφοὶ εἱλκύσθησαν εἰς τὸ μαρτυρῆσαι. Καὶ βασανισθέντες ἅπαξ ἐβλήθησαν εἰς φυλακήν. Ἐλυποῦντο οὖν πρὸς ἀλλήλους. Ὁ εἷς οὖν βαλὼν μετάνοιαν τῷ ἀδελφῷ λέγει· Συμβαίνει ἡμᾶς αὔριον τελειωθῆναι. Λύσωμεν οὖν τὴν κατ' ἀλλήλων ἔχθραν καὶ ποιήσωμεν ἀγάπην. Ὁ δὲ ἄλλος οὐκ ἐπείθετο.

Τῇ οὖν ἑξῆς φέρονται πάλιν καὶ βασανίζονται. Καὶ ὁ μὴ δεξάμενος τὴν μετάνοιαν ἀπὸ πρώτης προσβολῆς ἡττήθη. Καὶ λέγει αὐτῷ ὁ ἄρχων· Διατί χθὲς τοσαῦτα βασανισθεὶς οὐκ ἐπείσθης μοι; Ὁ δὲ ἀποκριθεὶς εἶπεν ὅτι τὸν ἀδελφόν μου ἐμνησικάκησα καὶ οὐκ εἶχον μετ' αὐτοῦ ἀγάπην. Καὶ διὰ τοῦτο οὐ μετέσχον τῆς τοῦ Θεοῦ μου παρακλήσεως.

35. Ἦν τις ζυγοστάτης ἔν τινι πόλει. Καὶ ἔρχεταί τις τῆς πόλεως φέρων αὐτῷ σφραγῖδα πεντακοσίων νομισμάτων καὶ λέγει αὐτῷ· Λάβε τὴν σφραγῖδα ταύτην. Καὶ ὅταν χρείαν ἔχω, παρέχεις μοι κατὰ μέρος. Οὐ παρῆν δέ τις ἐκεῖ, ὅτε

15. Πρβλ. Ἰω. 15, 13.

τῆς ἀφαίρεσε τόν πόλεμο· ἀμέσως σηκώθηκε ἀπό τό κρεβάτι, ρίχνοντας μακριά ὅλους ἐκείνους τούς λογισμούς.

Τότε ὁ μαγιστριανός παίρνει ἰδιαιτέρως τόν ἄνδρα της καί τοῦ λέει: «Νά, μέ τή βοήθεια τοῦ Θεοῦ ἡ γυναίκα σου δέν ἔχει τίποτε· οὔτε θά ξαναδεῖ ποτέ τό πρόσωπό μου».

Νά, αὐτό εἶναι ἐκεῖνο πού λέει: «Ἀπό ἀγάπη νά προσφέρει κανείς τή ζωή του»[15]. Ἐπίσης νά ἀνταποδίδει καλό γιά τό καλό πού τοῦ ἔκαναν.

34. Δυό ἀδελφοί σύρθηκαν στό μαρτύριο. Ἀφοῦ ὑποβλήθηκαν σέ βασανιστήρια μία φορά, ρίχτηκαν στή φυλακή. Μεταξύ τους ὑπῆρχε ψυχρότητα. Μιά στιγμή ὁ ἕνας βάζει μετάνοια στόν ἀδελφό καί τοῦ λέει: «Ἡ ἀλήθεια εἶναι ὅτι αὔριο φεύγουμε ἀπ' αὐτόν τόν κόσμο. Λοιπόν, ἄς διαλύσουμε τήν ἐχθρότητα πού ὑπάρχει μεταξύ μας κι ἄς ἔχουμε ἀγάπη». Ὁ ἄλλος ὅμως δέν πειθόταν.

Τήν ἄλλη μέρα τούς φέρνουν πάλι καί τούς ὑποβάλλουν σέ βασανιστήρια. Ἐκεῖνος πού δέν εἶχε δεχθεῖ τήν μετάνοια, λύγισε μέ τό πρῶτο χτύπημα. Τοῦ λέει ὁ ἄρχοντας: «Χθές γιατί, ἐνῶ τόσο εἶχες βασανισθεῖ, δέν εἶχες πεισθεῖ στά λόγια μου;» «Ἐπειδή κράτησα κακία στόν ἀδελφό μου καί δέν εἶχα ἀγάπη μαζί του, ἀποκρίθηκε, γι' αὐτό σήμερα δέν εἶχα συμμετοχή στή χάρη τοῦ Θεοῦ μου».

35. Σέ μιά πόλη ἦταν ἕνας ζυγιστής[16]. Ἔρχεται κάποιος κάτοικος τῆς πόλης φέρνοντάς του πεντακόσια νομίσματα σφραγισμένα. Τοῦ λέει: «Πάρε τά σφραγισμένα πεντακόσια νομίσματα καί, ὅταν θά ἔχω ἀνάγκη, μοῦ τά δίνεις λίγα-λίγα».

16. Ζυγιστής: α. ἐλεγκτής, β. δημόσιος ὑπάλληλος ὡς ἀγορανομικός ἐλεγκτής.



Τό ὄρος Ἑρμών

ἔδωκεν αὐτῷ τὴν σφραγῖδα. Εἷς δὲ τῶν λαμπρῶν τῆς πόλεως ἔξωθεν τοῦ ζυγοστατείου ἀναπατῶν ἤκουσε καὶ εἶδεν ὅτι ἔδωκεν αὐτῷ τὴν σφραγῖδα, οὐκ ᾔδει δὲ ὁ ζυγοστάτης ὅτι ἤκουσεν.

Μεθ' ἡμέρας δέ τινας ἔρχεται ὁ δοὺς τὴν σφραγῖδα καὶ λέγει τῷ ζυγοστάτῃ· Δός μοι ἐκ τῆς σφραγῖδος, ὅτι χρείαν ἔχω. Ἐκεῖνος δὲ θαρρῶν ὅτι οὐ παρῆν τις, ὅτε ἔδωκεν αὐτῷ τὴν σφραγῖδα, ἠρνήσατο λέγων· Οὐκ ἔδωκάς μοι τί ποτε. Καὶ ὡς ἐξῆλθεν ἐκεῖθεν τεταραγμένος, ἀπαντᾷ αὐτῷ ὁ λαμπρὸς ἐκεῖνος καὶ λέγει αὐτῷ· Τί ἔχεις; Ὁ δὲ εἶπεν αὐτῷ τὸ πρᾶγμα. Καὶ λέγει αὐτῷ· Ἀκριβῶς δέδωκας αὐτῷ; Λέγει αὐτῷ· Ναί. Λέγει αὐτῷ ἐκεῖνος· Εἰπὲ αὐτῷ· Δεῦρο πληροφόρησόν με εἰς τὸν ἅγιον Ἀνδρέαν, καὶ ἀρκεῖ μοι. Ἦν γὰρ ἐκεῖ μαρτύριον τοῦ ἁγίου Ἀνδρέου.

Ὅτε δὲ ἔμελλεν ὀμνύειν, λαμβάνει ὁ λαμπρὸς ἐκεῖνος τὸν παῖδα αὐτοῦ καὶ λέγει αὐτῷ· Εἴ τι ποιῶ σήμερον, μὴ ταραχθῇς, ἀλλ' ὑπόμεινον. Καὶ εἰσελθὼν εἰς τὸ μαρτύριον ἀποδύεται τὰ ἱμάτια αὐτοῦ καὶ ἤρξατο ποιεῖν ἑαυτὸν δαιμονιζόμενον κράζων φωνὰς ἀτάκτους. Καὶ ὅτε εἰσῆλθεν, ἔλεγεν· Ὁ ἅγιος Ἀνδρέας λέγει· ἰδοὺ καὶ ὁ φαῦλος οὗτος ἔλαβε τὰ πεντακόσια νομίσματα τοῦ ἀνθρώπου καὶ θέλει ἐπιορκῆσαί με. Καὶ ἔπνιγεν αὐτὸν λέγων· Ὁ ἅγιος Ἀνδρέας λέγει· Δὸς τὰ πεντακόσια νομίσματα τοῦ ἀνθρώπου. Ἐκεῖνος δὲ ταραχθεὶς καὶ φοβηθεὶς ὡμολόγησε λέγων· Ἐγὼ φέρω αὐτά. Ὁ δὲ λέγει αὐτῷ· Ἄρτι φέρε αὐτά.

Ἀπῆλθεν οὖν εὐθέως καὶ ἤνεγκεν αὐτά. Καὶ λέγει ὁ δῆθεν ἐνεργούμενος τῷ κυρίῳ τῶν νομισμάτων· Λέγει ὁ ἅγιος Ἀνδρέας· θὲς εἰς τὴν τράπεζαν ἓξ νομίσματα. Ὁ δὲ ἔθηκε μετὰ χαρᾶς.

Ὅταν τοῦ τά ἔδωσε, κανείς ἄλλος δέν ἦταν παρών ἐκεῖ. Ἀλλά ἕνας ἀπό τά ὑψηλά πρόσωπα τῆς πόλης, πού περπατοῦσε ἔξω ἀπό τό ζυγοστάσιο, ἄκουσε καί εἶδε ὅτι τοῦ ἔδωσε τά σφραγισμένα νομίσματα. Ὅμως ὁ ζυγιστής δέν ἤξερε ὅτι ἄκουσε.

Ὕστερα ἀπό μέρες ἔρχεται αὐτός πού εἶχε δώσει τά χρήματα καί λέει στόν ζυγιστή: «Δῶσ' μου ἕνα μέρος ἀπό τά σφραγισμένα, γιατί ἔχω ἀνάγκη». Ἐκεῖνος νομίζοντας ὅτι κανείς δέν ἦταν μπροστά, ὅταν τοῦ τά εἶχε δώσει, ἀρνήθηκε καί εἶπε: «Τίποτε δέν μοῦ ἔδωσες». Μόλις βγῆκε ὁ ἄνθρωπος ἀπό κεῖ ταραγμένος, τόν συναντᾶ ἐκεῖνο τό ἐπίσημο πρόσωπο καί τοῦ λέει: «Τί ἔχεις;» Αὐτός τοῦ παρουσίασε τό πρόβλημα. Τόν ρωτάει: «Πράγματι τοῦ ἔχεις δώσει;» «Ναί», ἀπαντᾶ. Τοῦ λέει τότε: «Πές του: ἔλα καί πεῖσε με ὁρκιζόμενος στόν ἅγιο Ἀνδρέα, καί αὐτό μοῦ ἀρκεῖ». Ἐκεῖ κοντά ὑπῆρχε ναός τοῦ ἁγίου μάρτυρα Ἀνδρέα.

Ὅταν ἐπρόκειτο νά ὁρκιστεῖ ὁ ζυγιστής, παίρνει ἐκεῖνο τό ἐπίσημο πρόσωπο τόν ὑπηρέτη του καί τοῦ λέει: «Σήμερα, μήν ταραχθεῖς ὅ,τι κι ἄν κάνω· νά τό ὑπομείνεις». Μπαίνει στόν ναό, ξεντύνεται, καί ἀρχίζει νά προσποιεῖται τόν δαιμονισμένο, βγάζοντας ἄναρθρες κραυγές. Ὅταν μπῆκε ὁ ζυγιστής στόν ναό, ὁ ἄλλος ἔλεγε: «Ὁ ἅγιος Ἀνδρέας λέει: Νά, καί αὐτός ὁ ἄθλιος πῆρε τά πεντακόσια νομίσματα τοῦ ἀνθρώπου καί θέλει νά δώσει ψεύτικο ὅρκο στό ὄνομά μου». Καί τόν ἔπνιγε λέγοντας: «Δῶσε τά πεντακόσια νομίσματα τοῦ ἀνθρώπου». Ἐκεῖνος ταράχτηκε καί φοβισμένος ὁμολόγησε: «Ἐγώ θά τά φέρω αὐτά». «Τώρα –τοῦ λέει– νά τά φέρεις».

Πῆγε ἀμέσως καί τά ἔφερε. Λέει ὁ δῆθεν δαιμονισμένος στόν κάτοχο τῶν νομισμάτων: «Ὁ ἅγιος Ἀνδρέας λέει: Βάλε στό τραπέζι ἕξι νομίσματα ὡς δωρεά στήν ἐκκλησία». Κι αὐτός τά ἔβαλε μέ χαρά.

Ὅτε οὖν ἀνεχώρησαν, λαβὼν τὰ ἱμάτια αὐτοῦ ἐφόρεσε κοσμίως καὶ ἀπῆλθε πάλιν ἀναπατῶν εἰς τὸ ζυγοστατεῖον κατὰ τὸ ἔθος. Ἰδὼν δὲ αὐτὸν ὁ ζυγοστάτης προσεῖχεν αὐτῷ ἄνω καὶ κάτω. Καὶ λέγει αὐτῷ ὁ λαμπρὸς ἐκεῖνος· Τί μοι προσέχεις, ἑταῖρε; Πίστευσον, χάριτι Χριστοῦ οὐκ ἔχω δαίμονα, ἀλλ᾽ ἐπειδή, ὅτε ἔδωκέ σοι τὴν σφραγῖδα ὁ ἄνθρωπος, ἔξω ἤμην ἀναπατῶν καὶ ἤκουσα καὶ εἶδον ἀκριβῶς καὶ εἰ εἶχόν σοι εἰπεῖν, ἔλεγες ὅτι οὐ πιστεύῃ μόνος, ἐλογισάμην οὖν ποιῆσαι τὸ δρᾶμα τοῦτο, ἵνα μὴ καὶ σὺ ἀπολέσῃς τὴν ψυχήν σου καὶ ὁ ἄνθρωπος ἀδίκως ζημιωθῇ αὐτοῦ τὰ χρήματα.

36. Μοναχός τις πάνυ εὐλαβὴς καὶ θεοφιλὴς εἶχέ τινα ἀναχωρητὴν ἀγαπῶντα αὐτόν. Τελευτᾷ οὖν ὁ ἀναχωρητής. Καὶ εἰσελθὼν ἐν τῷ μοναστηρίῳ αὐτοῦ ὁ μοναχὸς εὑρίσκει πεντήκοντα νομίσματα. Καὶ ἤρξατο θαυμάζειν καὶ δακρύειν φοβούμενος μὴ ἕνεκεν τῶν χρημάτων προσκρούσῃ τῷ Θεῷ ὁ ἀναχωρητής. Καὶ ὡς ἐδέετο τοῦ Θεοῦ ἐπὶ πολὺ περὶ τούτου, ὁρᾷ ἄγγελον Κυρίου λέγοντα αὐτῷ· Τί οὕτως ἀθυμεῖς περὶ τοῦ ἀναχωρητοῦ; Τοῦτο, ὃ ζητεῖς, τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ κατάλειψον. Εἰ πάντες ἦσαν τέλειοι, ποῦ ἐδείκνυτο ἡ φιλανθρωπία τοῦ Θεοῦ; Καὶ οὕτω πληροφορηθεὶς ὁ ἀδελφὸς ὅτι συγγνώμης ἠξιώθη ὁ ἀναχωρητής, εὔθυμος ἐγένετο καὶ ἐδόξασε τὸν Θεὸν ἐξ ὅλης καρδίας.

37. Γέρων τις ἀπέστειλε τὸν μαθητὴν αὐτοῦ εἰς Αἴγυπτον, ἵνα ἐνέγκῃ κάμηλον, καὶ λάβωσι τὰ σπυρίδια αὐτῶν εἰς Αἴγυπτον. Ὡς δὲ ἤνεγκεν ὁ ἀδελφὸς τὴν κάμηλον εἰς Σκῆτιν,

Ὅταν ἔφυγαν, πῆρε τά ροῦχα του, ντύθηκε μέ εὐπρέπεια καί πῆγε πάλι καί περπατοῦσε στό μέρος πού ζύγιζαν, ὅπως συνήθως. Ὁ ζυγιστής τόν πρόσεχε ἀπό πάνω ὥς κάτω. Τόν ρωτᾶ ἐκεῖνο τό ἐπίσημο πρόσωπο: «Φίλε, γιατί μέ προσέχεις; Πίστεψέ με, μέ τή χάρη τοῦ Θεοῦ δέν ἔχω δαιμόνιο. Ὅταν ὁ ἄνθρωπος αὐτός σοῦ ἔδωσε τά χρήματα, περπατοῦσα ἔξω, καί μέ ἀκρίβεια ἄκουσα καί εἶδα ὅ,τι ἔγινε. Ἄν σοῦ τό φανέρωνα, θά ἔλεγες "ἐσύ μόνος σου τά λές αὐτά, δέν μποροῦμε νά σέ πιστέψουμε". Γι᾽ αὐτό λοιπόν σκέφτηκα νά σκηνοθετήσω αὐτό τό τέχνασμα, ὥστε καί σύ νά μή χάσεις τήν ψυχή σου καί ὁ ἄνθρωπος νά μή χάσει ἄδικα τά χρήματά του».

36. Ἕνας μοναχός μέ πολλή εὐλάβεια καί φόβο Θεοῦ γνώριζε κάποιον ἀναχωρητή ὁ ὁποῖος τόν ἀγαποῦσε. Ὁ ἀναχωρητής κάποτε πέθανε. Μπαίνει ὁ μοναχός στό ἀσκηταριό του καί βρίσκει πενήντα νομίσματα. Ἄρχισε νά ἀπορεῖ καί νά δακρύζει, φοβούμενος μήπως ὁ ἀναχωρητής βρεῖ δυσαρεστημένο τόν Θεό ἐξαιτίας τῶν χρημάτων αὐτῶν. Καθώς γιά πολύ προσευχόταν στόν Θεό σχετικά μ᾽ αὐτό τό θέμα, βλέπει ἕναν ἄγγελο Κυρίου ὁ ὁποῖος τοῦ εἶπε: «Γιατί λυπᾶσαι τόσο γιά τόν ἀναχωρητή; Αὐτό πού ζητᾶς ἄφησέ το στή φιλανθρωπία τοῦ Θεοῦ. Ἄν ὅλοι ἦταν τέλειοι, ποῦ θά ἀποδεικνυόταν ἡ φιλανθρωπία τοῦ Θεοῦ;» Ἔχοντας μιά τέτοια πληροφορία ὁ ἀδελφός, ὅτι δηλαδή ὁ ἀναχωρητής ἀξιώθηκε νά λάβει συγγνώμη, χάρηκε πολύ καί δόξασε τόν Θεό μέ ὅλη του τήν καρδιά.

37. Ἕνας Γέροντας ἀπό τή Σκήτη ἔστειλε τόν μαθητή του στήν Αἴγυπτο νά τοῦ φέρει μιά καμήλα, γιά νά μεταφέρουν τά καλάθια τους στήν Αἴγυπτο. Μόλις ἔφερε ὁ ἀδελφός τήν καμήλα στή Σκήτη, τόν συναντᾶ ἕνας ἄλλος

ὑπήντησεν αὐτῷ ἄλλος Γέρων καὶ εἶπεν αὐτῷ· Εἰ ἔμαθον ὅτι εἰς Αἴγυπτον ὑπάγεις, ἔλεγον ἄν σοι, ἵνα ἐνέγκῃς κἀμοὶ κάμηλον. Ἀπελθὼν δὲ ὁ ἀδελφὸς εἶπε τῷ πατρὶ αὐτοῦ τὸ πρᾶγμα. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· Ἆρον τὴν κάμηλον καὶ δὸς αὐτῷ λέγων· οὔπω ηὐτρεπίσθημεν ἡμεῖς· λάβε, ποίησον τὴν χρείαν σου. Καὶ ἄπελθε μετ᾽ αὐτοῦ εἰς Αἴγυπτον καὶ φέρε πάλιν τὴν κάμηλον, ἵνα καὶ τὰ ἡμῶν σκεύη λάβωμεν ἄνω.

Ἀπελθὼν δὲ ὁ ἀδελφὸς πρὸς τὸν ἄλλον Γέροντα εἶπε· Λέγει ὁ ἀββᾶς μου ὅτι οὔπω ηὐτρεπίσθημεν ἡμεῖς· λάβε τὴν κάμηλον καὶ ποίησον τὴν χρείαν σου. Καὶ λαβὼν ὁ Γέρων ἐγέμισε τὰ σπυρίδια αὐτοῦ. Ὡς δὲ ἔφθασαν εἰς Αἴγυπτον καὶ ἀπεγέμισαν τὰ σπυρίδια, λαβὼν ὁ ἀδελφὸς τὴν κάμηλον εἶπε τῷ Γέροντι· Εὖξαι περὶ ἐμοῦ. Ὁ δὲ εἶπεν αὐτῷ· Ποῦ ἀπέρχῃ; Ὁ δὲ εἶπεν αὐτῷ· Εἰς Σκῆτιν, ἵνα ἐνέγκω καὶ τὰς ἡμῶν σπυρίδας. Καὶ κατανυγεὶς ὁ Γέρων ἔβαλε μετάνοιαν κλαίων καὶ λέγων· Συγχωρήσατέ μοι, ὅτι ἡ πολλὴ ὑμῶν ἀγάπη τὸν καρπόν μου ἔλαβεν.

38. Εἶπε Γέρων· Ἐάν τίς σε αἰτήσῃ πρᾶγμα καὶ βίᾳ παράσχῃς αὐτῷ, εὐδοκήσῃ καὶ ὁ λογισμὸς εἰς τὸ διδόμενον, καθὼς γέγραπται· Ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. Τουτέστιν, ἐάν τις αἰτήσῃ σε πρᾶγμα, δὸς αὐτῷ ἀπὸ ψυχῆς καὶ σώματος.

39. Δύο ἀδελφοὶ ἦσαν εἰς τὰ Κελλία. Ἦν δὲ ὁ εἷς γέρων καὶ παρεκάλει τὸν νεώτερον λέγων· Μείνωμεν ὁμοῦ, ἀδελφέ.

17. Τό ρωμαϊκό μίλι ἀντιστοιχεῖ μέ 1535 μ.

Γέροντας καί τοῦ λέει: «Ἄν ἤξερα ὅτι θά πήγαινες στήν Αἴγυπτο, θά σοῦ ἔλεγα νά φέρεις καί γιά μένα μιά καμήλα». Ὅταν ἦρθε ὁ ἀδελφός στόν Γέροντα, τοῦ εἶπε τά σχετικά. Λέει ὁ Γέροντας: «Πάρε τήν καμήλα καί δῶσ᾽ την σ᾽ αὐτόν μέ τή δικαιολογία ὅτι ἐμεῖς δέν εἴμαστε ἀκόμη ἕτοιμοι γιά τή μεταφορά. Πάρ᾽ την ἐσύ καί ἐξυπηρέτησε τίς ἀνάγκες σου. Πήγαινε ὅμως καί σύ μαζί του στήν Αἴγυπτο καί φέρε πάλι τήν καμήλα, γιά νά φορτώσουμε καί τά δικά μας πράγματα ἐπάνω σ᾽ αὐτήν».

Πῆγε ὁ ἀδελφός στόν ἄλλο Γέροντα καί τοῦ εἶπε: «Λέει ὁ ἀββᾶς μου ὅτι ἐμεῖς δέν εἴμαστε ἀκόμη ἕτοιμοι· πάρε ἐσύ τήν καμήλα καί ἐξυπηρετήσου στίς ἀνάγκες σου». Τήν πῆρε ὁ Γέροντας καί τῆς φόρτωσε τά καλάθια του. Σάν ἔφτασαν στήν Αἴγυπτο καί ξεφόρτωσαν τά καλάθια, παίρνει ὁ ἀδελφός τήν καμήλα καί λέει στόν Γέροντα: «Εὐχήσου γιά μένα». Ρωτάει ὁ Γέροντας: «Ποῦ πηγαίνεις;» Ἀπαντᾶ: «Στή Σκήτη γιά νά φέρω καί τά δικά μας καλάθια».

Συγκινήθηκε ὁ Γέροντας. Ἔβαλε μετάνοια καί κλαίγοντας εἶπε: «Συγχωρῆστε με· ἡ πολλή σας ἀγάπη ἔκανε δικό της τόν δικό μου καρπό».

38. Ἕνας Γέροντας εἶπε: «Ἄν κάποιος σοῦ ζητήσει ἕνα πράγμα καί σύ βιάζοντας τόν ἑαυτό σου τοῦ τό προσφέρεις, φρόντισε καί ὁ λογισμός σου νά εὐαρεστηθεῖ μέ αὐτό πού δίνεις, καθώς εἶναι γραμμένο: Ἄν κάποιος σέ ἀγγαρεύσει νά πᾶς μαζί του ἕνα μίλι[17], πήγαινε δυό[18]. Δηλαδή ἄν κάποιος σοῦ ζητήσει κάτι, νά τοῦ τό δώσεις μέ ὅλο σου τό εἶναι».

39. Δύο ἀδελφοί ἔμεναν στά Κελλία. Ὁ ἕνας ἡλικιωμένος καί παρακαλοῦσε τόν νέο: «Ἄς μείνουμε μαζί, ἀδελφέ».

18. Ματθ. 5, 41.

Ὁ δὲ λέγει αὐτῷ· Ἐγὼ ἁμαρτωλός εἰμι καὶ οὐ δύναμαι μετὰ σοῦ μεῖναι, ἀββᾶ. Ὁ δὲ παρεκάλει αὐτὸν λέγων· Ναί, δυνάμεθα. Ἦν δὲ ὁ Γέρων καθαρὸς καὶ οὐκ ἤθελεν ἀκούειν ὅτι μοναχὸς ἔχει λογισμοὺς πορνείας. Λέγει αὐτῷ ὁ ἀδελφός· Ἄφες με ἑβδομάδα, καὶ πάλιν λαλοῦμεν.

Ἦλθεν οὖν ὁ Γέρων. Καὶ θέλων ὁ νεώτερος δοκιμάσαι αὐτὸν ἔλεγεν· Εἰς μέγαν πειρασμὸν ἐνέπεσον, ἀββᾶ, τὴν ἑβδομάδα ταύτην· ἀπελθὼν γὰρ εἰς τὴν κώμην εἰς διακονίαν ἔπεσον μετὰ γυναικός. Λέγει αὐτῷ ὁ Γέρων· Ἔστι μετάνοια. Λέγει ὁ ἀδελφός· Ναί; Λέγει ὁ Γέρων· Ἐγὼ βαστάζω μετὰ σοῦ τὸ ἥμισυ τῆς ἁμαρτίας. Λέγει αὐτῷ ὁ ἀδελφός· Ἄρτι δυνάμεθα εἶναι ὁμοῦ. Καὶ ἔμειναν μετ' ἀλλήλων ἕως τῆς τελευτῆς αὐτῶν.

40. Ἔλεγον περί τινος ἀδελφοῦ ὅτι σπυρίδια ποιήσας καὶ βαλὼν τὰ ὠτία αὐτῶν ἤκουσε τοῦ γείτονος αὐτοῦ λέγοντος· Τί ποιήσω, ὅτι ἡ ἀγορὰ ἐγγύς ἐστι καὶ οὐκ ἔχω ὠτία βαλεῖν εἰς τὰ σπυρίδιά μου; Καὶ ἀπελθὼν ἀνέλυσε τῶν ἑαυτοῦ σπυρίδων τὰ ὠτία καὶ ἤνεγκε τῷ ἀδελφῷ λέγων· Ἰδού, ταῦτα περισσὰ ἔχω, λάβε καὶ βάλε εἰς τὰ σπυρίδιά σου. Καὶ ἐποίησε τὸ ἔργον τοῦ ἀδελφοῦ προχωρῆσαι καὶ τὸ ἴδιον ἀφῆκεν.

41. Ἔλεγον περί τινος Γέροντος εἰς Σκῆτιν ὅτι ἠσθένησε, καὶ ἦλθεν αὐτῷ φαγεῖν ἄρτον νεαρόν. Ἀκούσας δέ τις τῶν ἀγωνιστῶν ἀδελφῶν ἔλαβε τὴν μηλωτὴν αὐτοῦ καὶ ἐν αὐτῇ ἄρτους ξηροὺς καὶ ἀπῆλθεν εἰς Αἴγυπτον. Καὶ ἀλλάξας τὰ ψωμία ἤνεγκε τῷ Γέροντι. Καὶ ἰδόντες αὐτὰ θερμὰ ἐθαύμασαν· ὁ δὲ Γέρων οὐκ ἤθελε γεύσασθαι λέγων ὅτι τὸ αἷμα τοῦ ἀδελφοῦ μου ἐσθίω. Καὶ παρεκάλεσαν αὐτὸν οἱ

Ἐκεῖνος ὅμως τοῦ λέει: «Ἐγώ εἶμαι ἁμαρτωλός καί δέν μπορῶ νά μείνω μαζί σου, ἀββᾶ». Ἀλλά αὐτός τόν παρακαλοῦσε, ἐπιμένοντας: «Ναί, μποροῦμε». Ὁ Γέροντας ἦταν καθαρός καί δέν ἤθελε νά ἀκούει ὅτι ὁ μοναχός ἔχει λογισμούς πορνείας. Τοῦ λέει ὁ ἀδελφός: «Ἄφησέ με μία βδομάδα καί πάλι συζητοῦμε τό θέμα».

Ἦρθε λοιπόν ὁ Γέροντας στό τέλος τῆς ἑβδομάδος. Ὁ νέος θέλοντας νά τόν δοκιμάσει, εἶπε: «Ἀββᾶ, αὐτή τή βδομάδα ἔπεσα σέ μεγάλο πειρασμό· πῆγα στό χωριό γιά διακονία καί κοιμήθηκα μέ γυναίκα». Λέει ὁ Γέροντας: «Ὑπάρχει μετάνοια». Ρωτάει ὁ ἀδελφός: «Ναί;» Ὁ Γέροντας λέει: «Ἐγώ σηκώνω μαζί σου τό μισό βάρος τῆς ἁμαρτίας». Λέει ὁ ἀδελφός: «Ἀπ' αὐτήν τή στιγμή μποροῦμε νά μένουμε μαζί». Καί ἔζησαν μαζί ὥς τόν θάνατό τους.

40. Ἔλεγαν γιά κάποιον ἀδελφό ὅτι ἔπλεξε ζεμπίλια καί ἔβαλε τά χερούλια τους. Σέ λίγο ἀκούει τόν γειτονά του νά λέει: «Τί νά κάνω πού ἡ ἀγορά εἶναι κοντά, ἀλλά δέν ἔχω χερούλια νά βάλω στά ζεμπίλια μου;» Πηγαίνει ὁ ἀδελφός, ξηλώνει ἀπό τά δικά του ζεμπίλια τά χερούλια καί τά φέρνει στόν ἀδελφό. Τοῦ λέει: «Νά, αὐτά τά ἔχω περίσσια· πάρ' τα καί βάλ' τα στά ζεμπίλια σου». Ἔτσι ἔκανε νά προχωρήσει ἡ δουλειά τοῦ ἀδελφοῦ, ἐνῶ παραμέλησε τή δική του.

41. Ἔλεγαν γιά κάποιον Γέροντα πού ἔμενε σέ Σκήτη ὅτι ἀρρώστησε καί τοῦ ἦρθε ἐπιθυμία νά φάει φρέσκο ψωμί. Σάν τό ἄκουσε ἕνας ἀπό τούς ἀγωνιστές ἀδελφούς, πῆρε τή μηλωτή του, ἔβαλε σ' αὐτήν ψωμιά ξερά καί πῆγε στήν Αἴγυπτο. Ἐκεῖ τά ἀντάλλαξε μέ ψωμάκια καί τά ἔφερε στόν Γέροντα. Ὅταν τά εἶδαν αὐτά ζεστά, ἀπόρησαν. Ὁ Γέροντας δέν ἤθελε νά τά φάει, καί ἔλεγε: «Τρώω τό αἷμα

Γέροντες λέγοντες· Διὰ τὸν Κύριον, φάγε, ἵνα μὴ εἰς κενὸν γένηται ἡ θυσία τοῦ ἀδελφοῦ. Καὶ παρακληθεὶς ἔφαγεν.

42. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Πῶς εἰσι καὶ ἄρτι τινὲς κοπιῶντες ἐν ταῖς πολιτείαις καὶ οὐ λαμβάνουσι τὴν χάριν ὡς οἱ ἀρχαῖοι; Λέγει αὐτῷ ὁ Γέρων· Τότε ἀγάπη ἦν, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ εἷλκεν ἄνω· νῦν δέ, ψυγείσης τῆς ἀγάπης, ἕκαστος τὸν πλησίον αὐτοῦ κάτω σύρει. Καὶ διὰ τοῦτο οὐ λαμβάνομεν τὴν χάριν.

43. Ἀπῆλθόν ποτε τρεῖς ἀδελφοὶ εἰς θερισμόν. Καὶ ἔλαβον ἑαυτοῖς ἑξήκοντα ἀρούρας. Εἷς δὲ ἐξ αὐτῶν ἠσθένησε τὴν πρώτην ἡμέραν καὶ ἀνέκαμψεν εἰς τὴν κέλλαν αὐτοῦ. Καὶ εἶπεν ὁ εἷς τῶν δύο τῷ ἑτέρῳ· Ἰδού, ἀδελφέ, βλέπεις ὅτι ἠσθένησεν ὁ ἀδελφὸς ἡμῶν· βίασον οὖν τὸν λογισμόν σου μικρὸν κἀγὼ μικρόν, καὶ πιστεύομεν διὰ τῶν εὐχῶν αὐτοῦ θερίσαι τὸν τόπον αὐτοῦ.

Τελεσθέντος δὲ τοῦ ἔργου, ὅτε ἦλθον λαβεῖν τὸν μισθόν, ἐφώνησαν τῷ ἀδελφῷ λέγοντες· Ἐλθέ, ἆρον τὸν μισθόν σου, ἀδελφέ. Ὁ δὲ εἶπε· Ποῖον μισθὸν ἔχω λαβεῖν μὴ θερίσας; Οἱ δὲ εἶπον· Διὰ τῶν εὐχῶν σου γέγονεν ὁ θερισμός σου, καὶ δεῦρο λάβε τὸν μισθόν σου. Πολλῆς δὲ ἀμφιβολίας γενομένης ἀναμέσον αὐτῶν, τοῦ μὲν λέγοντος οὐ λαμβάνω, τῶν δὲ οὐκ ἀνεχομένων παραχωρῆσαι, εἰ μὴ λάβοι, ἀπῆλθον δικάσαθαι πρὸς μέγαν Γέροντα.

Εἶπε δὲ ὁ ἀδελφός· Πάτερ, ἀπήλθομεν θερίσαι οἱ τρεῖς. Ἀπελθόντων δὲ ἡμῶν εἰς τὸν ἀγρόν, τὴν πρώτην ἡμέραν ἠσθένησα καὶ ἀνέκαμψα εἰς τὴν κέλλαν μου μηδεμίαν ἡμέ-

19. Πρβλ. Ματθ. 24, 12.

τοῦ ἀδελφοῦ μου». Ὅμως οἱ ἄλλοι Γέροντες τόν παρακάλεσαν: «Γιά τόν Θεό, φάε, γιά νά μήν πάει ἄδικα ἡ θυσία τοῦ ἀδελφοῦ». Παρακινημένος ἀπό τούς ἀδελφούς ἔφαγε τελικά.

42. Ἕνας ἀδελφός ρώτησε κάποιο Γέροντα: «Πῶς συμβαίνει καί τώρα, ἐνῶ μερικοί ἀδελφοί κοπιάζουν κάνοντας πολλή ἄσκηση, ὅμως δέν παίρνουν τή χάρη ὅπως οἱ παλαιοί;» «Τότε ὑπῆρχε ἀγάπη, ἀπαντᾶ ὁ Γέροντας, καί ὁ καθένας τραβοῦσε τόν πλησίον πρός τά πάνω. Τώρα πάγωσε ἡ ἀγάπη[19] καί ὁ καθένας σέρνει πρός τά κάτω τόν πλησίον. Γι' αὐτό δέν παίρνουμε χάρη».

43. Κάποτε τρεῖς ἀδελφοί πῆγαν γιά θερισμό. Ἀνέλαβαν γιά λογαριασμό τους ἑξήντα κομμάτια καλλιεργήσιμης γῆς. Τήν πρώτη μέρα ἕνας ἀπό αὐτούς ἀρρώστησε καί γύρισε στό κελί του. Ἀπό τούς δυό ὁ ἕνας εἶπε στόν ἄλλον: «Νά, ἀδελφέ, βλέπεις ὅτι ὁ ἀδελφός μας ἀρρώστησε· βίασε λοιπόν λίγο τόν λογισμό σου, τό ἴδιο κι ἐγώ, καί ἔχουμε τήν πεποίθηση ὅτι μέ τίς εὐχές αὐτοῦ θά θερίσουμε καί τόν δικό του χῶρο».

Μέ τό τέλος τοῦ ἔργου, ὅταν ἦρθαν νά πάρουν τόν μισθό, κάλεσαν τόν ἀδελφό λέγοντας: «Ἔλα, ἀδελφέ, νά πάρεις τόν μισθό σου». Ἐκεῖνος εἶπε: «Ποιό μισθό ἔχω νά πάρω, ἀφοῦ δέν θέρισα;» «Μέ τίς εὐχές σου, τοῦ εἶπαν, ἔχει γίνει ὁ θερισμός σου, καί ἔλα, πάρε τόν μισθό σου». Ἔγινε μεγάλη συζήτηση μεταξύ τους, μέ ἀντίθετες γνῶμες: ὁ ἕνας ἔλεγε «δέν τά παίρνω» καί οἱ ἄλλοι δέν δέχονταν νά ὑποχωρήσουν νά μήν τά πάρει. Τελικά πῆγαν νά ἐξετασθεῖ τό θέμα ἀπό μεγάλο Γέροντα.

Εἶπε ὁ ἀδελφός: «Πάτερ, πήγαμε οἱ τρεῖς νά θερίσουμε. Ὅταν φτάσαμε στό χωράφι, τήν πρώτη μέρα ἀρρώστησα καί γύρισα στό κελί μου, χωρίς νά θερίσω καμιά μέρα. Τώρα

ραν θερίσας. Καὶ ἀναγκάζουσί με οἱ ἀδελφοὶ λέγοντες· Δεῦρο, λάβε μισθὸν ὧν οὐκ ἐθέρισας. Εἶπον δὲ καὶ οἱ ἄλλοι δύο· Πάτερ, οἱ τρεῖς ἐλάβομεν ἑξήκοντα ἀρούρας· καὶ εἰ ἦμεν οἱ τρεῖς, οὐκ εἴχομεν αὐτὰς τελέσαι. Διὰ δὲ τῶν εὐχῶν τοῦ ἀδελφοῦ οἱ δύο ταχέως κατελύσαμεν τὸν θερισμόν. Καὶ λέγομεν αὐτῷ· λάβε τὸν μισθόν σου, καὶ οὐ θέλει.

Ἀκούσας δὲ ὁ Γέρων ἐθαύμασε καὶ εἶπε τῷ ἀδελφῷ αὐτοῦ· Κροῦσον, ἵνα συναχθῶσι πάντες οἱ ἀδελφοί. Ἐλθόντων δὲ πάντων εἶπεν αὐτοῖς· Δεῦτε, ἀδελφοί, ἀκούσατε σήμερον δικαιοκρισίαν· καὶ ἀνήγγειλεν αὐτοῖς πάντα ὁ Γέρων. Καὶ κατεδίκασαν τὸν ἀδελφὸν λαβεῖν τὸν μισθὸν αὐτοῦ καὶ ποιῆσαι εἰς αὐτὸν εἴ τι θέλοι. Καὶ ἀπῆλθεν ὁ ἀδελφὸς κλαίων καὶ λυπούμενος.

44. Εἶπε Γέρων· Οἱ Πατέρες ἡμῶν ἔθος εἶχον παραβάλλειν εἰς τὰ κελλία τῶν νεοφύτων ἀδελφῶν τῶν βουλομένων κατὰ μόνας ἀσκεῖσθαι καὶ ἐπισκέπτεσθαι αὐτούς, μή ποτέ τις αὐτῶν πειρασθεὶς ὑπὸ δαιμόνων ἐβλάβη τὸν λογισμόν. Καὶ εἴ ποτέ τις αὐτῶν βλαβεὶς εὑρίσκετο, ἔφερον αὐτὸν ἐν τῇ ἐκκλησίᾳ, καὶ ἐτίθετο νιπτήρ, καὶ πάντες οἱ ἀδελφοὶ κατέχεον ἐπάνω αὐτοῦ ἐκ τοῦ ὕδατος, καὶ εὐθέως ἐκαθαρίζετο.

45. Δύο Γέροντες ἦσαν ἔτη πολλὰ καθήμενοι μετ᾽ ἀλλήλων καὶ οὐδέποτε μάχην ἐποίησαν. Εἶπε δὲ ὁ εἷς τῷ ἑτέρῳ· Ποιήσωμεν καὶ ἡμεῖς μίαν μάχην ὡς οἱ ἄνθρωποι. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ οἶδα πῶς γίνεται μάχη. Ὁ δὲ εἶπεν αὐτῷ· Ἰδού, τίθημι πλινθάριν εἰς τὸ μέσον· κἀγὼ λέγω ὅτι ἐμόν ἐστι, καὶ σὺ λέγε· Οὐχί, ἀλλ᾽ ἐμόν· καὶ ἔνθεν γίνεται ἡ ἀρχή. Ἔθηκαν οὖν πλινθάριν εἰς τὸ μέσον, καὶ λέγει ὁ εἷς· Τοῦτο

οἱ ἀδελφοί μέ φέρνουν σέ δύσκολη θέση λέγοντας: πάρε μισθό γιά κεῖνα πού δέν θέρισες». Οἱ ἄλλοι δύο εἶπαν: «Οἱ τρεῖς πήραμε γιά θερισμό ἑξήντα κομμάτια. Ἄν ἤμασταν οἱ τρεῖς, δέν θά μπορούσαμε νά τά τελειώσουμε. Μέ τίς εὐχές ὅμως τοῦ ἀδελφοῦ οἱ δυό μας γρήγορα ὁλοκληρώσαμε τόν θερισμό. Τοῦ λέμε: πάρε τόν μισθό σου, καί δέν θέλει».

Ὅταν τό ἄκουσε ὁ Γέροντας, θαύμασε καί εἶπε στόν συνασκητή του: «Χτύπα τό καμπανάκι, νά συγκεντρωθοῦν ὅλοι οἱ ἀδελφοί». Σάν ἦρθαν ὅλοι, τούς εἶπε: «Ἐλᾶτε, ἀδελφοί· ἀκοῦστε σήμερα δίκαιη κρίση», καί τούς ἔκανε γνωστά ὅλα αὐτά. Ἐκεῖνοι ὅρισαν ὁ ἀδελφός νά πάρει τόν μισθό του καί νά τόν κάνει ὅ,τι θέλει. Καί ὁ ἀδελφός ἔφυγε μέ δάκρυα καί πόνο στήν ψυχή.

44. Ἕνας Γέροντας εἶπε: «Οἱ Πατέρες μας συνήθιζαν νά πλησιάζουν στά κελιά τῶν ἀδελφῶν πού ἤθελαν νά ἀσκοῦνται ὡς ἀναχωρητές καί ἦταν νεοφερμένοι. Τούς ἐπισκέπτονταν, μήπως ποτέ κανείς ἀπό αὐτούς δέχτηκε δαιμονικό πειρασμό καί τοῦ προξενήθηκε ζημιά στόν λογισμό. Καί ἄν κάποτε βρισκόταν κάποιος ἀπό αὐτούς νά ἔχει πάθει βλάβη, τόν ἔφερναν στήν ἐκκλησία. Ἐκεῖ ἔβαζαν νιπτήρα, συγκεντρώνονταν ὅλοι οἱ ἀδελφοί, ἔριχναν ἐπάνω του νερό, καί ἀμέσως καθαριζόταν».

45. Δυό Γέροντες ζοῦσαν ὡς μοναχοί πολλά χρόνια μαζί καί ποτέ δέν μάλωσαν. Εἶπε ὁ ἕνας στόν ἄλλον: «Ἄς φιλονικήσουμε κι ἐμεῖς μιά φορά ὅπως ὅλοι οἱ ἄνθρωποι». Ὁ ἄλλος ἀποκρίθηκε: «Δέν ξέρω πῶς γίνεται ἡ φιλονικία». Καί τοῦ λέει ὁ ἀδελφός: «Νά, θά βάλω στή μέση ἕνα τοῦβλο. Ἐγώ θά λέω ὅτι εἶναι δικό μου κι ἐσύ νά λές, ὄχι· δικό μου εἶναι, καί ἀπό δῶ γίνεται ἡ ἀρχή». Ἔβαλαν πράγματι στή μέση ἕνα τοῦβλο. Λέει ὁ ἕνας: «Αὐτό εἶναι δικό μου». Ὁ

ἐμόν ἐστι. Εἶπε δὲ ὁ ἄλλος· Οὐχί, ἀλλ᾽ ἐμόν. Καὶ εἶπεν ὁ ἕτερος· Εἰ σόν ἐστιν, ἆρον καὶ ὕπαγε. Καὶ ἀνεχώρησαν μηδὲ φιλονικῆσαι μετ᾽ ἀλλήλων εὑρόντες.

46. Εἶπε Γέρων· Οὐδέποτε ἐπεθύμησα ἔργον ὠφελοῦν με καὶ ζημιοῦν τὸν πλησίον, τοιαύτην ἐλπίδα ἔχων, ὅτι τὸ κέρδος τοῦ ἀδελφοῦ μου ἔργον καρποφορίας μοί ἐστιν.

47. Ἀσκητής τις εὑρηκώς τινα δαιμονιῶντα μὴ δυνάμενον νηστεύειν, τῇ τοῦ Θεοῦ ἀγάπῃ, ὡς γέγραπται, μὴ τὸ ἑαυτοῦ ἀλλὰ τὸ τοῦ ἑτέρου ζητῶν, ἠξίωσε μετελθεῖν εἰς ἑαυτὸν τὸν δαίμονα κἀκεῖνον ἐλευθερωθῆναι. Καὶ δὴ τῆς δεήσεως ἐπήκουσεν ὁ Θεός. Καὶ βαρυνθεὶς ὁ ἀσκητὴς ὑπὸ τοῦ δαίμονος ἐπέμενε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ καὶ τῇ ἀσκήσει σχολάζων. Τὸ δὲ πλεῖστον διὰ τὴν ἀγάπην αὐτοῦ εἴσω ὀλίγων ἡμερῶν ἀπήλασεν ὁ Θεὸς ἀπ᾽ αὐτοῦ τὸν δαίμονα.

48. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων ὅτι εἰσὶ δύο ἀδελφοί· ὁ εἷς ἡσυχάζει ἕλκων τὰς ἓξ καὶ πολὺν κάματον ἑαυτῷ παρέχων, ὁ δὲ ἄλλος κακουμένοις ὑπηρετεῖ· τίνος οὖν τὸ ἔργον πλέον δέχεται ὁ Θεός; Λέγει αὐτῷ ὁ Γέρων· Ἐὰν ὁ ἕλκων ἀδελφὸς τὰς ἓξ κρεμάσῃ ἑαυτὸν ἀπὸ τοῦ ῥώθωνος, οὐ δύναται ἴσος εἶναι τῷ ὑπηρετοῦντι τοῖς κακουμένοις.

49. Ἀδελφὸς ὑπηρέτει τινὶ τῶν Πατέρων ἀσθενοῦντι. Συνέβη δὲ αὐτοῦ λυθῆναι τὸ σῶμα καὶ ἐκβάλλειν πῦον μετὰ

20. Α΄ Κορ. 10, 24.

ἄλλος εἶπε: «Ὄχι, εἶναι δικό μου». Εἶπε ὁ πρῶτος: «Ἔ, ἄν εἶναι δικό σου, πάρ᾽ το καί πήγαινε». Καί ἔφυγαν, χωρίς νά βροῦν αἰτία γιά φιλονικία.

46. Ἕνας Γέροντας εἶπε: «Ποτέ δέν ἐπεθύμησα ἕνα ἔργο πού νά ὠφελεῖ ἐμένα καί νά βλάπτει τόν διπλανό, γιατί πίστευα ὅτι τό κέρδος τοῦ ἀδελφοῦ μου εἶναι καρποφορία γιά μένα».

47. Ἕνας ἀσκητής συνάντησε κάποιον δαιμονισμένο πού δέν μποροῦσε νά νηστεύει. Ἀπό ἀγάπη Θεοῦ –καθώς ἔχει γραφεῖ: «Νά μή ζητᾶ κανείς τά δικά του ἀλλά τοῦ ἄλλου»[20]– ἐπίμονα ζήτησε νά μεταπηδήσει σ᾽ αὐτόν τό δαιμόνιο καί νά ἐλευθερωθεῖ ὁ ἀδελφός. Ὁ Θεός ἄκουσε τή δέησή του, πράγματι. Ὁ ἀσκητής δαιμονίστηκε, ἀλλά ἐπέμενε στή νηστεία καί τήν προσευχή καί καταγινόταν μέ τήν ἄσκηση. Μέσα σέ λίγες μέρες ὅμως ὁ Θεός τόν ἀπήλλαξε ἀπό τό δαιμόνιο, κυρίως γιά τήν ἀγάπη πού ἔδειξε[21].

48. Ἕνας ἀδελφός ἔκανε τήν ἑξῆς ἐρώτηση σέ ἕναν Γέροντα: «Εἶναι δύο ἀδελφοί. Ὁ ἕνας ζεῖ ὡς ἡσυχαστής, νηστεύοντας τίς ἕξι ἡμέρες τῆς ἑβδομάδος καί κοπιάζοντας πολύ. Ὁ ἄλλος ὑπηρετεῖ ἀρρώστους. Μέ ποιοῦ τό ἔργο ὁ Θεός εὐαρεστεῖται περισσότερο;» Ὁ Γέροντας ἀπαντᾶ: «Ὁ ἀδελφός πού νηστεύει τίς ἕξι, κι ἄν κρεμαστεῖ ἀπό τό ρουθούνι, δέν μπορεῖ νά εἶναι ἴσος μ᾽ ἐκεῖνον πού ὑπηρετεῖ ἀρρώστους».

49. Κάποιος ἀδελφός ὑπηρετοῦσε ἕναν ἀπό τούς Πατέρες πού ἦταν ἄρρωστος. Κάποτε συνέβη νά ἀνοίξει τό

21. Καί ὄχι τόσο γιά τή νηστεία καί τήν ἄσκησή του γενικότερα.

σαπρᾶς ὀσμῆς. Εἶπε δὲ ὁ λογισμὸς τοῦ ἀδελφοῦ· Φύγε, οὐ γὰρ δύνασαι ὑπενεγκεῖν τὴν ὀσμὴν τῆς δυσωδίας ταύτης. Ὁ δὲ ἀδελφὸς λαβὼν κεράμιον ἔβαλεν εἰς αὐτὸ τὸ ἀπόπλυμα τοῦ ἀσθενοῦντος. Καὶ εἰ ἤρξατο ὁ λογισμὸς αὐτοῦ λέγειν ὅτι φύγε, ἔλεγε τῷ λογισμῷ· Ἐὰν θελήσω φυγεῖν, ἀπ᾽ αὐτοῦ πίνω. Εἶπε δὲ ὁ λογισμὸς αὐτοῦ· Μήτε φύγης μήτε πίῃς τὴν δυσωδίαν ταύτην. Καὶ ἐκοπία ὁ ἀδελφὸς καὶ ἐκαρτέρει ὑπηρετῶν τῷ Γέροντι. Καὶ ἰδὼν ὁ Θεὸς τὸν κόπον τοῦ ἀδελφοῦ ἰάσατο τὸν Γέροντα.

50. Ἀδελφοὶ ἐν Σκήτει ἐκάθησαν καθαρίσαι σειράν. Καί τις ἐξ αὐτῶν ἀσθενῶν ἀπὸ τῆς ἀσκήσεως καὶ βήσσων ἀνέφερε φλέγματα. Καὶ μὴ θέλοντος αὐτοῦ ἀπήρχετο ἀπὸ τοῦ πτύσματος ἐπάνω τινὸς ἀδελφοῦ καὶ ὠχλεῖτο ἐκεῖνος ὑπὸ τοῦ ἰδίου λογισμοῦ εἰπεῖν τῷ ἀσθενοῦντι· Παῦσαι τοῦ πτύειν ἐπάνω μου. Πολεμήσας δὲ τῷ λογισμῷ εἶπεν ἐν ἑαυτῷ· Εἰ βούλει φαγεῖν ἀπ᾽ αὐτοῦ, εἰπέ. Τότε λέγει· Μήτε φάγῃς μήτε εἴπῃς αὐτῷ.

51. Τὶς τῶν Πατέρων ἀπῆλθεν εἰς πόλιν πωλῆσαι τὸ ἐργόχειρον αὐτοῦ. Καὶ ἰδὼν πτωχὸν γυμνὸν ὄντα καὶ σπλαγχνισθεὶς ἐπ᾽ αὐτῷ ἐχαρίσατο αὐτῷ τὸν ἑαυτοῦ λεβήτωνα. Ὁ δὲ πτωχὸς ἀπελθὼν ἐπώλησεν αὐτόν. Ὁ οὖν Γέρων μαθὼν ὃ ἐποίησεν ἐλυπήθη καὶ μετέγνω ὅτι ἔδωκεν αὐτῷ τὸ ἱμάτιον. Παρέστη οὖν τῷ Γέροντι ὁ Χριστὸς κατ᾽ ὄναρ ἐν τῇ νυκτὶ

22. Βλ. Μ. Γερ. τ. Γ΄, σελ. 202, ὑποσημ. 138.

σῶμα του καί νά βγάζει πύον μέ ἀπαίσια ὀσμή. Εἶπε ὁ λογισμός τοῦ ἀδελφοῦ: «Φύγε· δέν μπορεῖς νά ἀντέξεις αὐτήν τήν ἄσχημη μυρωδιά». Πῆρε ὁ ἀδελφός ἕνα κανάτι καί ἔβαλε μέσα τό βρώμικο νερό ἀπό τό πλύσιμο τοῦ ἀρρώστου. Κι ἄν ἄρχιζε ὁ λογισμός νά τοῦ λέει: «Φύγε», ἔλεγε στόν λογισμό: «Ἄν θελήσω νά φύγω, θά πιῶ ἀπ᾽ αὐτό». Ὁπότε ὁ λογισμός του εἶπε: «Οὔτε νά φύγεις οὔτε νά πιεῖς αὐτήν τή δυσωδία».

Ἔκανε λοιπόν ἀγώνα ὁ ἀδελφός καί ὑπηρετοῦσε μέ ὑπομονή τόν Γέροντα. Καί ὁ Θεός βλέποντας τόν κόπο τοῦ ἀδελφοῦ, γιάτρεψε τόν Γέροντα.

50. Μερικοί ἀδελφοί στή Σκήτη κάθισαν νά καθαρίσουν σχοινιά[22]. Ἕνας ἀπό αὐτούς, ἄρρωστος ἀπό τήν ἄσκηση, ἔβηχε καί ἔβγαζε φλέματα. Κι ἐνῶ δέν τό ἤθελε, ἔφτανε φτύσμα σέ κάποιον ἀδελφό.

Τόν ἀδελφό ἐκεῖνο τόν ἐνοχλοῦσε ὁ λογισμός του νά πεῖ στόν ἄρρωστο: «Σταμάτα νά φτύνεις ἐπάνω μου». Ὅμως πολέμησε τόν λογισμό καί εἶπε μέσα του: «Ἄν θέλεις νά φάω ἀπ᾽ αὐτό, πές το». Τότε τοῦ λέει: «Οὔτε νά φᾶς οὔτε νά πεῖς τίποτε»[23].

51. Κάποιος ἀπό τούς Πατέρες πῆγε στήν πόλη νά πουλήσει τό ἐργόχειρό του. Ἐκεῖ εἶδε ἕναν φτωχό πού ἦταν γυμνός, καί ἐπειδή τόν σπλαχνίστηκε, τοῦ χάρισε τό ἐπανωφόρι του. Ὁ φτωχός ὅμως πῆγε καί τό πούλησε. Ὅταν τό ἔμαθε αὐτό ὁ Γέροντας, λυπήθηκε καί μετάνιωσε πού τοῦ ἔδωσε τό ἔνδυμα.

Ἐκείνη τή νύχτα παρουσιάστηκε στόν Γέροντα –σέ

23. Βλ. Μ. Γερ. τ. Β΄, ἀπόφθ. 137, σελ. 98, ὑποσημ. 69.

ἐκείνη φορῶν τὸν λεβήτωνα καὶ λέγει αὐτῷ· Μὴ λυποῦ· ἰδοὺ γὰρ φορῶ ὃ δέδωκάς μοι.

52. Ἔλεγον οἱ Γέροντες ὅτι ὀφείλει ἕκαστος τὰ τοῦ πλησίον οἰκειοῦσθαι καὶ συμπάσχειν αὐτῷ ἐν ἅπασι καὶ συγχαίρειν καὶ συγκλαίειν αὐτῷ, καὶ οὕτω διακεῖσθαι ὡς τὸ αὐτοῦ φορῶν σῶμα, καὶ ὡς περὶ ἑαυτοῦ, εἴ ποτε συμβῇ αὐτῷ θλῖψις· καθὼς γέγραπται ὅτι· Ἓν σῶμά ἐσμεν ἐν Χριστῷ· καὶ τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία.

53. Μονάζων τις ἦν ὑφ' ἑαυτὸν ἔχων ἄλλον μονάζοντα. Καὶ ἦν ἐν κελλίῳ ἀπὸ δέκα μιλίων αὐτοῦ. Καὶ εἶπεν ὁ λογισμὸς αὐτῷ καλέσαι τὸν ἀδελφόν ποτε, ἵνα ἔλθῃ καὶ λάβῃ τὸν ἄρτον. Καὶ πάλιν ἐλογίσατο ὅτι διὰ τὸν ἄρτον ἔχω σκῦλαι τὸν ἀδελφόν μου δέκα μίλια; Μᾶλλον ἀπενέγκω αὐτῷ τὸ ἥμισυ τοῦ ἄρτου. Καὶ λαβὼν ἀπῄει εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ.

Καὶ ὡς ὑπῆγε προσέκρουσεν εἰς τὸν δάκτυλον τοῦ ποδὸς αὐτοῦ. Καὶ ἐξερχομένου τοῦ αἵματος ἤρξατο ὁ μονάζων κλαίειν ἀπὸ τοῦ πόνου. Καὶ ἰδοὺ ἄγγελος ἦλθε λέγων αὐτῷ· Τί κλαίεις; Λέγει αὐτῷ ὁ μονάζων· Τὸν δάκτυλον ἐπλήγην καὶ πονῶ. Ἔφη αὐτῷ ὁ ἄγγελος. Καὶ διὰ τοῦτο κλαίεις; Μὴ κλαῖε· καὶ γὰρ τὰ βήματα ἃ ἐσὺ ποιεῖς διὰ τὸν Κύριον ἀριθμοῦνται καὶ εἰς πολὺν μισθὸν πρὸ προσώπου τοῦ Θεοῦ φαίνονται. Καί, ἵνα γνῷς, ἰδοὺ ἔμπροσθέν σου αἴρω ἀπὸ τοῦ αἵματός σου καὶ ἀναφέρω πρὸς τὸν Θεόν.

Τότε εὐχαριστῶν ὥδευε πρὸς τὸν ἄλλον ἀδελφόν. Καὶ

24. Ρωμ. 12, 5.

25. Πράξ. 4, 32.

ὄνειρο– ὁ Χριστός, φορώντας τό ἐπανωφόρι. Τοῦ λέει: «Μή λυπᾶσαι· νά, φορῶ αὐτό πού μοῦ ἔχεις δώσει».

52. Οἱ Γέροντες ἔλεγαν: «Ὁ καθένας ὀφείλει τά προβλήματα τοῦ πλησίον νά τά κάνει δικά του καί σέ ὅλα νά συμπάσχει μέ αὐτόν. Καί νά χαίρεται καί νά κλαίει μαζί μ' αὐτόν, καί μέ τέτοια διάθεση νά στέκεται ἀπέναντί του, σάν νά φοράει τό σῶμα τοῦ πλησίον καί σάν νά πρόκειται γιά τόν ἑαυτό του, ἄν ποτέ συμβεῖ κάτι κακό σ' ἐκεῖνον.

Αὐτά εἶναι σύμφωνα μέ τή Γραφή πού λέει: Χάρη στόν Χριστό ὅλοι εἴμαστε ἕνα σῶμα[24]. Καί: Ὅλοι ὅσοι πίστευσαν στόν Χριστό εἶχαν μιά καρδιά καί μιά ψυχή[25]».

53. Ἕνας ἀσκητής εἶχε κάτω ἀπό τήν εὐθύνη του ἄλλον ἀσκητή, πού ἔμενε σέ κελί δέκα μίλια μακριά ἀπό τό δικό του. Ὁ λογισμός τοῦ εἶπε νά καλέσει κάποτε τόν ἀδελφό νά ἔρθει νά πάρει τό ψωμί. Ἀλλά πάλι συλλογίστηκε: «Νά κάνω τόν ἀδελφό νά ταλαιπωρηθεῖ βαδίζοντας δέκα μίλια γιά τό ψωμί; Καλύτερα νά τοῦ πάω ἐγώ τό μισό ψωμί». Τό πῆρε καί πήγαινε στό κελί τοῦ ἀδελφοῦ.

Καθώς προχωροῦσε, χτύπησε στό δάχτυλο τοῦ ποδιοῦ. Ἔτρεξε αἷμα καί ἄρχισε νά κλαίει ἀπό τόν πόνο. Ξαφνικά ἐμφανίζεται ἕνας ἄγγελος. Τοῦ λέει: «Γιατί κλαῖς;» «Πληγώθηκε τό δάχτυλό μου καί πονῶ», ἀπαντᾶ ὁ μοναχός. «Καί γι' αὐτό κλαῖς;» εἶπε ὁ ἄγγελος. «Μή κλαῖς, γιατί ἀκόμη καί τά βήματα πού κάνεις γιά τόν Κύριο μετριοῦνται καί φαίνονται ἐνώπιον τοῦ Θεοῦ ἄξια γιά μεγάλο μισθό. Νά, μπροστά στά μάτια σου –γιά νά ξέρεις– παίρνω ἀπό τό αἷμα σου καί τό φέρνω ἐπάνω στόν Θεό».

Τότε ἐκεῖνος εὐχαριστώντας, συνέχισε τόν δρόμο γιά τόν ἄλλον ἀδελφό. Τοῦ ἔδωσε τό μισό ἀπό τό ψωμί καί τοῦ

δοὺς αὐτῷ τοῦ ἄρτου τὸ ἥμισυ διηγήσατο αὐτῷ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Καὶ ὑπέστρεψεν εἰς τὴν ἰδίαν κέλλαν.

Πάλιν μετὰ μίαν ἡμέραν λαβὼν τὸ ἄλλο ἥμισυ τοῦ ἄρτου ἀπῆλθε πρὸς ἄλλον μοναχόν. Συνέβη δὲ καὶ τὸν ἄλλον ἀδελφὸν τὸν μοναχὸν ζηλώσαντα οὕτω ποιῆσαι καὶ πρὸς ἄλλον ἀδελφὸν ἀπελθεῖν. Ὑπήντησαν οὖν ἀλλήλοις ἐν τῇ ὁδῷ. Καὶ ἄρχεται ὁ μονάζων, ὁ πρῶτος ποιήσας τὸ ἀγαθὸν λέγειν ἐκείνῳ· Θησαυρὸν εἶχον, καὶ αὐτὸν ἐζήτησας συλῆσαι; Λέγει αὐτῷ ὁ ἄλλος· Ποῦ γέγραπται ὅτι ἡ στενὴ θύρα σὲ μόνον χωρεῖ; Ἔασον καὶ ἡμᾶς ἅμα σοι εἰσελθεῖν. Καὶ ἐξαίφνης λαλούντων αὐτῶν φαίνεται ἄγγελος Κυρίου καὶ λέγει αὐτοῖς· Ἡ ἔρις ὑμῶν ὡς ὀσμὴ εὐωδίας ἀνῆλθε πρὸς τὸν Θεόν.

54. Δύο ἀδελφοὶ συνοικοῦντες ἀλλήλοις, συνέβαινε τὸν τὰς χρείας οἰκονομοῦντα ἔλαττον κομίζειν τῶν κατὰ συνήθειαν. Ὡς ἐκ τούτου τὸν ἔνδον καθεζόμενον λογίζεσθαι ἢ παρὰ λόγον ἀναλίσκειν ἢ ἐμπαίζεσθαι αὐτόν. Τοῦτο δὲ καὶ μαθεῖν βουληθεὶς ἐπηκολούθησεν αὐτῷ. Τοῦ δὲ εἰς τὸν ἄσεμνον εἰσεληλυθότος τόπον καὶ αὐτὸς προσεποιήσατο προσεισεληλυθέναι. Καὶ οὕτω προσπεσὼν αὐτῷ παρεκάλει μετανοεῖν.

Ἀλλὰ πολλάκις παρακαλοῦντος τοῦ μὴ ἁμαρτήσαντος τὸν ἁμαρτήσαντα εὔχεσθαι ὑπὲρ αὐτοῦ ὡς ἡμαρτηκότος, καὶ προτρεπομένου εἰς μετάνοιαν, συνέβη βληθῆναι τὸν μὴ ἁμαρτήσαντα. Μέλλοντος δὲ αὐτοῦ τελειοῦσθαι ὡμολόγησε τῷ ἀδελφῷ λέγων· Καθαρός εἰμι ἀπὸ τῆς ἁμαρτίας ἧς νομί-

26. Πρβλ. Ματθ. 7, 13-14.

περιέγραψε τή φιλανθρωπία τοῦ Θεοῦ. Ἔπειτα γύρισε στό κελί του.

Μετά ἀπό μιά μέρα πῆρε τό ἄλλο μισό ψωμί πάλι καί ἔφυγε γιά ἄλλο μοναχό. Συμπτωματικά ὅμως καί ὁ ἄλλος ἀδελφός, ὁ μοναχός, προσπαθώντας νά τόν μιμηθεῖ ἔκανε τό ἴδιο καί πήγαινε σέ ἄλλον ἀδελφό. Συναντήθηκαν λοιπόν στόν δρόμο. Ἀρχίζει ὁ μοναχός πού πρῶτος εἶχε κάνει τό καλό: «Εἶχα θησαυρό καί αὐτόν ζήτησες νά ληστέψεις;» Καί ἀπαντᾶ ὁ ἄλλος: «Ποῦ εἶδες νά 'ναι γραμμένο ὅτι ἡ στενή θύρα[26] μόνον ἐσένα χωράει; Ἄσε κι ἐμᾶς μαζί μέ σένα νά μποῦμε ἀπ' αὐτήν».

Ξαφνικά καί ἐνῶ αὐτοί συζητοῦσαν ἐμφανίζεται ἄγγελος Κυρίου καί τούς λέει: «Ἡ φιλονικία σας αὐτή ὡς ὀσμή εὐωδίας ἀνέβηκε στόν Θεό».

54. Δύο ἀδελφοί κατοικοῦσαν μαζί. Συνέβαινε ἐκεῖνος πού ἐξασφάλιζε τά ἀναγκαῖα νά φέρνει λιγότερα ἀπό ὅ,τι συνήθως, καί γι' αὐτόν τόν λόγο ἐκεῖνος πού ἔμενε μέσα ὑποψιαζόταν ἤ ὅτι ξοδεύει παράλογα ἤ ὅτι ἐμπαίζεται[27]. Θέλοντας νά τό ἐξακριβώσει, τόν παρακολούθησε. Κι ὅταν ἐκεῖνος μπῆκε στόν ἄσεμνο τόπο, προσποιήθηκε ὅτι καί αὐτός ἐπίσης μπαίνει ἐκεῖ μέσα γιά τόν ἴδιο σκοπό. Ἔτσι, ἔπεσε στά πόδια του καί ἄρχισε νά τόν παρακαλεῖ νά μετανοήσει.

Καθώς ὅμως αὐτός πού δέν εἶχε πέσει στό ἁμάρτημα παρακαλοῦσε πολλές φορές ἐκεῖνον πού εἶχε ἁμαρτήσει νά εὔχεται γι' αὐτόν, γιατί τάχα εἶχε ἁμαρτήσει καί συγχρόνως προέτρεπε σέ μετάνοια, συνέβη αὐτός, πού στήν πραγματικότητα δέν ἁμάρτησε, νά πέσει στό κρεββάτι. Ἐνῶ ἔμελλε νά πεθάνει, ὁμολόγησε στόν ἀδελφό: «Εἶμαι καθαρός ἀπό

27. Ἐμπαίζεται δηλαδή ἀπό τούς δαίμονες καί ἁμαρτάνει, ὅπως καί συνέβαινε.

ζεις, ἀλλὰ διὰ σὲ τοῦτο πεποίηκα, ἵνα μετανοήσῃς. Καὶ τούτου κοιμηθέντος ἐπέτεινε τὴν ἄσκησιν τῆς μετανοίας ὁ ἡμαρτηκώς.

55. Ἄλλος ἐπὶ τῆς παιδίσκης τῆς κομιζούσης αὐτῷ τὰς χρείας τοῦτο καταμαθὼν οὐκ ἤλεγξε τὸν ἀδελφόν, ἀλλ᾽ ἐστέναξε σιωπῶν καὶ τὴν δέησιν ηὔξανε ἀξιῶν τὸν συνόντα εὔχεσθαι ὑπὲρ αὐτοῦ, καὶ λέγων πολλὰ ἡμαρτηκέναι καὶ θέλειν πρὸ τῆς τελευτῆς τῶν ἁμαρτημάτων ἐλευθερωθῆναι. Τοῦ δὲ ἁμαρτήσαντος θαυμάζοντος καὶ συντρέχοντος αὐτῷ, συνέβη κληθῆναι τὸν μὴ ἁμαρτήσαντα. Καὶ οὕτω κατὰ τὸν καιρὸν τῆς τελευτῆς τὸ πρᾶγμα τῷ ἀδελφῷ ἀπεκάλυψεν.

56. Ἄλλος τοῦ ἀδελφοῦ αὐτοῦ καταλείψαντος τὴν μοναδικὴν ἐπιστήμην καὶ πρὸς τὴν κοσμικὴν στραφέντος, προσεποιήσατο καὶ αὐτὸς τὴν αὐτὴν πρόθεσιν ἔχειν· καὶ οὕτω πάλιν τοῦ Κυρίου ἐλεήσαντος μετανοήσαντες ἐπανέλαβον τὴν παλαιὰν ἄσκησιν μειζόνως.

57. Ἀπῆλθόν ποτε ἀδελφοὶ εἰς τὸ ὄρος τῆς Διολκοῦ καθίσαι καὶ ἔμαθον ἐργάζεσθαι τὸ πλάγιον χαρτίν. Καὶ εἰργάζοντο ἐπὶ μισθῷ. Καὶ ἐπεὶ οὐκ ἦσαν τεχνῖται, οὐδεὶς παρεῖχεν αὐτοῖς ἔργον.

Παρέβαλεν οὖν αὐτοῖς εἷς Γέρων καὶ λέγει αὐτοῖς· Διατί οὐκ ἐργάζεσθε; Οἱ δὲ εὐλαβεῖς ὄντες ἀπεκρίθησαν· Ἐπειδὴ

---

28. Δίολκος: Περιοχὴ παραλιακὴ στό Δέλτα τοῦ Νείλου, ὅπου ὑπῆρχε μοναστικό κέντρο καί ἔφερε τό ὄνομα τῆς περιοχῆς. Βλ. Χάρτη σελ. 6-7.

29. Πλάγιον χαρτίν (στόν κώδ. 454: πλαγιοχάρτην): Ἐπειδή δέν βρέθηκε γραπτή μαρτυρία γιά τόν ὅρο αὐτόν, παραθέτουμε μιά πιθανή ἑρμηνεία του.

τήν ἁμαρτία, πού νομίζεις, ἀλλά γιά σένα τό ἔκανα, γιά νά μετανοήσεις». Μετά τόν θάνατο τοῦ ἀδελφοῦ ἐκεῖνος πού εἶχε ἁμαρτήσει ἐπέτεινε τήν ἄσκησή του πρός μετάνοιαν.

55. Ἄλλος κατάλαβε ὅτι κάτι τέτοιο συνέβη μέ τόν ἀδελφό καί τήν ὑπηρέτρια πού τοῦ μετέφερε τά ἀπαραίτητα, ἀλλά δέν ἔκανε ἔλεγχο στόν ἀδελφό, μόνο στέναξε σιωπηλά καί αὔξησε τή δέησή του, ζητώντας ἐπίμονα ἀπό τόν συγκάτοικό του νά εὔχεται γι᾽ αὐτόν, καί προσθέτοντας ἐπίσης ὅτι ἔχει ἁμαρτήσει πολύ καί ὅτι θέλει πρίν ἀπό τό τέλος του νά ἐλευθερωθεῖ ἀπό τά ἁμαρτήματά του.

Καθώς αὐτός πού ἁμάρτησε θαύμαζε καί τόν συμπαραστεκόταν, συνέβη νά κληθεῖ γιά τόν ἄλλον κόσμο ἐκεῖνος πού δέν ἁμάρτησε. Ἔτσι, τήν ὥρα τοῦ θανάτου ἀποκάλυψε τό θέμα στόν ἀδελφό.

56. Ἄλλος, ὅταν ὁ ἀδελφός του ἐγκατέλειψε τή μοναστική ἐπιστήμη καί στράφηκε στόν κόσμο, προσποιήθηκε ὅτι καί αὐτός τόν ἴδιο σκοπό ἔχει. Ἔτσι, ὅταν ὁ Κύριος πάλι τούς ἐλέησε, μετανόησαν καί ἐπανέλαβαν τήν παλαιά τους ἄσκηση μέ μεγαλύτερο ζῆλο.

57. Κάποτε στό ὄρος τῆς Διολκοῦ[28] ἦρθαν νά μονάσουν μερικοί ἀδελφοί. Ἔμαθαν νά ἐπεξεργάζονται τό πλαγιαστό χαρτί[29] κι ἐργάζονταν ὡς μισθωτοί, ἀλλά ἐπειδή δέν ἦταν τεχνίτες, κανείς δέν τούς ἔδινε δουλειά.

Μιά μέρα τούς συνάντησε ἕνας Γέροντας καί τούς εἶπε: «Γιατί δέν ἐργάζεσθε;» Αὐτοί καθώς ἦταν εὐλαβεῖς, ἀποκρί-

---

Ἐνδέχεται ἐδῶ νά ἔχουμε ἀναφορά στήν κατασκευή κυλίνδρου ἀπό πάπυρο, τοῦ ὁποίου ἡ φορά εἶναι "πλάγια" (ὅπως "πλάγιος" θά μποροῦσε νά χαρακτηριστεῖ καί ὁ τρόπος γραφῆς σέ τέτοιον κύλινδρο), σέ ἀντίθεση μέ τόν κύλινδρο ἀπό περγαμηνή, ὅπου ἡ φορά (καί ἡ γραφή) εἶναι κάθετη.

κακῶς ἐργαζόμεθα. Ὁ δὲ Γέρων ᾔδει τινὰ ἐργάτην Θεοῦ καὶ λέγει αὐτοῖς· Ὑπάγετε πρὸς τὸν δεῖνα τὸν Γέροντα καὶ παρέχει ὑμῖν ἔργον.

Ἀπῆλθον οὖν καὶ μετὰ χαρᾶς παρεῖχεν αὐτοῖς ἔργον. Οἱ δὲ ἀδελφοὶ ἔλεγον αὐτῷ· Κακῶς ἐργαζόμεθα, πάτερ. Ὁ δὲ Γέρων ἔλεγε· Πιστεύω τῷ Θεῷ, ὅτι διὰ τοῦ ὑμῶν ἐργοχείρου καὶ τὰ ἄλλα προχωροῦσιν. Καὶ τῇ ἀγάπῃ πλεονάζων ὁ Γέρων προεθύμου αὐτοὺς τοῦ ἐργάζεσθαι.

Ἰδοὺ οὖν ἀληθῶς ὅτι βιασταὶ ἁρπάζουσι τὴν Βασιλείαν τῶν Οὐρανῶν.

58. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Διατί ἐπιτελῶν τὰς μικράς μου λειτουργίας, ποτὲ μὲν ὁρῶ ἐμαυτὸν μὴ ἔχοντα ἐν τῇ καρδίᾳ μου λιπότητα, ποτὲ δὲ προθυμίαν; Λέγει αὐτῷ ὁ Γέρων· Πῶς οὖν φανήσεται ἄνθρωπος ὅτι ἀγαπᾷ τὸν Θεόν; Εἶπε δὲ πάλιν ὁ Γέρων· Ἐμοῦ τέως οὐκ ἐβάσταξε τὸ σῶμα ποιῆσαι πᾶσάν μου τὴν προαίρεσιν.

59. Ἀδελφός τις ἀπῆλθεν ἀγοράσαι λινάρια ἀπὸ χήρας τινός. Καὶ ὡς ἐπώλει αὐτῷ ἀνεστέναξε. Λέγει αὐτῇ ὁ ἀδελφός· Τί ἔχεις; Λέγει αὐτῷ ἡ χήρα· Ὁ Θεὸς ἔπεμψέ σε σήμερον οἰκονομῆσαι τοὺς ἀδελφούς σου καὶ ὀρφανούς μου. Καὶ ὡς ἤκουσεν ὁ ἀδελφὸς ἐκεῖνος, ἐλυπήθη καὶ ἔλαβε λινάρια ἐκ τοῦ πλαγίου αὐτοῦ καὶ ἔρριψεν εἰς τὸν κόλπον τῆς χήρας. Καὶ οὕτως ἐποίησε πρὸς αὐτὴν χάριν.

60. Τίς ποτε ἀνασείστης ὁδεύων εὗρε Γέροντα μοναχὸν ἔν τινι κελλίῳ καθεζόμενον. Ἤρξατο οὖν ὁ ἀνασείστης βάλ-

30. Ματθ. 11, 12.

θηκαν: «Ἐπειδή δέν ἐργαζόμαστε μέ τέχνη». Ὁ Γέροντας ἤξερε ἕναν ἐργάτη τοῦ Θεοῦ καί τούς λέει: «Νά πᾶτε στόν τάδε Γέροντα καί θά σᾶς δώσει δουλειά».

Πῆγαν καί μέ χαρά τούς ἔδινε ἐργασία. Οἱ ἀδελφοί τοῦ ἔλεγαν: «Ἄτεχνα ἐργαζόμαστε, πάτερ». Ὁ Γέροντας ἔλεγε: «Πιστεύω ὅτι μέ τή βοήθεια τοῦ Θεοῦ χάρη στό δικό σας ἐργόχειρο προχωροῦν καί τά ἄλλα». Ἔτσι ὁ Γέροντας μέ τήν περίσσια ἀγάπη του, τούς παρακινοῦσε νά ἐργάζονται μέ προθυμία.

Νά, λοιπόν, πράγματι, οἱ βιαστές ἁρπάζουν τή Βασιλεία τῶν Οὐρανῶν[30].

58. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Γιατί, ὅταν κάνω τίς μικρές μου προσευχές (τόν κανόνα μου), προσέχω ὅτι ἄλλοτε δέν ὑπάρχει εὐφορία[31] στήν καρδιά μου καί ἄλλοτε προθυμία;» Ἀπαντᾶ ὁ Γέροντας: «Πῶς λοιπόν θά φανεῖ ὅτι ὁ ἄνθρωπος ἀγαπᾶ τόν Θεό;» Καί συμπλήρωσε: «Ἐμένα τό σῶμα μου μέχρι τώρα δέν μπόρεσε νά ἀνταποκριθεῖ στήν προαίρεσή μου».

59. Κάποιος ἀδελφός πῆγε νά ἀγοράσει σχοινιά ἀπό μιά χήρα. Καθώς τοῦ τά πουλοῦσε, ἀναστέναξε. Ρωτάει ὁ ἀδελφός: «Τί ἔχεις;» Ἀπαντᾶ ἡ χήρα: «Ὁ Θεός σέ ἔστειλε σήμερα νά οἰκονομήσεις τούς ἀδελφούς σου, δηλαδή τά ὀρφανά μου». Μόλις τό ἄκουσε ὁ ἀδελφός ἐκεῖνος, λυπήθηκε καί πῆρε ἀπό δίπλα του λινάρια καί τά ᾽ριξε στήν ἀγκαλιά της.

Μ᾽ αὐτόν τόν τρόπο τήν βοήθησε.

60. Ἕνας ἄνθρωπος ταραχοποιός περιοδεύοντας κάποτε, βρῆκε ἕναν Γέροντα μοναχό καθισμένο σ᾽ ἕνα κελί. Ὁ

31. Ζέση, καλή διάθεση.

λειν αὐτῷ εὐχὰς καὶ λέγειν· Ἐλέησον, ὁ Θεὸς, τὸν ταπεινὸν τοῦτον, μὴ εἰδὼς τίς ἐστιν. Καὶ ὑποστρέψας πάλιν τοῦτο ἐποίησε καὶ ὑπὲρ τούτου ἐδικαιώθη. Τοῦτο δὲ διηγεῖτο ὁ Γέρων διὰ τὸ τινὰς τῶν παραβαλλόντων, λέγειν τοῖς Γέρουσιν· Ὁ Θεὸς ὑμᾶς φυλάξει δι' ἡμᾶς τοὺς ἁμαρτωλούς, ἵνα πληροφορηθῶσι ὅτι μισθὸν ἔχουσι περὶ τούτου.

61. Εἶπε Γέρων· Μὴ ἀπαίτει ἀγάπην παρὰ τοῦ πλησίον· ὁ γὰρ ἀγαπῶν τινα ταράσσεται, ἐὰν μὴ ἀπαντήσῃ· ἀλλὰ μᾶλλον σὺ δεῖξον τὴν ἀγάπην τῷ πλησίον καὶ ἀναπαύῃ καὶ οὕτω φέρεις καὶ τὸν πλησίον εἰς ἀγάπην.

62. Εἶπε πάλιν· Τὸ ἀσθενεῖν περὶ τὴν ἀγάπην τῶν ἀδελφῶν ἐκ τοῦ δέχεσθαί σε τοὺς ἐξ ὑποψίας λογισμοὺς καὶ πιστεύειν τῇ ἰδίᾳ καρδίᾳ γίνεταί σοι, καὶ ἐκ τοῦ μὴ θέλειν πάσχειν παρὰ προαίρεσιν. Θέλεις οὖν βοηθούμενος ὑπὸ τοῦ Θεοῦ προηγουμένως μὴ πιστεύειν ταῖς ἰδίαις ὑπονοίαις, καὶ πάσῃ σπουδῇ καὶ δυνάμει ταπεινοῦσθαι τοῖς ἀδελφοῖς, καὶ κόπτειν αὐτοῖς τὸ ἴδιόν σου θέλημα.

63. Ἔλεγε πάλιν ὅτι ἡ κατὰ Θεὸν ἀγάπη δυνατωτέρα ἐστὶ καὶ τῆς φυσικῆς ἀγάπης.

Τέλος τῆς περὶ ἀγάπης πραγματείας.

32. Ἐνν. αὐτοί πού προσέρχονται καί προσεύχονται.

ταραχοποιός ἄρχισε νά προσεύχεται γιά χάρη του καί νά λέει: «Ἐλέησε, Θεέ, αὐτόν τόν ταπεινό», χωρίς νά ξέρει ποιός εἶναι. Σέ λίγο ἐπανῆλθε καί ἔκανε τό ἴδιο. Γι' αὐτή του τήν ἐνέργεια δικαιώθηκε.


Αὐτό τό διηγοῦνταν ὁ Γέροντας γιά ἐκείνους πού ἐπισκέπτονται τούς Γέροντες καί τούς λένε: «Ὁ Θεός νά σᾶς φυλάξει, γιά χάρη ἡμῶν τῶν ἁμαρτωλῶν», ὥστε νά πληροφορηθοῦν[32] ὅτι ἔχουν νά πάρουν μισθό γι' αὐτή τους τήν πράξη.

61. Ἕνας Γέροντας εἶπε: «Μήν ἀπαιτεῖς ἀγάπη ἀπό τόν πλησίον, γιατί ἐκεῖνος πού ἀγαπᾶ κάποιον καί δέν βρίσκει ἀνταπόκριση ταράζεται. Καλύτερα, ἐσύ δεῖξε τήν ἀγάπη στόν πλησίον· ἔτσι κι ἐσύ νιώθεις ἀνάπαυση, ἀλλά μέ τόν τρόπο αὐτό ὁδηγεῖς σέ ἀγάπη καί τόν πλησίον».

62. Εἶπε πάλι: «Τό νά ὑστερεῖς στό θέμα τῆς ἀγάπης ἀπέναντι τῶν ἀδελφῶν προέρχεται ἀπό τό ὅτι δέχεσαι τούς λογισμούς πού ξεκινοῦν ἀπό ὑποψία καί ἐμπιστεύεσαι στά αἰσθήματά σου. Ἐπιπλέον καί ἀπό τό ὅτι δέν θέλεις νά παθαίνεις ἀντίθετα ἀπό ὅ,τι ἐπιθυμεῖς. Ἐκεῖνο λοιπόν πού σοῦ χρειάζεται εἶναι μέ τή βοήθεια τοῦ Θεοῦ, πρῶτα-πρῶτα νά μή δίνεις ἐμπιστοσύνη στίς ὑπόνοιές σου καί ὕστερα μέ ὅλη σου τήν προθυμία καί τή δύναμη νά ταπεινώνεσαι ἐνώπιον τῶν ἀδελφῶν, καί νά κόβεις γιά χάρη τους τό θέλημά σου».

63. Ἔλεγε ἐπίσης ὅτι ἡ ἀγάπη πού ἔχει ἀφετηρία τόν Θεό εἶναι πιό δυνατή καί ἀπό τήν ἀγάπη πού τήν ἔχει κανείς ἐκ φύσεως.


Τέλος τῆς πραγματείας γιά τήν ἀγάπη.




ΚΕΦΑΛΑΙΟ ΙΗ΄

Ἀδελφὸς ἀπελθὼν ἐν τῷ κελλίῳ
τοῦ ἀββᾶ Ἀρσενίου ἐν τῇ Σκήτει
προσέσχε διὰ τῆς θυρίδος.
Καὶ θεωρεῖ τὸν Γέροντα ὅλον ὡς πῦρ·
ἦν δὲ ἄξιος ὁ ἀδελφὸς τοῦ ἰδεῖν.

(Ἀπόφθ. 3)



Περὶ διορατικῶν




ῷ ἀββᾷ Ἀντωνίῳ ἀπεκαλύφθη ποτὲ ἐν τῇ ἐρήμῳ ὅτι· Ἐν τῇ πόλει ἔστι τις ὅμοιός σοι, ἰατρὸς τὴν ἐπιστήμην, τὴν περισσείαν αὐτοῦ παρέχων τοῖς χρείαν ἔχουσι καὶ πᾶσαν ἡμέραν τὸ τρισάγιον ψάλλων μετὰ τῶν ἀγγέλων τοῦ Θεοῦ.


2. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ἀντωνίου ὅτι γέγονε πνευματοφόρος, ἀλλ᾽ οὐκ ἤθελε λαλεῖν διὰ τοὺς ἀνθρώπους· καὶ γὰρ τὰ γινόμενα ἐν τῷ κόσμῳ καὶ τὰ μέλλοντα ἐλθεῖν ἐμήνυεν.

3. Ἀδελφὸς ἀπελθὼν ἐν τῷ κελλίῳ τοῦ ἀββᾶ Ἀρσενίου ἐν τῇ Σκήτει προσέσχε διὰ τῆς θυρίδος. Καὶ θεωρεῖ τὸν Γέροντα ὅλον ὡς πῦρ· ἦν δὲ ἄξιος ὁ ἀδελφὸς τοῦ ἰδεῖν. Καὶ ὡς ἔκρουσεν, ἐξῆλθεν ὁ Γέρων καὶ εἶδε τὸν ἀδελφὸν ἔκθαμβον καὶ λέγει αὐτῷ· Ἔχεις πολλὴν ὥραν κρούων; μὴ τί ποτε εἶδες; Ὁ δὲ ἔφη· Οὐχί. Καὶ λαλήσας αὐτῷ ἀπέλυσεν αὐτόν.

4. Εἶπεν ὁ ἀββᾶς Δανιὴλ ὅτι· Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Ἀρσένιος ὡς περὶ ἄλλου τινός, τάχα δὲ αὐτὸς ἦν, ὅτι καθεζο-



Περί διορατικῶν



ότε πού ἦταν στήν ἔρημο ὁ ἀββᾶς Ἀντώνιος* τοῦ ἀποκαλύφθηκε τό ἑξῆς: «Στήν πόλη ὑπάρχει ἕνας ὅμοιος μέ σένα, γιατρός στό ἐπάγγελμα. Αὐτός προσφέρει ὅσα τοῦ περισσεύουν ἀπό τά ἔσοδά του σ᾽ αὐτούς πού ἔχουν ἀνάγκη, καί κάθε μέρα ψάλλει τόν τρισάγιο ὕμνο μαζί μέ τούς ἀγγέλους τοῦ Θεοῦ».

2. Ἔλεγαν γιά τόν ἀββᾶ Ἀντώνιο ὅτι εἶχε γίνει πνευματέμφορος, ὅμως δέν ἤθελε νά τό δείχνει, γιά νά ἀποφεύγει τή δόξα τῶν ἀνθρώπων. Πράγματι, ἔφερνε στό φῶς ὅσα γίνονταν στόν κόσμο καί κεῖνα πού ἔμελλε νά ρθοῦν.

3. Ἕνας ἀδελφός πού πῆγε στή Σκήτη, στό κελί τοῦ ἀββᾶ Ἀρσενίου, πρόσεξε ἀπό τό παράθυρο. Βλέπει τόν Γέροντα ὁλόκληρο σάν φωτιά. Βέβαια ἦταν ἄξιος ὁ ἀδελφός νά τό δεῖ αὐτό.

Ὅταν χτύπησε τήν πόρτα, βγῆκε ἔξω ὁ Γέροντας καί βλέπει τόν ἀδελφό κατάπληκτο. Τόν ρωτάει: «Ἔχεις πολλή ὥρα πού χτυπᾶς τήν πόρτα; Μήν τυχόν εἶδες τίποτε;» «Ὄχι» ἀπάντησε. Ἔπειτα μίλησε μαζί του καί τόν ἄφησε νά φύγει.

4. Ὁ ἀββᾶς Δανιήλ* εἶπε: Μᾶς διηγήθηκε ὁ ἀββᾶς Ἀρσένιος* –τάχα γιά κάποιον ἄλλον, ἐνῶ ὁ ἴδιος ἦταν– τά ἑξῆς:

μένου τινὸς Γέροντος εἰς τὸ κελλίον αὐτοῦ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Δεῦρο, δείξω σοι τὰ ἔργα τῶν ἀνθρώπων. Καὶ ἀναστὰς ἐξῆλθε. Καὶ ἀπήγαγεν αὐτὸν εἰς τόπον τινὰ καὶ ἔδειξεν αὐτῷ Αἰθίοπα κόπτοντα ξύλα καὶ ποιήσαντα φορτίον μέγα· καὶ ἐπειρᾶτο βαστάσαι αὐτὸ καὶ οὐκ ἠδύνατο. Καὶ ἀντὶ τοῦ ἆραι ἐξ αὐτοῦ πάλιν ἔκοπτε ξύλα καὶ προσετίθει τῷ φορτίῳ. Τοῦτο δὲ ἐπὶ πολὺ ἐποίει.

Καὶ προβὰς ὀλίγον πάλιν ἔδειξεν αὐτῷ ἄνθρωπον ἐπὶ λάκκου ἱστάμενον καὶ ἀντλοῦντα ὕδωρ ἐξ αὐτοῦ καὶ μεταβάλλοντα εἰς δεξαμενὴν τετρημένην καὶ τὸ αὐτὸ ὕδωρ ἐκχέουσαν εἰς τὸν λάκκον. Καὶ λέγει αὐτῷ πάλιν· Δεῦρο, δείξω σοι ἄλλο. Καὶ θεωρεῖ ἱερὸν καὶ δύο ἄνδρας καθημένους ἵπποις καὶ βαστάζοντας ξύλον πλαγίως ἕνα κατέναντι τοῦ ἑνός. Ἤθελον δὲ διὰ τῆς πύλης εἰσελθεῖν καὶ οὐκ ἠδύναντο διὰ τὸ εἶναι τὸ ξύλον πλάγιον. Οὐκ ἐταπείνωσε δὲ ἑαυτὸν ὁ εἷς ὀπίσω τοῦ ἑτέρου ἐνέγκαι τὸ ξύλον ἐπ᾽ εὐθείας, καὶ διὰ τοῦτο ἔμειναν ἔξω τῆς πύλης.

Οὗτοί εἰσι, φησίν, οἱ βαστάζοντες ζυγὸν δικαιοσύνης μετὰ ὑπερηφανείας καὶ οὐκ ἐταπεινώθησαν τοῦ διορθώσασθαι ἑαυτοὺς καὶ πορευθῆναι τῇ ταπεινῇ ὁδῷ τοῦ Χριστοῦ· διὸ καὶ μένουσιν ἔξω τῆς Βασιλείας τοῦ Θεοῦ. Ὁ δὲ κόπτων τὰ ξύλα ἄνθρωπός ἐστιν ἐν ἁμαρτίαις πολλαῖς, καὶ ἀντὶ τοῦ μετανοῆσαι ἄλλας ἁμαρτίας προστίθησιν ἐπάνω τῶν ἁμαρτιῶν αὐτοῦ. Καὶ ὁ τὸ ὕδωρ ἀντλῶν ἄνθρωπός ἐστι καλὰ μὲν ἔργα ποιῶν· ἀλλ᾽ ἐπειδὴ εἶχεν ἐν αὐτοῖς πονηρὰν συμμιγήν, ἐν τούτῳ ἀπώλεσε καὶ τὰ καλὰ αὐτοῦ ἔργα. Χρὴ οὖν νήφειν πάντα ἄνθρωπον εἰς τὰ ἔργα αὐτοῦ, ἵνα μὴ εἰς κενὸν κοπιάσῃ.

1. Δηλαδή τό ξύλο τό κρατοῦσαν κάθετα πρός τήν πορεία τους καί δέν τούς ἔπαιρνε τό πλάτος τῆς πύλης.

Ἕνας Γέροντας καθώς καθόταν στό κελί του, ἄκουσε φωνή πού ἔλεγε: «Ἔλα· θά σοῦ δείξω τά ἔργα τῶν ἀνθρώπων». Σηκώθηκε καί βγῆκε. Τόν ἔφερε σέ κάποιο τόπο καί τοῦ ἔδειξε ἕναν Αἰθίοπα νά κόβει ξύλα καί νά κάνει ἀπ᾽ αὐτά ἕνα μεγάλο φορτίο, πού προσπαθοῦσε νά τό φορτωθεῖ, ἀλλά δέν μποροῦσε. Καί ἀντί νά ἀφαιρέσει ξύλα ἀπό αὐτό, ἔκοβε κι ἄλλα καί τά στοίβαζε στό φορτίο. Αὐτό τό ἔκαμνε γιά πολλή ὥρα.

Προχώρησε λίγο παρά πέρα. Τοῦ δείχνει ἕναν ἄνθρωπο νά στέκεται πάνω σέ λάκκο, νά βγάζει νερό ἀπ᾽ αὐτόν καί νά τό ρίχνει σέ μιά δεξαμενή πού ἦταν ὅλο τρύπες καί ἔπεφτε τό ἴδιο τό νερό πάλι στόν λάκκο.

Ξανά τοῦ λέει: «Ἔλα, θά σοῦ δείξω ἄλλο». Καί βλέπει ἕναν ναό καί δύο ἄνδρες καθισμένους σέ ἄλογα πού κρατοῦσαν οἱ δυό τους ἕνα ξύλο σέ πλάγια θέση ὁ ἕνας δίπλα στόν ἄλλο. Ἤθελαν νά περάσουν ἀπό τή θύρα, ἀλλά δέν μποροῦσαν, γιατί τό ξύλο ἦταν πλαγιαστό[1]. Καί δέν πῆρε τήν ταπεινή θέση ὁ ἕνας πίσω ἀπό τόν ἄλλο, ὥστε νά μεταφέρουν τό ξύλο κρατώντας το πρός τήν εὐθεία πού πήγαιναν, καί γι᾽ αὐτό ἔμειναν ἔξω ἀπό τήν πόρτα.

Αὐτοί εἶναι, ἐξήγησε, ἐκεῖνοι πού βαστοῦν τόν ζυγό τῆς δικαιοσύνης μέ ὑπερηφάνεια, καί δέν ταπεινώθηκαν νά διορθώσουν τούς ἑαυτούς τους καί νά βαδίσουν τήν ταπεινή ὁδό τοῦ Χριστοῦ. Γι᾽ αὐτό καί μένουν ἔξω ἀπό τή Βασιλεία τοῦ Θεοῦ. Ἐκεῖνος πού κόβει τά ξύλα, εἶναι ὁ ἄνθρωπος ὁ πεσμένος σέ πολλές ἁμαρτίες καί ἀντί νά μετανοήσει, βάζει κι ἄλλες πάνω στίς ἁμαρτίες του. Τέλος, ἐκεῖνος πού τραβᾶ τό νερό εἶναι ὁ ἄνθρωπος πού, ναί μέν κάνει καλά ἔργα, ἀλλά ἐπειδή σ᾽ αὐτά εἶχε ἀναμείξει ὄχι καλό σκοπό, ἔχασε ἐξαιτίας αὐτοῦ καί τά καλά του ἔργα.

Κάθε ἄνθρωπος λοιπόν πρέπει νά εἶναι προσεκτικός στά ἔργα του, γιά νά μήν κοπιάσει ἄδικα.

5. Ἀδελφοῖς συνέβη θλῖψις ἐν τῷ τόπῳ αὐτῶν, καὶ θέλοντες καταλιπεῖν αὐτὸν ἦλθον πρὸς τὸν ἀββᾶν Ἀμμωνᾶν. Καὶ ἰδοὺ Γέρων κατέπλεεν καὶ ἰδὼν αὐτοὺς παρὰ τὴν ὄχθην ὁδεύοντας τοῦ ποταμοῦ εἶπε τοῖς ναύταις· Βάλετέ με εἰς τὴν γῆν. Καὶ καλέσας τοὺς ἀδελφοὺς εἶπεν αὐτοῖς· Ἐγώ εἰμι Ἀμμωνᾶς πρὸς ὃν θέλετε ἐλθεῖν. Καὶ παρακαλέσας αὐτῶν τὰς καρδίας ἐποίησεν αὐτοὺς ὑποστρέψαι, ὅθεν ἐξῆλθον· οὐ γὰρ εἶχε τὸ πρᾶγμα ζημίαν ψυχῆς ἀλλὰ θλῖψιν ἀνθρωπίνην.

6. Διηγήσατο ὁ πατὴρ ἡμῶν Δανιὴλ περὶ τοῦ μακαρίου Ἀρσενίου λέγων ὅτι ἔλεγε περί τινος σκητιώτου ὅτι ἦν πρακτικὸς μέγας, ἀφελὴς εἰς τὴν πίστιν καὶ ἐσφάλλετο διὰ ἰδιωτείαν καὶ ἔλεγεν ὅτι· Οὐκ ἔστι φύσει ὁ ἄρτος ὃν λαμβάνομεν σῶμα Χριστοῦ ἀλλ᾽ ἀντίτυπον. Καὶ ἤκουσαν δύο Γέροντες ὅτι λέγει τὸν λόγον τοῦτον καὶ γινώσκοντες μέγαν αὐτὸν ὄντα τῷ βίῳ ἐλογίσαντο ὅτι ἐν ἀκακίᾳ καὶ ἀφελότητι λέγει. Καὶ ἦλθον πρὸς αὐτὸν λέγοντες αὐτῷ· Ἀββᾶ, λόγον ἠκούσαμεν περί τινος ἄπιστον, ὅτι λέγει ὅτι ὁ ἄρτος ὃν λαμβάνομεν οὐκ ἔστι φύσει σῶμα Χριστοῦ, ἀλλ᾽ ἀντίτυπόν ἐστι.

Λέγει ὁ Γέρων ὅτι· Ἐγώ εἰμι ὁ τοῦτο λέγων. Οἱ δὲ παρεκάλουν αὐτὸν λέγοντες· Μὴ οὕτω κρατήσῃς, ἀββᾶ, ἀλλ᾽ ὡς παρέδωκεν ἡ καθολικὴ Ἐκκλησία. Ἡμεῖς γὰρ πιστεύομεν ὅτι αὐτὸς ὁ ἄρτος σῶμά ἐστι τοῦ Χριστοῦ, καὶ τὸ ποτήριον, αὐτό ἐστι τὸ αἷμα τοῦ Χριστοῦ κατὰ ἀλήθειαν καὶ οὐκ ἀντί-

2. Ὁ πρακτικός βίος ἤ πρᾶξις, ὅπως χαρακτηρίζεται ἀπό τούς Πατέρες, σημαίνει τόν πολυμέτωπο πνευματικό ἀγώνα καί τήν ἄσκηση γιά τήν κάθαρση τῆς ψυχῆς μέ βάση τήν τήρηση τῶν ἐντολῶν. Βλ. Μ. Γερ. τ. Γ΄, σελ. 161-163, ὑποσημ. 115.

5. Κάποιους ἀδελφούς, χωρίς νά τό περιμένουν, τούς βρῆκε μιά θλίψη στόν τόπο ὅπου ἔμεναν καί, ἐπειδή ἤθελαν νά τόν ἐγκαταλείψουν, ξεκίνησαν γιά τόν ἀββᾶ Ἀμμωνᾶ*. Ὁ Γέροντας, νά, ἔπλεε στό ποτάμι. Τούς εἶδε νά βαδίζουν δίπλα στήν ὄχθη τοῦ ποταμοῦ καί λέει στούς ναῦτες: «Νά μέ ἀποβιβάσετε στήν ξηρά».

Ἐκεῖ φώναξε τούς ἀδελφούς καί τούς εἶπε: «Ἐγώ εἶμαι ὁ Ἀμμωνᾶς στόν ὁποῖο θέλετε νά πᾶτε». Ἐνίσχυσε τίς καρδιές τους καί τούς ἔπεισε νά ἐπιστρέψουν ἐκεῖ ἀπό ὅπου εἶχαν ἔρθει, γιατί τό πρόβλημά τους δέν εἶχε ζημία γιά τήν ψυχή· ἦταν θλίψη ἀνθρώπινη.

6. Ὁ πατέρας μας Δανιήλ διηγήθηκε ὅτι ὁ μακάριος Ἀρσένιος ἔλεγε τά ἑξῆς:

Ἕνας σκητιώτης, μέ μεγάλη ἐπίδοση στήν πρακτική χριστιανική ζωή[2], ἁπλοϊκός στήν πίστη ἔπεφτε σέ σφάλματα λόγω τῆς ἀγραμματοσύνης του. Ἔλεγε: «Ὁ ἄρτος πού παίρνουμε μέ τή Θεία Κοινωνία δέν εἶναι ἀληθινά σῶμα Χριστοῦ, ἀλλά ὁμοίωμα».

Δύο Γέροντες ἄκουσαν ὅτι λέει αὐτά τά λόγια καί ἐπειδή ἀπό τόν τρόπο τῆς ζωῆς του γνώριζαν ὅτι αὐτός ἦταν μεγάλος, σκέφτηκαν ὅτι ἀπό ἀκακία καί ἀφελότητα μιλάει ἔτσι. Ἦρθαν λοιπόν καί τοῦ λένε: «Ἀββᾶ, ἀκούσαμε γιά κάποιον ὅτι λέει λόγο ἀντίθετο πρός τήν πίστη μας, ὅτι δηλαδή ὁ ἄρτος πού κοινωνοῦμε δέν εἶναι στήν πραγματικότητα σῶμα Χριστοῦ ἀλλά ὁμοίωμα».

Λέει ὁ Γέροντας: «Ἐγώ εἶμαι αὐτός πού τό λέει». Ἐκεῖνοι τόν παρακαλοῦσαν καί τοῦ ἔλεγαν: «Μήν κρατήσεις, ἀββᾶ, αὐτή τήν ἄποψη, ἀλλά, ὅπως παρέδωσε ἡ καθολική Ἐκκλησία, νά πιστεύεις. Ἐμεῖς δηλαδή πιστεύουμε ὅτι αὐτός ὁ ἄρτος εἶναι σῶμα τοῦ Χριστοῦ, καί τό ποτήριον ἀληθινά εἶναι τό ἴδιο τό αἷμα τοῦ Χριστοῦ καί ὄχι ὁμοίω-

τυπον. Ἀλλ' ὥσπερ ἐν ἀρχῇ χοῦν λαβὼν ἀπὸ τῆς γῆς ἔπλασεν ἄνθρωπον κατ' εἰκόνα αὐτοῦ, καὶ οὐδεὶς δύναται εἰπεῖν ὅτι οὐκ ἔστι Θεοῦ εἰκών, εἰ καὶ ἀκατάληπτος, οὕτω καὶ ὁ ἄρτος ὃν εἶπε σῶμά μού ἐστι, πιστεύομεν ὅτι κατὰ ἀλήθειαν σῶμά ἐστι τοῦ Χριστοῦ.

Ὁ δὲ Γέρων ἔφη· Ἐὰν μὴ πεισθῶ ἀπὸ πράγματος, οὐ πληροφοροῦμαι. Οἱ δὲ εἶπον πρὸς αὐτόν· Δεηθῶμεν τοῦ Θεοῦ τὴν ἑβδομάδα ταύτην περὶ τοῦ μυστηρίου τούτου καὶ πιστεύομεν ὅτι ὁ Θεὸς ἀποκαλύπτει ἡμῖν. Ὁ δὲ Γέρων μετὰ χαρᾶς ἐδέξατο τὸν λόγον καὶ ἐδέετο τοῦ Θεοῦ λέγων· Κύριε, σὺ γινώσκεις ὅτι οὐ κατὰ κακίαν ἀπιστῶ, ἀλλ' ὅπως μὴ ἐν ἀγνωσίᾳ πλανηθῶ. Ἀποκάλυψόν μοι, Κύριε Ἰησοῦ Χριστέ.

Ἀπελθόντες δὲ οἱ Γέροντες εἰς τὰ κελλία ἑαυτῶν παρεκάλουν τὸν Θεὸν καὶ αὐτοὶ λέγοντες· Κύριε Ἰησοῦ Χριστέ, ἀποκάλυψον τῷ Γέροντι τὸ μυστήριον τοῦτο, ἵνα πιστεύσῃ καὶ μὴ ἀπολέσῃ τὸν κόπον αὐτοῦ. Καὶ εἰσήκουσεν ὁ Θεὸς ἀμφοτέρων.

Καὶ πληρωθείσης τῆς ἑβδομάδος ἦλθον τῇ Κυριακῇ εἰς τὴν Ἐκκλησίαν. Καὶ ἐκάθισαν οἱ τρεῖς μόνοι εἰς ἓν ἐμβρίμιον, μέσος δὲ ἦν ὁ Γέρων. Ἀνεῴχθησαν δὲ αὐτῶν οἱ ὀφθαλμοὶ καί, ὅτε ἐτέθη ὁ ἄρτος εἰς τὴν ἁγίαν Τράπεζαν, ἐφαίνετο τοῖς τρισὶ μόνοις ὡς παιδίον. Καὶ ὡς ἐξέτεινεν ὁ πρεσβύτερος τὰς χεῖρας αὐτοῦ κλάσαι τὸν ἄρτον, ἰδοὺ ἄγγελος Κυρίου κατῆλθεν ἐξ οὐρανοῦ ἔχων μάχαιραν καὶ ἔθυσε τὸ παιδίον καὶ ἐκένωσε τὸ αἷμα αὐτοῦ εἰς τὸ ποτήριον. Ὡς δὲ ἔκλασεν ὁ πρεσβύτερος εἰς μικρὰ μέρη τὸν ἄρτον, καὶ ὁ ἄγγελος ἔκοπτεν ἐκ τοῦ παιδίου μικρὰ μέρη.

Καὶ ὡς προσῆλθον λαβεῖν ἐκ τῶν ἁγίων μυστηρίων, ἐδόθη τῷ Γέροντι μόνῳ κρέας αἱματῶδες. Καὶ ἰδὼν ἐφοβήθη καὶ

3. Γεν. 2, 7.

4. Γεν. 1, 26-27.

μα. Ὅπως ὁ Θεός ἀπό τήν πρώτη ἀρχή πῆρε χῶμα[3] ἀπό τή γῆ καί ἔπλασε τόν ἄνθρωπο κατ' εἰκόνα Του[4], καί κανείς δέν μπορεῖ νά πεῖ ὅτι δέν εἶναι εἰκόνα τοῦ Θεοῦ, ἄν καί ἀκατανόητη, ἔτσι καί ὁ ἄρτος –γιά τόν ὁποῖον εἶπε: σῶμα μου εἶναι– πιστεύουμε ὅτι ἀληθινά εἶναι σῶμα Χριστοῦ».

Ὁ Γέροντας εἶπε: «Ἄν δέν πεισθῶ μέ ἀποδείξεις, δέν βεβαιώνομαι». Τοῦ εἶπαν: «Ἄς κάνουμε προσευχή στόν Θεό αὐτήν τήν ἑβδομάδα γι' αὐτό τό μυστήριο τῆς πίστεώς μας, καί ἔχουμε πεποίθηση ὅτι ὁ Θεός θά μᾶς φανερώσει τήν ἀλήθεια». Ὁ Γέροντας μέ χαρά δέχτηκε αὐτή τήν πρόταση καί προσευχόταν στόν Θεό μέ τά λόγια: «Κύριε, ἐσύ γνωρίζεις ὅτι δέν ἀπιστῶ κινούμενος ἀπό κακία, ἀλλά γιά νά μήν πλανηθῶ ἀπό ἄγνοια. Φανέρωσέ μου τήν ἀλήθεια, Κύριε Ἰησοῦ Χριστέ».

Οἱ Γέροντες γύρισαν στά κελιά τους καί παρακαλοῦσαν καί αὐτοί τόν Θεό μέ τήν προσευχή: «Κύριε Ἰησοῦ Χριστέ, φανέρωσε στόν Γέροντα αὐτό τό μυστήριο, γιά νά πιστέψει καί νά μή χάσει τόν κόπο του». Καί ὁ Θεός ἄκουσε καί τούς δύο.

Ὅταν συμπληρώθηκε ἡ ἑβδομάδα, ἦρθαν στήν ἐκκλησία τήν Κυριακή. Κάθισαν μόνοι οἱ τρεῖς σέ ἕνα μιντέρι· στή μέση ἦταν ὁ Γέροντας. Ἀνοίχτηκαν ἀπό τή θεία Χάρη τά μάτια τους καί ὅταν τοποθετήθηκε ὁ ἄρτος στήν ἁγία Τράπεζα, φάνηκε –στούς τρεῖς μόνο– σάν ἕνα μικρό παιδί. Μόλις ὁ ἱερέας ἅπλωσε τά χέρια του νά τεμαχίσει σέ κομμάτια τόν ἄρτο, νά, ἄγγελος Κυρίου κατέβηκε ἀπό τόν οὐρανό κρατώντας μαχαίρι· θυσίασε τό παιδί καί ἄδειασε τό αἷμα του στό ποτήριο. Μόλις ὁ ἱερέας ἔκοψε σέ μικρά μέρη τόν ἄρτο, καί ὁ ἄγγελος ἔκοβε ἀπό τό σῶμα τοῦ παιδιοῦ μικρά μέρη.

Ὅταν προχώρησαν νά λάβουν ἀπό τά ἅγια μυστήρια, δόθηκε –μόνο στόν Γέροντα– κρέας ματωμένο. Ἐκεῖνος

ἔκραξε λέγων· Πιστεύω, Κύριε, ὅτι ὁ ἄρτος σῶμά σου καὶ τὸ ποτήριον αἷμά σού ἐστι. Καὶ εὐθέως ἐγένετο τὸ κρέας τὸ ἐν τῇ χειρὶ αὐτοῦ ἄρτος κατὰ τὸ μυστήριον. Καὶ μετέλαβεν εὐχαριστῶν τῷ Θεῷ.

Καὶ λέγουσιν αὐτῷ οἱ Γέροντες· Ὁ Θεὸς οἶδε τὴν ἀνθρωπίνην φύσιν, ὅτι οὐ δύναται φαγεῖν κρέα ὠμά, καὶ διὰ τοῦτο μετεποίησε τὸ σῶμα αὐτοῦ εἰς ἄρτον καὶ τὸ αἷμα αὐτοῦ εἰς οἶνον τοῖς πίστει δεχομένοις. Καὶ εὐχαρίστησαν τῷ Θεῷ περὶ τοῦ Γέροντος, ὅτι οὐκ ἀφῆκεν ἀπολέσθαι τοὺς κόπους αὐτοῦ. Καὶ ἀπῆλθον οἱ τρεῖς μετὰ χαρᾶς εἰς τὰ κελλία αὐτῶν.

7. Ὁ αὐτὸς ἀββᾶς Δανιὴλ διηγήσατο περὶ ἄλλου Γέροντος μεγάλου, καθημένου εἰς τὰ κάτω μέρη τῆς Αἰγύπτου, ὅτι ἔλεγεν ἐν ἀφελότητι ὅτι Μελχισεδὲκ αὐτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ· καὶ ἀνηγγέλη τῷ μακαρίῳ Κυρίλλῳ τῷ ἀρχιεπισκόπῳ Ἀλεξανδρείας περὶ αὐτοῦ, καὶ ἔπεμψε πρὸς αὐτόν.

Εἰδὼς δὲ ὅτι σημειοφόρος ἐστὶν ὁ Γέρων καί, εἴ τι ἂν αἰτεῖται τὸν Θεόν, ἀποκαλύπτει αὐτῷ, καὶ ὅτι ἐν ἀφελότητι λέγει τὸν λόγον, ἐχρήσατο τοιαύτῃ σοφίᾳ λέγων· Ἀββᾶ, παρακαλῶ σε, ἐπειδὴ ὁ λογισμός μου λέγει ὅτι ὁ Μελχισεδὲκ υἱός ἐστι τοῦ Θεοῦ, καὶ ἄλλος λογισμὸς λέγει ὅτι οὔ, ἀλλ' ἄνθρωπός ἐστιν ἀρχιερεὺς τοῦ Θεοῦ, ἐπεὶ οὖν διστάζω περὶ τούτου, ἀπέστειλα πρός σε, ἵνα δεηθῇς τοῦ Θεοῦ ὅπως σοι ἀποκαλύψῃ περὶ τούτου. Ὁ δὲ Γέρων τῇ αὐτοῦ πολιτείᾳ θαρρῶν εἶπε μετὰ παρρησίας· Ἔνδος μοι τρεῖς ἡμέρας, κἀ-

5. Σύμφωνα μέ τήν ἀρχαία τάξη τῆς Ἐκκλησίας, οἱ πιστοί μετελάμβαναν χωριστά τό "σῶμα καί τό αἷμα" τοῦ Κυρίου. Προσέρχονταν στήν Ὡραία Πύλη ἔχοντας τίς δυό παλάμες τῶν χεριῶν σταυρωτά –τήν μία πάνω στήν ἄλλη– ὅπου ὁ λειτουργός ἔθετε τεμάχιο τοῦ Ἁγίου σώματος, καί ὁ πιστός ἔλεγε "Ἀμήν" καί τό ἔπαιρνε στό στόμα. Κατόπιν ἀκολουθοῦσε ἡ μετάληψη τοῦ Τιμίου αἵματος.

6. Βλ. καί ἀπόφθ. 59, σελ. 393.

ὅταν τό εἶδε, φοβήθηκε καί φώναξε: «Πιστεύω, Κύριε, ὅτι ὁ ἄρτος εἶναι σῶμα σου καί τό ποτήριο αἷμα σου». Ἀμέσως τό κρέας πού ἦταν στό χέρι του[5] ἔγινε ἄρτος, σύμφωνα μέ τό μυστήριο. Ἔπειτα μετάλαβε, εὐχαριστώντας τόν Θεό.

Τοῦ λένε οἱ Γέροντες: «Ὁ Θεός ξέρει ὅτι ἡ ἀνθρώπινη φύση δέν μπορεῖ νά γευθεῖ ὠμό κρέας. Γι' αὐτό μετέβαλε τό σῶμα του σέ ἄρτο καί τό αἷμα του σέ οἶνο γι' αὐτούς πού τά δέχονται μέ πίστη». Ἔπειτα εὐχαρίστησαν τόν Θεό γιά τόν Γέροντα, γιατί δέν ἐπέτρεψε νά χαθοῦν οἱ κόποι του, καί ἔφυγαν χαρούμενοι οἱ τρεῖς τους γιά τά κελιά τους.[6]

7. Ὁ ἴδιος ὁ ἀββᾶς Δανιήλ διηγήθηκε γιά ἄλλον μεγάλο Γέροντα, πού ἀσκήτευε στά κάτω μέρη τῆς Αἰγύπτου, ὅτι μέ ἁπλοϊκότητα ἔλεγε ὅτι ὁ Μελχισεδέκ[7] εἶναι ὁ ἴδιος ὁ υἱός τοῦ Θεοῦ. Τό πράγμα ἔγινε γνωστό στόν μακάριο Κύριλλο*, ἀρχιεπίσκοπο τῆς Ἀλεξανδρείας, ὁ ὁποῖος ἔστειλε εἴδηση σ' αὐτόν.

Ἐπειδή ἤξερε βέβαια ὅτι ὁ Γέροντας εἶναι σημειοφόρος[8] καί ὅτι, ἄν κάτι ζητήσει ἀπό τόν Θεό, τοῦ τό φανερώνει καί ὅτι ἀπό ἁπλοϊκότητα λέει αὐτόν τόν λόγο, βρῆκε τόν ἑξῆς σοφό τρόπο: Τοῦ εἶπε: «Ἀββᾶ, σέ παρακαλῶ, ἐπειδή ὁ λογισμός μου λέει ὅτι ὁ Μελχισεδέκ εἶναι υἱός τοῦ Θεοῦ, ἐνῶ ἄλλος λογισμός λέει ὄχι· εἶναι ἄνθρωπος ἀρχιερέας τοῦ Θεοῦ, κι ἐπειδή ἔχω ἀμφιβολία πάνω σ' αὐτό τό θέμα, ἔστειλα σέ σένα ἄνθρωπό μου νά σοῦ πεῖ νά προσευχηθεῖς στόν Θεό γιά νά σοῦ ἀποκαλύψει τήν ἀλήθεια πάνω σ' αὐτό». Ὁ Γέροντας ἔχοντας ἐμπιστοσύνη στόν τρόπο τῆς ζωῆς του, εἶπε μέ θάρρος: «Δός μου προθεσμία τρεῖς μέρες, κι ἐγώ θά

7. Μελχισεδέκ: Βλ. Γεν. 14, 18-20 καί Ἑβρ. κεφ. 7.

8. Σημειοφόροι ἐκαλοῦντο χαρισματοῦχοι Γέροντες, πού ἐπιτελοῦσαν σημεῖα, δηλαδή ὑπερφυσικά, θαυμαστά γεγονότα.

γὼ ἐρωτῶ τὸν Θεὸν περὶ τούτου καὶ ἀναγγελῶ σοι τίς ἐστιν.

Ἀπελθὼν οὖν ἐδέετο τοῦ Θεοῦ περὶ τοῦ ῥήματος τούτου. Καὶ ἐλθὼν μετὰ τρεῖς ἡμέρας λέγει τῷ μακαρίῳ Κυρίλλῳ τῷ ἀρχιεπισκόπῳ ὅτι ἄνθρωπός ἐστιν ὁ Μελχισεδέκ. Καὶ εἶπεν αὐτῷ ὁ ἀρχιεπίσκοπος· Πῶς οἶδας, ἀββᾶ; Ὁ δὲ εἶπεν· Ὁ Θεὸς ἀπεκάλυψέ μοι ὅλους τοὺς πατριάρχας οὕτως ἕνα ἕκαστον παρερχόμενον ἐνώπιόν μου ἀπὸ Ἀδὰμ μέχρι Μελχισεδέκ. Καὶ λέγει μοι ὁ ἄγγελος· Οὗτός ἐστιν ὁ Μελχισεδέκ, καὶ θάρσει ὅτι οὗτός ἐστιν.

Ἀπελθὼν οὖν δι' ἑαυτοῦ ἐκήρυσσεν ὅτι ἄνθρωπός ἐστιν ὁ Μελχισεδέκ. Καὶ ἐχάρη μεγάλως ὁ μακάριος Κύριλλος.

8. Διηγήσατο ὁ ἅγιος Ἐπιφάνιος ὁ ἐπίσκοπος Κύπρου ὅτι ἐπὶ τοῦ μακαρίου Ἀθανασίου τοῦ μεγάλου κορῶναι περιϊπτάμεναι τὸ τοῦ Σαράπιδος ἱερὸν ἔκραζον ἀπαύστως κρᾶς-κρᾶς. Καὶ προστάντες ἐπὶ τὸν μακάριον Ἀθανάσιον οἱ Ἕλληνες ἔκραξαν· Κακόγηρε, εἰπὲ ἡμῖν τί κράζουσιν αἱ κορῶναι. Καὶ ἀποκριθεὶς εἶπεν· Αἱ κορῶναι κράζουσι κρᾶς-κρᾶς. Τὸ δὲ κρᾶς τῇ Αὐσονίων φωνῇ: Αὔριον ὄψεσθε τὴν δόξαν τοῦ Θεοῦ.

Καὶ τῇ ἑξῆς ἠγγέλθη ὁ θάνατος Ἰουλιανοῦ τοῦ βασιλέως. Καὶ τούτου γενομένου συνδραμόντες κατέκραζον τοῦ Σαράπιδος λέγοντες· Ἐὰν οὐκ ἤθελες αὐτόν, τί ἐλάμβανες τὰ αὐτοῦ;

9. Κουρούνα (κορώνη): ἀνήκει στήν οἰκογένεια τῶν κοράκων, εἶναι μικρότερη σέ μέγεθος καί ἔχει μαῦρο γυαλιστερό φτέρωμα.

10. Ναός τοῦ Σαράπιδος: Βλ. Μ. Γερ. τ. Β΄, σελ. 92-93, ὑποσημ. 65.

11. Αὔσονες: Ἐξελληνισμένη μορφή τῆς ὀνομασίας Αὐρούγκι (λατ.

ρωτήσω τόν Θεό γιά τό ζήτημα αὐτό καί θά σοῦ ἀνακοινώσω ποιός εἶναι».

Πῆγε λοιπόν καί προσευχόταν στόν Θεό γι' αὐτό τό θέμα. Ὕστερα ἀπό τρεῖς μέρες ἦρθε καί λέει στόν μακάριο Κύριλλο, τόν ἀρχιεπίσκοπο, ὅτι ὁ Μελχισεδέκ εἶναι ἄνθρωπος. Τόν ρώτησε ὁ ἀρχιεπίσκοπος: «Πῶς τό διαπίστωσες, ἀββᾶ;» Ἀπάντησε: «Ὁ Θεός μοῦ ἔδειξε ὅλους τούς πατριάρχες· νά περνάει ἕνας ἕνας μπροστά μου, ἀπό τόν Ἀδάμ μέχρι τόν Μελχισεδέκ. Καί ὁ ἄγγελος μοῦ εἶπε: Αὐτός εἶναι ὁ Μελχισεδέκ· νά εἶσαι βέβαιος ὅτι αὐτός εἶναι».

Ἔφυγε λοιπόν ὁ ἀββᾶς καί ἀπό μόνος του κήρυττε ὅτι ὁ Μελχισεδέκ εἶναι ἄνθρωπος. Καί χάρηκε πολύ ὁ μακάριος Κύριλλος.

8. Ὁ ἅγιος Ἐπιφάνιος, ὁ ἐπίσκοπος Κύπρου*, διηγήθηκε ὅτι στά χρόνια τοῦ μακάριου Ἀθανασίου τοῦ μεγάλου* πετοῦσαν κουροῦνες[9] γύρω ἀπό τό ἱερό τοῦ Σάραπη[10] καί κραύγαζαν ἀκατάπαυστα: κράς-κράς. Οἱ εἰδωλολάτρες πλησίασαν τόν μακάριο Ἀθανάσιο καί εἶπαν μέ δυνατή φωνή: «Κακόγερε, πές μας τί λένε οἱ κουροῦνες μέ τίς κραυγές τους;» «Οἱ κουροῦνες –ἀποκρίθηκε– κράζουν κράς-κράς, καί τό κράς στή γλώσσα τῶν Αὐσόνων[11] σημαίνει: Αὔριο θά δεῖτε τή δόξα τοῦ Θεοῦ».

Τήν ἄλλη μέρα ἀνακοινώθηκε ὁ θάνατος τοῦ βασιλιᾶ Ἰουλιανοῦ. Ὅταν ἔγινε αὐτό, ὅλοι μαζί ἔτρεξαν καί κραύγαζαν ἐνάντια στόν Σάραπη: «Ἀφοῦ δέν τόν ἤθελες αὐτόν, γιατί ἔπαιρνες αὐτά πού σοῦ ἔστελνε;»

Aurunci). Ἦσαν αὐτόχθονες κάτοικοι τῆς Ἰταλικῆς χερσονήσου, πού κατακτήθηκαν ἀπό τούς Ρωμαίους τό 314 π.Χ. Ἔκτοτε ἀφομοιώθηκαν μέ τούς Ρωμαίους. Ἐδῶ ἡ ἔκφραση "Αὐσονίων γλώσσα" εἶναι συνώνυμη μέ τή Λατινική, διότι κράς (cras) στά λατινικά σημαίνει αὔριο καί μετων. τό μέλλον.

9. Ὁ αὐτὸς διηγήσατο ὅτι ἦν τις ἡνίοχος κατὰ τὴν Ἀλεξάνδρειαν, ὃς ἦν μητρὸς Μαρίας υἱός. Οὗτος ἱππικοῦ ἐπιτελουμένου κατέπεσεν, εἶτα ἀναστὰς παρῆλθε τὸν καταβεβληκότα καὶ ἐνίκησε. Καὶ τὸ πλῆθος ἀνεβόησεν· Ὁ υἱὸς Μαρίας πέπτωκε καὶ ἐγήγερται καὶ ἐνίκησε. Ταύτης ἔτι τῆς φωνῆς λεγομένης ἐνέπεσεν ἡ περὶ τοῦ ἱεροῦ τοῦ Σαράπιδος φήμη τῷ πλήθει ὅτι ὁ μέγας Θεόφιλος ἀνελθὼν τὸ τοῦ Σαράπιδος κατέστρεψεν εἴδωλον καὶ τοῦ ναοῦ γέγονεν ἐγκρατής.

10. Παιδίον ἦν ὁ ἀββᾶς Ἐφραὶμ καὶ εἶδεν ὄναρ, ἤγουν ὀπτασίαν, ὅτι ἀνῆλθεν ἄμπελος ἐν τῇ γλώσσῃ αὐτοῦ καὶ ηὔξησε καὶ ἐπλήρωσε πᾶσαν τὴν ὑπ᾽ οὐρανὸν καὶ ἦν εὔκαρπος πάνυ· καὶ ἤρχοντο πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἤσθιον ἐκ τοῦ καρποῦ τῆς ἀμπέλου. Καὶ πρὸς ὃ ἤσθιον, ἐπλεόναζεν ὁ καρπὸς αὐτῆς.

11. Ἄλλοτε πάλιν εἶδέ τις τῶν ἁγίων ἐν ὁράματι ἀγγέλων τάγμα ἐκ τοῦ οὐρανοῦ κατερχόμενον κατὰ πρόσταξιν Θεοῦ ἔχον ἐπὶ χεῖρας κεφαλίδα, τουτέστι τόμον γεγραμμένον ἔσωθεν καὶ ἔξωθεν, καὶ ἔλεγον πρὸς ἀλλήλους· Τίς ὀφείλει τοῦτο ἐγχειρισθῆναι; Καὶ οἱ μὲν ἔλεγον· Ὅδε. Οἱ δὲ ἔλεγον ἕτερον. Ἀπεκρίθησαν δὲ καὶ εἶπον· Ἀληθῶς ἅγιοί εἰσι καὶ δίκαιοι, πλὴν τοῦτο οὐδεὶς δύναται ἐγχειρισθῆναι, εἰ μὴ Ἐφραίμ. Καὶ ὁρᾷ ὁ Γέρων ὅτι τῷ Ἐφραὶμ ἐπέδωκαν τὴν κεφαλίδα.

12. Τό διορατικό χάρισμα τῶν Πατέρων στά ἀποφθ. 8 καί 9 ἔχει σχέση προφανῶς μέ τήν νίκη τοῦ Χριστιανισμοῦ κατά τῆς εἰδωλολατρίας. Ἰσχυρό πλῆγμα στήν εἰδωλολατρία ἐπέφερε ὁ θάνατος τοῦ Ἰουλιανοῦ τοῦ Παραβάτη, ὁ ὁποῖος μετήρχετο ποικίλους τρόπους καί μεθόδους γιά νά ἀναζωογονήσει καί νά στηρίξει τήν ἐκπνέουσα εἰδωλολατρία· ἐπίσης καί τό ὅτι γκρεμίσθηκε τό εἴδωλο τοῦ Σάραπη καί κατελήφθη τό περίφημο Σεραπεῖον, ἀφιερωμένο στόν Θεό Σέραπη (ἤ Σάραπη), ὑποδηλοῖ τήν ἀρχομένη κατάρρευση τῆς ἀπό αἰώνων εἰδωλολατρίας.

9. Ὁ ἴδιος διηγήθηκε ὅτι στήν Ἀλεξάνδρεια ἦταν ἕνας ἁρματηλάτης, γιός μητέρας μέ ὄνομα Μαρία. Αὐτός σέ ἀγώνα ἱππικό ἔπεσε ἀπό τό ἄλογο. Ἔπειτα σηκώθηκε, προσπέρασε αὐτόν πού τόν εἶχε ρίξει καί νίκησε. Τό πλῆθος μεγαλόφωνα φώναζε: «Ὁ γιός τῆς Μαρίας ἔπεσε, σηκώθηκε καί νίκησε». Ἐνῶ ἀκόμη ἀκουγόταν ἡ φωνή αὐτή, ἁπλώθηκε στό πλῆθος ἡ εἴδηση, ὅτι ὁ μέγας Θεόφιλος ἀνέβηκε καί κατέστρεψε τό εἴδωλο τοῦ Σάραπη καί ὅτι ἔγινε κύριος τοῦ ναοῦ[12].

10. Ὁ ἀββᾶς Ἐφραίμ ὅταν ἦταν παιδί, εἶδε ὄνειρο, δηλαδή ὅραμα, ὅτι στή γλώσσα του φύτρωσε κληματαριά καί μεγάλωσε καί γέμισε ὅλη τή γῆ κάτω ἀπό τόν οὐρανό καί ἦταν φορτωμένη καρπό. Ὅλα τά πουλιά ἔρχονταν καί ἔτρωγαν ἀπό τά σταφύλια τῆς κληματαριᾶς, κι ὅσο ἔτρωγαν τόσο περισσότερος γινόταν ὁ καρπός ἐκεῖνος.

11. Ἄλλοτε πάλι ἕνας ἀπό τούς ἁγίους εἶδε σέ ὅραμα ἕνα τάγμα ἀγγέλων νά κατεβαίνει ἀπό τόν οὐρανό, ὕστερα ἀπό προσταγή τοῦ Θεοῦ. Κρατοῦσαν στά χέρια εἱλητάριο, δηλαδή ἕναν κύλινδρο γραμμένο ἀπό μέσα καί ἀπό ἔξω καί ἔλεγαν μεταξύ τους: «Ποιός εἶναι ἄξιος νά τοῦ παραδοθεῖ αὐτό;» Ἄλλοι ἔλεγαν αὐτός ἐδῶ, ἄλλοι κάποιον ἄλλον, ὥσπου εἶπαν: «Στ᾽ ἀλήθεια, εἶναι ἅγιοι καί δίκαιοι, ὅμως αὐτό κανείς δέν μπορεῖ νά τό δεχθεῖ στά χέρια του παρά ὁ Ἐφραίμ». Καί βλέπει ὁ Γέροντας ὅτι στόν Ἐφραίμ ἔδωσαν τό βιβλίο.

Καὶ ἀναστὰς πρωὶ ἤκουσε τοῦ Ἐφραὶμ διδάσκοντος, καὶ ὥσπερ πηγὴ ἦν βρύουσα ἐκ τοῦ στόματος αὐτοῦ, καὶ συντάσσοντος. Καὶ ἔγνω ὅτι ἐκ Πνεύματος Ἁγίου ἐστὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων Ἐφραίμ.

12. Διηγήσαντο ἡμῖν οἱ μαθηταὶ τοῦ ἀββᾶ Εὐλογίου ὅτι· Ὅτε ἀπέστελλεν ἡμᾶς ὁ Γέρων εἰς Ἀλεξάνδρειαν πρὸς τὸ πωλῆσαι τὸ ἐργόχειρον, ἐδίδου ἡμῖν ἐντολάς, ἵνα πλεῖον τριῶν ἡμερῶν μὴ ποιήσωμεν. Εἰ δὲ πλεῖον τῶν τριῶν ἡμερῶν ποιήσετε, φησίν, ἀθῶός εἰμι ἐγὼ ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν. Ἡμεῖς δὲ ἠρωτήσαμεν αὐτὸν πῶς οἱ μοναχοὶ ἐν ταῖς πόλεσι καὶ κώμαις μετὰ τῶν κοσμικῶν νύκτα καὶ ἡμέραν συναναστρεφόμενοι οὐ βλάπτονται;

Ἀνοίξας δὲ τὸ ἀψευδέστατον αὐτοῦ στόμα ὁ Γέρων λέγει πρὸς ἡμᾶς· Πιστεύσατέ μοι, τέκνα, ἀφ' οὗ ἐμόνασα, ἐποίησα τριάκοντα ὀκτὼ ἔτη μὴ ἐξελθὼν τῆς Σκήτεως. Καὶ μετὰ τὸ τέλος τῶν τριάκοντα ὀκτὼ ἐτῶν ἀπῆλθον μετὰ τοῦ ἀββᾶ Δανιὴλ πρὸς τὸν πάπαν Εὐσέβιον ἐν Ἀλεξανδρείᾳ διὰ χρείαν τινά. Καὶ μετὰ τὸ εἰσελθεῖν ἡμᾶς εἰς Ἀλεξάνδρειαν ἐθεασάμεθα πολλοὺς μοναχούς. Καὶ ἐθεώρουν τοὺς μὲν ἐξ αὐτῶν ὑπὸ κοράκων ῥαπιζομένους, τοὺς δὲ γυναῖκας γυμνὰς ἀγκαλιζομένας αὐτοὺς καὶ εἰς τὸ οὖς αὐτῶν ὁμιλούσας, τοὺς δὲ ὑπὸ παιδαρίων ἀρρένων καὶ αὐτὰ γυμνὰ κοσσίζοντα αὐτοὺς καὶ κόπρον ἀνθρώπινον χρίοντα αὐτούς. Ἐνίους δὲ ἔβλεπον ὅτι κατέχοντες μάχαιραν ἀπιόντες κατέκοπτον σάρκας ἀνθρώπων καὶ ἐδίδουν τοῖς μοναχοῖς πρὸς τὸ φαγεῖν. Καὶ ἔγνων ὅτι ἕκαστος τῶν μοναχῶν οἵῳ πάθει προσπταίει, τοιοῦτοι δαίμονες ὀψικεύουσι καὶ ὁμιλοῦσιν αὐτῷ κατὰ διάνοιαν.

---

13. Πάπας Εὐσέβιος: Κατά πᾶσαν πιθανότητα πρόκειται γιά τόν ἐπίσκοπο Ἀλεξανδρείας (5ος-6ος μ.Χ. αἰ.) μέ τό ὄνομα τοῦ ὁποίου φέρονται

Τό πρωί, ὅταν σηκώθηκε, ἄκουσε τόν Ἐφραίμ νά διδάσκει –ἦταν σάν νά ἔτρεχε πηγή ἀπό τό στόμα του– καί νά συντάσσει λόγους. Κατάλαβε ὅτι ὅσα βγαίνουν ἀπό τά χείλη τοῦ Ἐφραίμ προέρχονται ἀπό τό Ἅγιο Πνεῦμα.

12. Οἱ μαθητές τοῦ ἀββᾶ Εὐλογίου μᾶς διηγήθηκαν τά ἑξῆς: Ὅταν ὁ Γέροντας μᾶς ἔστελνε στήν Ἀλεξάνδρεια νά πουλήσουμε τό ἐργόχειρο, μᾶς ἔδινε ἐντολή νά μήν κάνουμε περισσότερο ἀπό τρεῖς μέρες. «Ἄν ἀργοπορήσετε περισσότερο ἀπό τρεῖς μέρες –ἔλεγε– ἐγώ δέν φέρω εὐθύνη γιά τίς ἁμαρτίες σας». Κι ἐμεῖς τόν ρωτήσαμε: «Πῶς οἱ μοναχοί στίς πόλεις καί στά χωριά νύχτα-μέρα συναναστρέφονται μέ τούς κοσμικούς καί δέν βλάπτονται;»

Ὁ Γέροντας ἄνοιξε τό στόμα του, πού μόνο τήν ἀλήθεια ἔλεγε, καί μᾶς εἶπε: «Πιστέψτε με, παιδιά μου· ἀπό τότε πού ἔγινα μοναχός εἶχαν περάσει τριάντα ὀκτώ χρόνια πού δέν εἶχα βγεῖ ἀπό τή Σκήτη. Ὕστερα ἀπό τριάντα ὀκτώ χρόνια μαζί μέ τόν ἀββᾶ Δανιήλ πῆγα στόν Πάπα Εὐσέβιο[13], στήν Ἀλεξάνδρεια, γιά κάποια ἀνάγκη.

Μόλις μπήκαμε στήν Ἀλεξάνδρεια, εἴδαμε πολλούς μοναχούς. Παρατηροῦσα ἄλλους ἀπό αὐτούς νά τούς ραμφίζουν κοράκια στό πρόσωπο· ἄλλους, γυναῖκες ἄντυτες νά τούς περιπτύσσονται καί νά τούς ψιθυρίζουν στό αὐτί. Ἄλλους νά περιτριγυρίζονται ἀπό ἀγοράκια, καί αὐτά γυμνά νά τούς χαστουκίζουν καί νά τούς ἀλείφουν μέ ἀνθρώπινη κόπρο. Ἔβλεπα ἐπίσης κάποιους κρατώντας μαχαίρια πού πήγαιναν καί ἔκοβαν σάρκες ἀνθρώπων καί ἔδιναν στούς μοναχούς νά φᾶνε. Κατάλαβα ὅτι καθέναν ἀπό τούς μοναχούς σέ ὅποιο πάθος σκοντάφτει, τέτοιοι δαίμονες τόν ἀκολουθοῦν ἀπό κοντά καί τοῦ μιλοῦν στή φαντασία.

"Ὁμιλίαι" ἠθικοῦ καί πρακτικοῦ ἐνδιαφέροντος. Migne P.G. 82.

Καὶ διὰ τοῦτο, ἀδελφοί, οὐ θέλω ὑμᾶς χρονίσαι ἐν πόλει, ἵνα μὴ ὑπὸ τῶν τοιούτων λογισμῶν, μᾶλλον δὲ δαιμόνων, ὀχληθῆτε.

13. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ζήνωνος ὅτι καθεζόμενος ἐν Σκήτει ἐξῆλθε νυκτὸς ἐκ τῆς κέλλης αὐτοῦ ὡς ἐπὶ τὸ Ἕλος. Καὶ πλανηθεὶς ἐποίησε τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας περιπατῶν. Καὶ κοπιάσας καὶ ἐκλιπὼν ἔπεσεν εἰς τὸ ἀποθανεῖν. Καὶ ἰδοὺ παιδάριον ἔστη ἔμπροσθεν αὐτοῦ ἔχον ἄρτον καὶ βαυκάλιον ὕδατος καὶ ἔλεγεν αὐτῷ· Ἀνάστα, φάγε. Ὁ δὲ ἀναστὰς προσηύξατο νομίζων ὅτι φάντασμά ἐστιν. Ὁ δὲ εἶπεν αὐτῷ· Καλῶς ἐποίησας. Καὶ πάλιν ηὔξατο δεύτερον καὶ τρίτον. Καὶ λέγει αὐτῷ· Καλῶς ἐποίησας.

Ἀναστὰς οὖν ὁ Γέρων ἔλαβε καὶ ἔφαγε. Καὶ μετὰ ταῦτα λέγει αὐτῷ· Ὅσον περιεπάτησας, τοσοῦτον μακρὰν εἶ ἀπὸ τῆς κέλλης σου· ἀλλ' ἀναστὰς ἀκολούθει μοι. Καὶ εὐθέως εὑρέθη εἰς τὸ κελλίον αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Γέρων· Εἴσελθε, ποίησον ἡμῖν εὐχήν. Καὶ εἰσελθόντος τοῦ Γέροντος ἐκεῖνος ἀφανὴς ἐγένετο.

14. Εἶπεν ὁ ἀββᾶς Ἰωάννης ὅτι εἶδέ τις τῶν Γερόντων ἐν ἐκστάσει. Καὶ ἰδοὺ τρεῖς μοναχοὶ ἔστηκαν πέραν τῆς θαλάσσης. Καὶ ἐγένετο φωνὴ πρὸς αὐτοὺς ἐκ τοῦ ἄλλου μέρους λέγουσα· Λάβετε πτέρυγας πυρὸς καὶ δεῦτε πρός με. Καὶ οἱ μὲν δύο ἔλαβον καὶ ἐπετάσθησαν εἰς τὸ ἄλλο πέραν. Ὁ δὲ ἄλλος ἔμεινε καὶ ἔκλαιε σφόδρα καὶ ἔκραζεν. Ὕστερον δὲ ἐδόθησαν καὶ αὐτῷ πτερά, οὐ μέντοι πυρὸς ἀλλ' ἀσθενῆ καὶ ἀδύναμα. Καὶ μετὰ καμάτου καταποντιζόμενος καὶ ἀνιστάμενος μετὰ θλίψεως πολλῆς ἦλθεν εἰς τὸ ἄλλο πέραν.

Γι' αὐτό, ἀδελφοί, δέν θέλω νά καθυστερήσετε στήν πόλη, γιά νά μή σᾶς ἐνοχλήσουν τέτοιοι λογισμοί ἤ μᾶλλον δαίμονες».

13. Ἔλεγαν γιά τόν ἀββᾶ Ζήνωνα* ὅτι ὅταν μόναζε στή Σκήτη μιά νύχτα βγῆκε ἀπό τό κελί του νά πάει μέχρι τό Ἕλος. Χάθηκε ὅμως καί ἔκανε τρεῖς μέρες καί τρεῖς νύχτες περπατώντας. Ἀπό κούραση καί ἐξάντληση μεγάλη ἔπεσε ἑτοιμοθάνατος.

Καί νά, ἕνα νέο παιδί στάθηκε μπροστά του, κρατώντας ψωμί καί μιά κανάτα μέ νερό. Τοῦ λέει: «Σήκω, πάρε νά φᾶς». Ἐκεῖνος σηκώθηκε καί προσευχήθηκε, νομίζοντας ὅτι εἶναι φάντασμα. Τοῦ λέει: «Καλά ἔκανες». Πάλι προσευχήθηκε γιά δεύτερη καί τρίτη φορά. Ξανά τοῦ λέει: «Καλά ἔκανες».

Σηκώθηκε λοιπόν ὁ Γέροντας, πῆρε καί ἔφαγε. Ὕστερα ἀπό αὐτό τοῦ λέει: «Ὅσο περπάτησες, τόσο μακριά εἶσαι ἀπό τό κελί σου· Ὅμως σήκω καί ἀκολούθησέ με». Καί ἀμέσως βρέθηκε στό κελί του. Ὁ Γέροντας τοῦ λέει: «Πέρασε μέσα· κάνε μας εὐχή». Ἀλλά ὅταν μπῆκε μέσα ὁ Γέροντας, ἐκεῖνος ἔγινε ἄφαντος.

14. Ὁ ἀββᾶς Ἰωάννης εἶπε ὅτι κάποιος Γέροντας βρέθηκε σέ κατάσταση ἔκστασης. Καί νά, εἶδε τρεῖς μοναχούς νά στέκουν πέρα ἀπό τή θάλασσα. Συγχρόνως ἀπό τήν ἄλλη ὄχθη ἀκούστηκε φωνή πού τούς ἔλεγε: «Πάρτε φτερά πύρινα κι ἐλᾶτε σέ μένα». Οἱ δύο πῆραν καί πέταξαν στήν ἄλλη ὄχθη. Ὁ τρίτος ἔμεινε καί ἔκλαιγε δυνατά καί κραύγαζε. Ὕστερα δόθηκαν καί σ' αὐτόν φτερά, ὅμως ὄχι πύρινα, ἀλλά ἀνίσχυρα καί ἀδύναμα. Ἔτσι μέ κόπο πολύ καί θλίψη, πότε βουλιάζοντας στή θάλασσα καί πότε ἐπιπλέοντας, ἔφτασε στήν ἄλλη πλευρά.



Λαξευτά κελιά στή Λαύρα τοῦ ἁγίου Γερασίμου

Οὕτω καὶ ἡ γενεὰ αὕτη· εἰ καὶ λαμβάνει πτερά, οὐ μέντοι πυρός, ἀλλὰ ἀσθενῆ καὶ ἀδύναμα λαμβάνει.

15. Ἦλθέ τις Γέρων εἰς τὸ κελλίον τοῦ ἀββᾶ Ἰωάννου καὶ εὗρεν αὐτὸν καθεύδοντα καὶ ἄγγελον παριστάμενον καὶ ῥιπίζοντα αὐτόν. Καὶ ἀνεχώρησεν ἰδών.

Ὡς δὲ ἀνέστη, λέγει τῷ μαθητῇ αὐτοῦ· Ἦλθέ τις ὧδε κοιμωμένου μου; Λέγει· Ναί, ὁ δεῖνα ὁ Γέρων. Καὶ ἔγνω ὁ ἀββᾶς Ἰωάννης ὅτι τῶν μέτρων αὐτοῦ ἦν ὁ Γέρων καὶ εἶδε τὸν ἄγγελον.

αὐτή τήν ὥρα ἄκουσα ἀπό τόν προφήτη Ἠσαΐα –μᾶλλον ὁ Θεός μιλοῦσε μέσω αὐτοῦ– νά λέει: Νά λουσθεῖτε, νά καθαρισθεῖτε. Νά ἀφαιρέσετε τίς πονηρίες καί τά ἁμαρτωλά πάθη ἀπό τίς καρδιές σας, ὥστε νά εἶσθε καθαροί ἐνώπιόν μου. Νά μάθετε νά κάνετε τό καλό. Καί ἄν οἱ ψυχές σας εἶναι κόκκινες, θά τίς λευκάνω σάν τό χιόνι. Κι ἄν θελήσετε καί μέ ἀκούσετε, θά ἀπολαύσετε τά ἀγαθά τῆς γῆς[23].

Καί ἐγώ ὁ πόρνος –λέει– μέ τά λόγια αὐτά τοῦ προφήτη ἔνιωσα κατάνυξη στήν ψυχή. Στέναξα μέσα μου καί εἶπα στόν Θεό: Σύ εἶσαι ὁ Θεός, πού ἦρθες στόν κόσμο νά σώσεις τούς ἁμαρτωλούς[24]. Αὐτά πού τώρα ὑποσχέθηκες μέ τόν προφήτη σου, αὐτά πραγματοποίησέ τα σέ μένα τόν ἁμαρτωλό καί ἀνάξιο. Νά, ἀπό τώρα σοῦ δίνω τόν λόγο μου κι ἔρχομαι σέ συμφωνία μαζί σου, καί μέ τήν καρδιά μου σοῦ ὑπόσχομαι ὅτι δέν θά κάνω πλέον κάτι ἀπό αὐτά τά κακά. Ἐγκαταλείπω κάθε παρανομία καί ἀπό τώρα ὑπηρετῶ ἐσένα μέ καθαρή συνείδηση. Σήμερα, Κύριέ μου, καί ἀπ' αὐτή τήν ὥρα δέξαι με μετανοημένο, πεσμένο στά πόδια σου καί ἀποφασισμένο ἀπό δῶ καί πέρα νά ἀπέχω ἀπό κάθε ἁμαρτία. Μέ αὐτές τίς συμφωνίες –λέει– ἔφυγα ἀπό τήν ἐκκλησία παίρνοντας μέσα στήν ψυχή μου τήν ἀπόφαση νά μήν πράξω πιά τίποτε τό κακό ἀπέναντι στόν Θεό».

Ὅλοι ὅσοι τά ἄκουσαν αὐτά, μέ μιά φωνή ἔψαλλαν δυνατά στόν Θεό: «Ὡς ἐμεγαλύνθη τά ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας»[25].

Λοιπόν, χριστιανοί, καθώς ξέρουμε ἀπό τίς θεῖες Γραφές καί τίς ἀποκαλύψεις πόση ἀγαθότητα ἔχει ὁ Θεός σέ ὅσους καταφεύγουν μέ εἰλικρίνεια σ' Ἐκεῖνον καί διορθώνουν μέ μετάνοια τά προηγούμενα ἁμαρτήματα, καί ὅτι δίνει πάλι τά ἀγαθά πού ἔχει ὑποσχεθεῖ, χωρίς νά τιμωρεῖ τίς προηγούμενες ἁμαρτίες, ἐμεῖς ἄς μήν ἀπελπιστοῦμε γιά τή σωτηρία μας.

τῆς ἑαυτῶν σωτηρίας. Ὥσπερ γὰρ διὰ Ἠσαΐου τοῦ προφήτου ἐπηγγείλατο τοὺς ἐν ἁμαρτίαις βεβορβορωμένους πλύνειν καὶ ὡς ἔριον καὶ χιόνα λευκαίνειν καὶ τῶν ἀγαθῶν τῆς ἐπουρανίου Ἰερουσαλὴμ ἀξιοῦν, οὕτως αὖθις διὰ τοῦ ἁγίου προφήτου Ἰεζεκιὴλ μεθ' ὅρκου ἡμᾶς πληροφορεῖ μὴ ἀπολύειν· Ζῶ γὰρ ἐγώ, φησί, λέγει Κύριος, ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.

32. Διηγήσατο ὁ μακάριος Παῦλος ὁ ἁπλοῦς ὅτι· Ἔσχον μαθητὴν καὶ περιέπιπτεν ἐν διαφόροις ἁμαρτίαις ἐμοῦ μὴ εἰδότος. Συνέβη οὖν τοῦτον τελευτῆσαι. Καὶ ἐδεήθην τοῦ Θεοῦ ἐκτενῶς καὶ παρεκάλεσα τὴν ἁγίαν Θεοτόκον δειχθῆναί μοι ἐν ποίοις ἐστὶ μετὰ τὴν ἔξοδον τοῦ σώματος.

Καὶ προσκαρτερήσαντός μου τῇ προσευχῇ ἡμέρας οὐκ ὀλίγας ἐγενόμην ἐν ἐκστάσει. Καὶ θεωρῶ τὸν ἐμὸν μαθητὴν βασταζόμενον ὑπὸ δύο τινῶν μηδεμίαν ἐνέργειαν ἔχοντα μήτε ψυχικὴν μήτε σωματικὴν μήτε λαλοῦντα ὅλως, ἀλλ' ὥσπερ ἀπολιθωθέντα. Ἐγὼ δὲ λίαν ἀγωνιῶν καὶ ὥσπερ ἔνθους γενόμενος ἐμνήσθην τοῦ ῥήματος τοῦ Κυρίου εἰπόντος· Τὸν μὴ ἐνδεδυμένον ἔνδυμα γάμου, δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, ἐμβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τὸ γὰρ δεδέσθαι χεῖρας καὶ πόδας οὐδὲν ἕτερον αἰνίττεται, ἀλλ' ἢ τὸ σβέννυσθαι καὶ ἀνενέργητον μένειν πᾶσαν ἔννοιαν καὶ προαίρεσιν πονηρὰν τὴν μὴ κατὰ τὸ θέλημα τοῦ Θεοῦ πορευθεῖσαν ἐν τῷ αἰῶνι τούτῳ.

Ὡς δὲ ἐπανῆλθον, φησίν, ἀπὸ τῆς ἐκστάσεως, ἠρξάμην σφόδρα λυπεῖσθαι καὶ ἀδημονεῖν, ἐλεημοσύνας τε ποιεῖν ὑπὲρ αὐτοῦ κατὰ δύναμιν καὶ προσφορὰς καὶ παρακαλεῖν

26. Πρβλ. Ἰεζ. 33, 11. 27. Ματθ. 22, 11-13.

Ὅπως δηλαδή ὑποσχέθηκε μέ τόν προφήτη Ἠσαΐα ὅτι θά πλύνει ὅσους ἔχουν βρεθεῖ στόν βοῦρκο τῆς ἁμαρτίας καί ὅτι θά τούς λευκάνει σάν μαλλί καί χιόνι, καί ὅτι θά τούς κάνει ἄξιους γιά τά ἀγαθά τῆς ἄνω Ἰερουσαλήμ, ἔτσι πάλι μέ τόν ἅγιο προφήτη Ἰεζεκιήλ ὁρκίζεται ὅτι δέν θά μᾶς καταστρέψει. Γιατί, λέει ἡ προφητεία: «Ζῶ ἐγώ –διαβεβαιώνει ὁ Κύριος– καί δέν θέλω τόν θάνατο τοῦ ἁμαρτωλοῦ, ὥσπου νά ἐπιστρέψει καί νά ἔχει ζωή»[26].

32. Ὁ μακάριος Παῦλος ὁ ἁπλός διηγήθηκε τά παρακάτω: «Εἶχα ἕναν μαθητή, ὁ ὁποῖος ἔπεφτε σέ διάφορες ἁμαρτίες, χωρίς νά τό ξέρω. Αὐτός, ἦρθε ἡ ὥρα, καί πέθανε. Πολύ προσευχήθηκα στόν Θεό καί παρακάλεσα τήν κυρία Θεοτόκο νά μοῦ φανερώσει ἀνάμεσα σέ ποιούς βρίσκεται ἡ ψυχή του μετά τήν ἔξοδό της ἀπό τό σῶμα του.

Στήν προσευχή ἐπέμενα μέ ὑπομονή γιά ἀρκετές μέρες. Μιά φορά ἦρθα σέ κατάσταση ἔκστασης καί βλέπω τόν μαθητή μου νά τόν βαστοῦν δύο ἄγνωστοι. Ἐκεῖνος δέν εἶχε καμία ἐνέργεια οὔτε ψυχική οὔτε σωματική, καί δέν μιλοῦσε καθόλου· ἦταν σάν ἀπολιθωμένος. Ἐγώ ἤμουν σέ μεγάλη ἀγωνία. Σέ μιά στιγμή σάν νά μοῦ ἦρθε ἔμπνευση θεϊκή καί θυμήθηκα τόν λόγο τοῦ Κυρίου: «Αὐτόν πού δέν ἔχει ἔνδυμα γάμου νά τοῦ δέσετε τά χέρια καί τά πόδια καί νά τόν ρίξετε στό βαθύ σκοτάδι· ἐκεῖ θά εἶναι ὁ θρῆνος καί τό τρίξιμο τῶν δοντιῶν»[27]. Καί μέ τό δέσιμο τῶν χεριῶν καί τῶν ποδιῶν δέν ὑπαινίσσεται τίποτε ἄλλο παρά τό ὅτι σβήνει καί μένει ἀνενέργητη κάθε σκέψη καί διάθεση πονηρή, πού δέν ἦταν σύμφωνη μέ τό θέλημα τοῦ Θεοῦ στή ζωή αὐτή.

Ὅταν συνῆλθα ἀπό τήν ἔκσταση, ἄρχισα νά λυπᾶμαι πολύ καί νά ἀγωνιῶ. Ἔκανα, ὅσο μποροῦσα, ἐλεημοσύνες καί Θεῖες Λειτουργίες γιά τήν ψυχή του. Παρακαλοῦσα

τὴν ἁγίαν Θεοτόκον ἐλεηθῆναι αὐτόν, καὶ παρεκάλεσα τὸν φιλάνθρωπον Θεὸν ὑπὲρ αὐτοῦ. Καὶ ἠρξάμην μοχθεῖν ἐν τῇ ἀσκήσει καὶ ξηροφαγεῖν εἰς τοιοῦτον γὰρ γῆρας λοιπὸν ἐληλακώς.

Μετὰ οὖν τινὰς ἡμέρας ὁρῶ τὴν Παναγίαν Θεοτόκον λέγουσάν μοι· Τί λυπεῖσαι καὶ ἀδημονεῖς, παπία; Καὶ εἶπον· Διὰ τὸν ἀδελφόν, Δέσποινά μου, ὅτι εἶδον αὐτὸν ἐν κακοῖς. Καὶ ἀπεκρίθη καὶ εἶπεν· Οὐχὶ σὺ παρεκάλεσας ἰδεῖν αὐτὸν βουλόμενος; καὶ ἰδοὺ ἐπληροφορήθης. Ἐγὼ δὲ εἶπον· Ναί, δέομαί σου, ἐγὼ παρεκάλεσα, ἀλλ' οὐκ ἤθελον οὕτως ἰδεῖν αὐτόν. Τί γάρ μοι χρήσιμον τὸ ἰδεῖν αὐτὸν καὶ κλαίειν καὶ ὀδυνᾶσθαι; Καὶ λέγει μοι ἡ ἁγία Θεοτόκος· Ὕπαγε· διὰ τὴν ταπείνωσιν καὶ τὸν μόχθον καὶ τὴν ἀγάπην σου ἐγώ σοι αὐτὸν δείκνυμι, ἵνα μὴ λυπῇ.

Καὶ τῇ ἐπαύριον εἶδον πάλιν τὸν ἀδελφὸν ἐρχόμενον πρός με περιχαρῆ καὶ δι' ἑαυτοῦ περιπατοῦντα καὶ γελῶντα καὶ λέγει μοι· Αἱ πρεσβεῖαί σου, πάτερ, ἐδυσώπησαν τὴν Παναγίαν Θεοτόκον, διότι πάνυ φιλεῖ σε. Καὶ παρεκάλεσε τὸν Σωτῆρα λυθῆναί με τῶν δεσμῶν, ὅτι σειραῖς τῶν ἁμαρτημάτων μου ἤμην περιεσφιγμένος.

Ταῦτα τοῦ ἀδελφοῦ εἰρηκότος ἐγὼ χαρᾶς ἐπληρώθην. Καὶ εὐθέως εἶδον τὴν Παναγίαν Θεοτόκον, καὶ λέγει μοι· Ἐπληροφορήθης, πρεσβῦτα, κἂν ἄρτι; Ἐγὼ δὲ εἶπον· Ναί, Δέσποινά μου, καὶ πάνυ ἐχάρην ὅτι εἶδον αὐτὸν ἐν ἀνέσει. Ἡ δὲ εἶπε πρός με· Ἄπιθι τοιγαροῦν καὶ μέμνησο τοῦ ἀδελφοῦ διὰ παντὸς ἐν ταῖς προσευχαῖς καὶ ἐλεημοσύναις καὶ προσφοραῖς· σφόδρα γὰρ ἐλεεῖ τοὺς κοιμηθέντας ἐλεημοσύνη καὶ αὐτὴ ἡ προσφορά.

καί τήν ἁγία Θεοτόκο νά ἐλεηθεῖ. Παρακάλεσα καί τόν φιλάνθρωπο Θεό γι' αὐτόν. Ἐπίσης ἄρχισα νά κοπιάζω στήν ἄσκηση καί νά κάνω ξηροφαγία, ἐνῶ εἶχα φτάσει σέ βαθιά γεράματα.

Ὕστερα ἀπό μερικές μέρες βλέπω τήν Παναγία Θεοτόκο νά μοῦ λέει: «Γιατί λυπᾶσαι καί ἔχεις τόση ἀγωνία, παππούλη;» «Γιά τόν ἀδελφό, Δέσποινά μου –τῆς εἶπα– γιατί τόν εἶδα σέ κακή κατάσταση». Μοῦ ἀποκρίθηκε: «Ἐσύ δέν παρακάλεσες, ἐπειδή ἤθελες νά τόν δεῖς; Νά, πῆρες τήν πληροφορία». Κι ἐγώ εἶπα: «Ναί, σέ ἱκετεύω. Ἐγώ παρακάλεσα, ἀλλά δέν ἤθελα νά τόν δῶ σέ τέτοια κατάσταση. Γιατί, καί τί μοῦ χρειάζεται νά τόν δῶ καί νά κλαίω καί νά πονῶ;» Μοῦ λέει τότε ἡ ἁγία Θεοτόκος: «Πήγαινε· γιά τήν ταπείνωση καί τόν μόχθο καί τήν ἀγάπη σου ἐγώ θά σοῦ τόν δείξω ἔτσι πού νά μή λυπᾶσαι».

Τήν ἄλλη μέρα ξαναεῖδα τόν ἀδελφό νά ἔρχεται σέ μένα πολύ χαρούμενος, νά περπατάει μόνος του καί νά γελάει. Μοῦ λέει: «Πάτερ, οἱ δεήσεις σου ἔκαμψαν τήν Παναγία Θεοτόκο, διότι πολύ σέ ἀγαπᾶ. Ἐκείνη παρακάλεσε τόν Σωτήρα νά λυθῶ ἀπό τά δεσμά, γιατί ἤμουν περισφιγμένος μέ τά σχοινιά τῶν ἁμαρτημάτων μου[28]».

Μ' αὐτά τά λόγια τοῦ ἀδελφοῦ ἐγώ γέμισα χαρά. Ἀμέσως εἶδα τήν κυρία Θεοτόκο καί μοῦ λέει: «Γέροντα, πῆρες τήν πληροφορία ἔστω καί τώρα;» «Ναί –ἀπάντησα– Δέσποινά μου, καί χάρηκα πάρα πολύ, πού τόν εἶδα σέ ἄνετη κατάσταση». Ἐκείνη μοῦ εἶπε: «Πήγαινε, λοιπόν, καί γιά πάντα νά θυμᾶσαι τόν ἀδελφό μέ τίς προσευχές, τίς ἐλεημοσύνες καί τίς Θεῖες Λειτουργίες. Γιατί πολύ-πολύ βοηθάει τούς νεκρούς ἡ ἐλεημοσύνη καί ἡ ἴδια ἡ Θεία Λειτουργία».

28. Παροιμ. 5, 22.

33. Εἰσῆλθέ ποτε ὁ μαθητὴς τοῦ ἀββᾶ Σιλουανοῦ Ζαχαρίας καὶ εὗρεν αὐτὸν ἐν ἐκστάσει, καὶ αἱ χεῖρες αὐτοῦ εἰς τὸν οὐρανὸν ἡπλωμέναι. Καὶ κλείσας τὴν θύραν ἐξῆλθε. Καὶ ἐλθὼν περὶ ὥραν ἕκτην καὶ ἐνάτην εὗρεν αὐτὸν οὕτω. Καὶ περὶ ὥραν δεκάτην ἔκρουσε καὶ εἰσελθὼν εὗρεν αὐτὸν ἡσυχάζοντα καὶ λέγει αὐτῷ· Τί ἔχεις σήμερον, πάτερ; Ὁ δὲ εἶπεν· Ἠσθένησα σήμερον, τέκνον. Ὁ δὲ κρατήσας τοὺς πόδας αὐτοῦ ἔλεγεν· Οὐ μή σε ἐάσω, ἐὰν μὴ εἴπῃς μοι τί εἶδες. Λέγει αὐτῷ ὁ Γέρων· Ἐγὼ εἰς τὸν οὐρανὸν ἡρπάγην καὶ εἶδον τὴν δόξαν τοῦ Θεοῦ. Καὶ ἐκεῖ ἱστάμην ἕως ἄρτι, καὶ νῦν ἀπελύθην.

34. Ἔλεγεν ὁ ἀββᾶς Φωκᾶς ὁ τοῦ κοινοβίου τοῦ ἀββᾶ Θεογνίου τοῦ πρώτου Ἰεροσολυμίτου ὅτι· Καθεζομένου μου ἐν Σκήτει γέγονέ τις ἀββᾶς Ἰάκωβος νεώτερος ἐν τοῖς Κελλίοις ἔχων καὶ πατέρα τὸν αὐτοῦ σαρκικὸν ἅμα καὶ πνευματικόν. Ἔχει δὲ τὰ Κελλία ἐκκλησίας δύο, μία τῶν ὀρθοδόξων, ἔνθα καὶ ἐκοινώνει, καὶ μία τῶν ἀποσχιστῶν.

Ἐπεὶ οὖν ὁ ἀββᾶς Ἰάκωβος εἶχε τὴν χάριν τῆς ταπεινοφροσύνης, ἠγαπᾶτο παρὰ πάντων, καὶ τῶν ἐκκλησιαστικῶν καὶ τῶν ἀποσχιστῶν. Ἔλεγον οὖν αὐτῷ οἱ ὀρθόδοξοι· Ἀββᾶ Ἰάκωβε, μὴ ἀπατήσωσί σε οἱ ἀποσχισταὶ καὶ ἑλκύσωσί σε εἰς τὴν κοινωνίαν αὐτῶν. Ὁμοίως δὲ καὶ οἱ ἀποσχισταὶ ἔλεγον αὐτῷ· Ἵνα εἰδῇς, ἀββᾶ Ἰάκωβε, ὅτι μετὰ τῶν διφυσιτῶν κοινωνῶν ἀπώλλυς τὴν ψυχήν σου· νεστοριανοὶ γάρ εἰσι καὶ συκοφαντοῦσι τὴν ἀλήθειαν.

29. Σχετικά μέ τήν ὥρα βλ. Μ. Γερ. τ. Β΄, σελ. 20, ὑποσημ. 3.

30. Διφυσίτες ἤ Δυοφυσίτες: Ἔτσι ἀποκαλοῦσαν κατά τήν ἐποχή τῶν μεγάλων χριστολογικῶν ἐρίδων (5ος αἰ. μ.Χ.), οἱ μονοφυσιτίζοντες χριστιανοί τούς ἀντιφρονοῦντες νεστοριανίζοντες, οἱ ὁποῖοι ἔκαναν ὀξεία διάκριση τῶν

33. Κάποτε ὁ Ζαχαρίας, μαθητής τοῦ ἀββᾶ Σιλουανοῦ, μπῆκε στό κελί καί βρῆκε τόν ἀββᾶ σέ ἔκσταση, καί τά χέρια του ὑψωμένα στόν οὐρανό. Ἔκλεισε τήν πόρτα καί βγῆκε. Ξανά πῆγε στίς δώδεκα καί στίς τρεῖς τό μεσημέρι καί τόν βρῆκε στήν ἴδια στάση. Κατά τίς τέσσερις[29] χτύπησε τήν πόρτα καί μπῆκε. Τόν βρῆκε νά ἡσυχάζει. Τόν ρωτᾶ: «Πάτερ, τί ἔχεις σήμερα;» «Ἀδιαθέτησα σήμερα, παιδί μου» ἀπάντησε. Ἐκεῖνος ὅμως ἀγκάλιασε τά πόδια του καί τοῦ εἶπε: «Δέν θά σ' ἀφήσω, ἄν δέν μοῦ πεῖς τί εἶδες». Κι ὁ Γέροντας τοῦ λέει: «Ἐγώ ἁρπάχτηκα στόν οὐρανό καί εἶδα τή δόξα τοῦ Θεοῦ. Ἐκεῖ στεκόμουν ὥς πρίν ἀπό λίγο, καί τώρα γύρισα».

34. Ὁ ἀββᾶς Φωκᾶς, πού μόναζε στό κοινόβιο τοῦ ἀββᾶ Θεογνίου, τοῦ πρώτου Ἰεροσολυμίτου, ἔλεγε: «Ὅταν ἔμενα στή Σκήτη, στά Κελλία ἦταν ἕνας ἀββᾶς Ἰάκωβος, νέος στήν ἡλικία, πού τόν σαρκικό του πατέρα τόν εἶχε καί πνευματικό. Τά Κελλία εἶχαν δύο ἐκκλησίες, μία τῶν ὀρθοδόξων, ὅπου καί κοινωνοῦσε, καί μία τῶν αἱρετικῶν.

Ἐπειδή ὁ ἀββᾶς Ἰάκωβος εἶχε τή χάρη τῆς ταπεινοφροσύνης, τόν ἀγαποῦσαν ὅλοι, καί οἱ τῆς ὀρθόδοξης ἐκκλησίας καί οἱ αἱρετικοί. Οἱ ὀρθόδοξοι τοῦ ἔλεγαν: «Ἀββᾶ Ἰάκωβε, πρόσεχε μήπως σέ ἐξαπατήσουν οἱ αἱρετικοί καί σέ τραβήξουν στή δική τους κοινωνία». Παρόμοια καί οἱ αἱρετικοί τοῦ ἔλεγαν: «Νά ξέρεις, ἀββᾶ Ἰάκωβε ὅτι, ἀφοῦ κοινωνᾶς μέ τούς διφυσίτες[30], χάνεις τήν ψυχή σου, γιατί αὐτοί εἶναι νεστοριανοί καί διαβάλλουν τήν ἀλήθεια».

δύο φύσεων τοῦ Χριστοῦ. Τήν ἴδια ὀνομασία ἀπέδιδαν ἐπίσης καί σέ ὅσους πίστευαν στήν ὀρθόδοξη διδασκαλία τῆς Δ΄ Οἰκουμενικῆς Συνόδου, οἱ ὁποῖοι δέχονταν τόν Χριστό *"ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον".*

Ὁ δὲ ἀββᾶς Ἰάκωβος ἀκέραιος ὢν καὶ στενωθεὶς ἐκ τῶν λεγομένων αὐτῷ ἐξ ἀμφοτέρων τῶν μερῶν ἐσκέψατο ἐν ἑαυτῷ παρακαλέσαι τὸν Θεόν. Καὶ δὴ ἀπέκρυψεν ἑαυτὸν ἐν κελλίῳ ἔξω τῆς Λαύρας ἡσυχάζων, ἐνδυσάμενος τὰ ἐντάφια αὐτοῦ ὡς μέλλων ἀποθνήσκειν. Ἔχουσι γὰρ ἔθος οἱ Αἰγύπτιοι Πατέρες τὸν λεβίτωνα, εἰς ὃν λαμβάνουσι τὸ ἅγιον σχῆμα, καὶ τὸ κουκούλιον φυλάττειν ἕως θανάτου καὶ ἐν αὐτοῖς ἐνταφιάζεσθαι, κατὰ Κυριακὴν μόνον εἰς τὴν ἁγίαν Κοινωνίαν φοροῦντες αὐτὰ καὶ εὐθέως συστέλλοντες.

Ἀπελθὼν οὖν ἐν τῷ κελλίῳ ἐκείνῳ παρεκάλει τὸν Θεόν. Καὶ ἐξατονήσας τῇ νηστείᾳ ἔπεσεν εἰς τὸ ἔδαφος καὶ ἔμεινε κείμενος. Πολλὰ δὲ ἔλεγε πεπονθέναι ἐν ταῖς ἡμέραις ἐκείναις ὑπὸ τῶν δαιμόνων καὶ μάλιστα κατὰ διάνοιαν.

Τεσσαράκοντα δὲ ἡμερῶν διελθουσῶν ὁρᾷ παιδίον εἰσελθὸν πρὸς αὐτὸν περιχαρές καὶ λέγει αὐτῷ· Ἀββᾶ Ἰάκωβε, τί ποιεῖς ὧδε; Ὁ δὲ παραχρῆμα φωτισθεὶς καὶ λαβὼν δύναμιν ἐκ τῆς ὀπτασίας εἶπεν αὐτῷ· Δέσποτα, σὺ γινώσκεις τί ἔχω. Ἐκεῖνοι λέγουσί μοι, μὴ ἀφῇς τὴν ἐκκλησίαν, καὶ οἱ ἄλλοι λέγουσί μοι πλανῶσί σε οἱ διφυσῖται. Κἀγὼ ἀπορούμενος καὶ μὴ εἰδὼς τί δράσω, ἦλθον εἰς τὸ πρᾶγμα τοῦτο. Ἀποκρίνεται αὐτῷ ὁ Κύριος· Ὅπου εἶ, καλῶς εἶ. Καὶ εὐθέως σὺν τῷ λόγῳ εὑρέθη πρὸ τῶν θυρῶν τῆς ἁγίας ἐκκλησίας τῶν ὀρθοδόξων τῶν συνοδικῶν.

35. Ἔλεγον περί τινος Γέροντος ὅτι περιεπάτει ἐν τῇ ἐρήμῳ, καὶ ἰδού, δύο ἄγγελοι συνώδευον αὐτῷ, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων. Καὶ ἐλθόντες εὗρον θνησιμαῖον κατὰ

Ὁ ἀββᾶς Ἰάκωβος, ἐπειδή ἦταν ἄνθρωπος εἰλικρινής, ἀλλά καί πιέστηκε ἀπό τά λεγόμενα τῶν δύο πλευρῶν, ἀποφάσισε νά παρακαλέσει γιά τό θέμα αὐτό τόν Θεό. Ἔτσι, κλείστηκε σέ ἕνα κελί ἔξω ἀπό τή Λαύρα, ζώντας ὡς ἡσυχαστής, ἀφοῦ φόρεσε τά ἐντάφιά του ροῦχα, σάν νά ἔμελλε νά πεθάνει.

Οἱ Αἰγύπτιοι Πατέρες ἔχουν τό ἔθιμο, τό ράσο μέ τό ὁποῖο λαμβάνουν τό ἅγιο σχῆμα καί τό κουκούλι, νά τά φυλάγουν ὥς τόν θάνατό τους καί μ᾽ αὐτά νά θάπτονται. Μόνο τήν Κυριακή στήν ἁγία Κοινωνία τά φοροῦν καί ἀμέσως μετά τά συμμαζεύουν.

Πῆγε λοιπόν σέ κεῖνο τό κελί καί παρακαλοῦσε τόν Θεό. Ἐξαντλημένος ὅμως ἀπό τή νηστεία ἔπεσε κάποια στιγμή στό ἔδαφος καί κοίτονταν ἐκεῖ. Μάλιστα διηγοῦνταν κατόπιν ὅτι πολλά εἶχε πάθει ἐκεῖνες τίς μέρες ἀπό τούς δαίμονες καί προπαντός στόν λογισμό.

Ἀφοῦ πέρασαν σαράντα μέρες, βλέπει ἕνα παιδί νά ἔρχεται χαρούμενο κοντά του. Τοῦ λέει: «Ἀββᾶ Ἰάκωβε, τί κάνεις ἐδῶ;» Ἐκεῖνος ἀμέσως φωτίστηκε καί πῆρε δύναμη ἀπό τό ὅραμα. Τοῦ λέει: «Κύριε, ἐσύ γνωρίζεις τί ἔχω. Ἐκεῖνοι μοῦ λένε: Μήν ἀφήσεις τήν Ἐκκλησία. Οἱ ἄλλοι: Σέ πλανοῦν οἱ διφυσίτες. Κι ἐγώ βρέθηκα σέ ἀμηχανία καί μή ξέροντας τί νά κάνω, ἔφτασα σ᾽ αὐτή τήν ἀπόφαση». Ὁ Κύριος τοῦ ἀπαντᾶ: «Ὅπου εἶσαι, καλά εἶσαι».

Τήν ἴδια στιγμή πού ἄκουσε αὐτά τά λόγια βρέθηκε μπροστά στήν πόρτα τῆς ἁγίας ἐκκλησίας τῶν ὀρθοδόξων, πού ἀκολουθοῦσαν τή Σύνοδο.

35. Ἔλεγαν γιά κάποιον Γέροντα ὅτι κάποια φορά περπατοῦσε στήν ἔρημο καί ξαφνικά δύο ἄγγελοι βρέθηκαν συνοδοί του, ἕνας ἀπό τά δεξιά καί ἕνας ἀπό τά ἀριστερά. Καθώς προχωροῦσαν, βρῆκαν ἕνα πτῶμα ζώου. Ὁ Γέρον-

τὴν ὁδόν. Καὶ ἐσκέπασεν ὁ Γέρων τὴν ῥίνα αὐτοῦ ἀπὸ τῆς ὀσμῆς, ἐποίησαν δὲ καὶ οἱ ἄγγελοι οὕτω. Καὶ ὁδεύσαντες μικρὸν εἶπεν αὐτοῖς ὁ Γέρων· Καὶ ὑμεῖς ὀσφραίνεσθε ταύτης; Οἱ δὲ εἶπον· Οὐχί, ἀλλὰ διὰ σὲ ἐσκεπάσαμεν καὶ ἡμεῖς, ἐπεὶ τὴν ἀκαθαρσίαν τοῦ κόσμου τούτου οὐκ ὀσφραινόμεθα, οὐδὲ προσεγγίζει ἡμῖν, ἀλλ' αἱ ψυχαὶ αἱ ὄζουσαι ἐν ἁμαρτίαις ταύτης ὀσφραίνονται.

36. Διηγήσατό τις λέγων ὅτι· Εἰς Σκῆτιν, ὅτε προσέφερον οἱ κληρικοί, κατέβαινεν εἰς ἀετὸς ἐπὶ τὴν προσφορὰν καὶ οὐδεὶς αὐτὸν ἔβλεπεν, εἰ μὴ οἱ κληρικοί. Μιᾷ οὖν τῶν ἡμερῶν ἤτησέ τις τινὰ τῶν διακόνων τί ποτε. Καὶ λέγει αὐτῷ· Οὐ σχολάζω ἄρτι. Ἀνελθόντος οὖν αὐτοῦ εἰς τὴν προσφορὰν οὐ κατῆλθε τὸ ὁμοίωμα τοῦ ἀετοῦ κατὰ τὸ ἔθος. Καὶ εἶπεν ὁ πρεσβύτερος τῷ διακόνῳ· Τί ἐστι τὸ πρᾶγμα τοῦτο, ὅτι οὐ παραγέγονεν ὁ ἀετὸς κατὰ τὸ ἔθος; Ἢ ἐν ἐμοί ἐστιν ἡ πλημμέλεια ἢ ἐν σοί. Ἀπόστα οὖν ἀπ' ἐμοῦ. Καὶ ἐὰν καταβῇ, γνωσθήσεται ὅτι διὰ σὲ οὐ κατῆλθε.

Καὶ ἀποστάντος τοῦ διακόνου, εὐθέως κατῆλθεν ὁ ἀετός. Καὶ τελεσθείσης τῆς συνάξεως, εἶπεν ὁ πρεσβύτερος τῷ διακόνῳ· Εἰπέ μοι τί ἐποίησας. Ὁ δὲ πληροφορῶν αὐτὸν ἔλεγεν· Οὐ σύνοιδα ἑαυτὸν ἁμαρτήσαντά τι, εἰ μὴ ὅτι ἐλθόντος ἀδελφοῦ καὶ αἰτήσαντός με τόδε ἀπεκρίθην αὐτῷ· οὐ σχολάζω. Καὶ εἶπεν ὁ πρεσβύτερος· Οὐκοῦν διὰ σὲ οὐ κατῆλθε, τοῦ ἀδελφοῦ λυπηθέντος κατὰ σοῦ. Καὶ ἀπελθὼν ὁ διάκονος μετενόησε τῷ ἀδελφῷ.

τας σκέπασε τή μύτη του, γιά νά ἀποφύγει τή μυρωδιά. Τό ἴδιο ἔκαναν καί οἱ ἄγγελοι. Προχώρησαν λίγο ἀκόμη. Ὁ Γέροντας τούς ρωτάει: «Κι ἐσεῖς μυρίζετε αὐτή τή μυρωδιά;» «Ὄχι, ἀπαντοῦν, γιά σένα κάναμε αὐτή τήν κίνηση κι ἐμεῖς. Τήν ἀκαθαρσία αὐτοῦ τοῦ κόσμου ἐμεῖς δέν τήν ὀσφραινόμαστε οὔτε μᾶς πλησιάζει. Οἱ ψυχές πού ἐκπέμπουν τήν κακοσμία τῆς ἁμαρτίας τήν ὀσφραίνονται».

36. Κάποιος διηγήθηκε τό ἑξῆς: Στή Σκήτη, ὅταν οἱ κληρικοί πρόσφεραν τά τίμια δῶρα, κατέβαινε κάτι σάν ἀετός πάνω στήν προσφορά, καί κανείς δέν τόν ἔβλεπε, παρά μόνο οἱ κληρικοί.

Μιά μέρα λοιπόν κάποιος ζήτησε ἀπό ἕναν διάκονο μιά ἐξυπηρέτηση. Ὁ διάκονος τοῦ λέει: «Δέν εὐκαιρῶ τώρα». Ὅταν λοιπόν ἀνέβηκε ὁ διάκονος στήν προσφορά, δέν κατέβηκε τό ὁμοίωμα τοῦ ἀετοῦ, ὡς συνήθως. Τότε ὁ πρεσβύτερος εἶπε στόν διάκονο: «Τί σημαίνει αὐτό τό πράγμα, πού δέν ἦρθε ὁ ἀετός ὅπως ἐρχόταν κάθε φορά; Ἢ ἐγώ ἔπεσα σέ σφάλμα ἢ ἐσύ. Ἀπομακρύνσου λοιπόν ἀπό μένα, καί ἄν κατεβεῖ, θά καταλάβουμε ὅτι ἐξαιτίας σου δέν κατέβηκε».

Πράγματι μόλις ἀπομακρύνθηκε ὁ διάκονος, εὐθύς κατέβηκε ὁ ἀετός. Ἔγινε λοιπόν ἡ Θεία Λειτουργία, καί ρωτάει ὁ πρεσβύτερος στόν διάκονο: «Πές μου τί ἔκανες». Κι ἐκεῖνος τόν διαβεβαίωνε ὡς ἑξῆς: «Δέν μοῦ μαρτυρεῖ ἡ συνείδησή μου ὅτι ἔκανα κάποια ἁμαρτία. Μόνο πού ἦλθε ἕνας ἀδελφός καί μοῦ ζήτησε νά τόν ἐξυπηρετήσω καί τοῦ ἀπάντησα: Δέν εὐκαιρῶ».

«Λοιπόν –εἶπε ὁ πρεσβύτερος– ἐξαιτίας σου δέν κατέβηκε, γιατί ὁ ἀδελφός πικράθηκε ἀπό τή συμπεριφορά σου».

Ἀμέσως ὁ διάκονος πῆγε καί ἔβαλε μετάνοια στόν ἀδελφό.

37. Ἔλεγόν τινες τῶν Πατέρων ὅτι μέλλοντος τελειοῦσθαι τοῦ ἁγίου Πέτρου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας εἶδέ τινα Ἀειπαρθένου ὀπτασίαν καὶ ἤκουσε φωνῆς λεγούσης· Πέτρος ἀρχαῖος ἀπόστολος καὶ Πέτρος τέλος μαρτύρων.

38. Διηγήσατό τις τῶν Πατέρων ὅτι· Τρία πράγματά εἰσιν ἔντιμα παρὰ τοῖς μοναχοῖς, οἷς δεῖ ἡμᾶς μετὰ φόβου καὶ τρόμου καὶ χαρᾶς πνευματικῆς προσέρχεσθαι· ἡ κοινωνία τῶν ἁγίων μυστηρίων καὶ ἡ τράπεζα τῶν ἀδελφῶν καὶ ὁ νιπτὴρ αὐτῶν. Ἔφερε δὲ καὶ ὑπόδειγμα τοιοῦτον λέγων ὅτι· Ἦν τις Γέρων μέγας διορατικὸς καὶ συνέβη αὐτὸν γενέσθαι μετὰ πλειόνων ἀδελφῶν. Καὶ ἐν τῷ ἐσθίειν αὐτοὺς προσεῖχε τῷ πνεύματι ὁ Γέρων καθεζόμενος ἐπὶ τραπέζης καὶ ἔβλεπε τοὺς μὲν ἐσθίοντας μέλι, τοὺς δὲ ἄρτον, τοὺς δὲ κόπρον, καὶ ἐθαύμαζεν ἐν ἑαυτῷ. Καὶ ἐδέετο τοῦ Θεοῦ λέγων· Κύριε, ἀποκάλυψόν μοι τὸ μυστήριον τοῦτο, ὅτι τὰ αὐτὰ βρώματα προτίθενται πᾶσιν ἐπὶ τῆς τραπέζης, καὶ ἐν τῷ ἐσθίειν οὕτως ἐνηλλαγμένα φαίνονται, καὶ οἱ μὲν ἐσθίουσι μέλι, οἱ δὲ ἄρτον, οἱ δὲ κόπρον.

Καὶ ἦλθεν αὐτῷ φωνὴ ἄνωθεν λέγουσα ὅτι· Οἱ ἐσθίοντες τὸ μέλι, οὗτοί εἰσιν οἱ μετὰ φόβου καὶ τρόμου καὶ χαρᾶς πνευματικῆς καθεζόμενοι ἐπὶ τῆς τραπέζης καὶ ἀδιαλείπτως προσευχόμενοι, καὶ ἡ εὐχὴ αὐτῶν ὡς θυμίαμα ἀνέρχεται πρὸς τὸν Θεόν, δι᾽ ὃ καὶ μέλι ἐσθίουσιν. Οἱ δὲ τὸν ἄρτον ἐσθίοντες οὗτοί εἰσιν οἱ εὐχαριστοῦντες ἐπὶ τῇ μεταλήψει


31. Πρόκειται γιά τόν ἅγιο ἱερομάρτυρα Πέτρο, ἀρχιεπίσκοπο Ἀλεξανδρείας, πού μαρτύρησε ἐπί Μαξιμίνου τό 311. Ἡ μνήμη του ἑορτάζεται στίς 24 Νοεμβρίου.

32. Ὁ προφητικός χαρακτήρας τῆς ρήσεως αὐτῆς ἐπαλήθευσε τό ἴδιο ἔτος, καθώς ὁ αὐτοκράτορας Γαλέριος, βαριά ἀσθενής, ἐξέδωσε διάταγμα ἀνεξιθρησκείας καί ἀνεστάλησαν οἱ διωγμοί, μέ ἐξαίρεση τίς περιοχές πού διοικοῦσε ὁ Μαξέντιος καί ἐν μέρει περιοχές πού ἤλεγχε ὁ Μαξιμίνος. Μετά ἀπό μιά διετία, τό 313, ἀκολούθησε ἡ ἐπίσημη παύση τῶν διωγμῶν καί ἡ ἀποκατάσταση τῆς Χριστιανικῆς θρησκείας μέ τό διάταγμα τῶν Μεδιολάνων ἀπό τόν Μέγα Κωνσταντίνο.

37. Κάποιοι Πατέρες ἔλεγαν ὅτι, ὅταν ἐπρόκειτο νά τελειωθεῖ (μαρτυρικῶς) ὁ ἅγιος Πέτρος ὁ ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρείας[31], εἶδε μιά ὀπτασία τῆς Ἀειπαρθένου καί ἄκουσε φωνή πού ἔλεγε: «Πέτρος ὁ πρῶτος Ἀπόστολος, καί Πέτρος ὁ τελευταῖος μάρτυρας»[32].

38. Κάποιος ἀπό τούς Πατέρες εἶπε ὅτι οἱ μοναχοί τρία πράγματα τιμοῦν ἰδιαίτερα, πού κι ἐμεῖς πρέπει νά τά πλησιάζουμε μέ φόβο καί τρόμο καί χαρά πνευματική. Αὐτά εἶναι ἡ κοινωνία τῶν ἁγίων μυστηρίων, ἡ τράπεζα τῶν ἀδελφῶν καί ὁ νιπτήρας τους. Ἔφερε καί ἀνάλογο παράδειγμα: Ἕνας Γέροντας, μεγάλος διορατικός, μιά μέρα ἦταν μαζί μέ πολλούς ἀδελφούς. Τήν ὥρα πού αὐτοί ἔτρωγαν, ὁ Γέροντας καθισμένος στό τραπέζι πρόσεχε μέ τό πνεῦμα του, κι ἔβλεπε ἄλλους νά τρῶνε μέλι, ἄλλους ψωμί, ἄλλους κόπρο. Ἀποροῦσε μέσα του, καί παρακαλοῦσε τόν Θεό: «Κύριε, φανέρωσέ μου αὐτό τό μυστηριῶδες πράγμα, ὅτι οἱ ἴδιες τροφές εἶναι μπροστά σέ ὅλους πάνω στό τραπέζι, ὅμως τήν ὥρα πού τρῶνε φαίνονται τόσο ἀλλαγμένες, ὥστε ἄλλοι τρῶνε μέλι, ἄλλοι ψωμί καί ἄλλοι κόπρο».

Ἦρθε φωνή ἀπό ψηλά πού ἔλεγε: «Αὐτοί πού τρῶνε τό μέλι εἶναι ὅσοι μέ φόβο καί τρόμο καί πνευματική χαρά κάθονται στό τραπέζι, καί ἡ προσευχή τους εἶναι ἀκατάπαυστη· ἔτσι ἡ εὐχή τους σάν θυμίαμα ἀνεβαίνει στόν Θεό, γι᾽ αὐτό καί τρῶνε μέλι. Αὐτοί πού τρῶνε τό ψωμί εἶναι ἐκεῖνοι πού εὐχαριστοῦν γιά τό ὅτι τρῶνε αὐτά πού δωρί-



Ἡ Τύρος

τῶν ὑπὸ Θεοῦ δεδωρημένων. Οἱ δὲ τὴν κόπρον ἐσθίοντες, οὗτοί εἰσιν οἱ γογγύζοντες καὶ λέγοντες· Τοῦτο καλόν, κἀκεῖνο σαπρόν. Οὐ χρὴ δὲ ταῦτα λογίζεσθαι, ἀλλὰ μᾶλλον δοξολογεῖν τὸν Θεὸν καὶ ὕμνους ἀναπέμπειν αὐτῷ, ἵνα πληρωθῇ τὸ ῥητόν· Εἴτε ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

39. Ἔλεγε Γέρων ὅτι· Πολλάκις τοῦ διακόνου λέγοντος ἀσπάσασθε ἀλλήλους εἶδον τὸ Πνεῦμα τὸ Ἅγιον εἰς τὰ στόματα τῶν ἀδελφῶν.

40. Ἔλεγέ τις τῶν Πατέρων ὅτι· Καθημένων ποτὲ Γερόντων καὶ λαλούντων περὶ ὠφελείας ἦν τις ἐν αὐτοῖς διορατικὸς καὶ ἔβλεπε τοὺς ἀγγέλους κατασείοντας βαΐοις καὶ εὐφημοῦντας αὐτούς. Ὡς δὲ ἤρχετο ἄλλη ὁμιλία, ἀνεχώρουν οἱ ἄγγελοι, καὶ ἐκυλίοντο χοῖροι ἐν μέσῳ αὐτῶν μεστοὶ δυσωδίας, καὶ ἠφάνιζον αὐτούς. Ὡς δὲ πάλιν ἐλάλουν περὶ ὠφελείας, ἤρχοντο πάλιν οἱ ἄγγελοι καὶ εὐφήμουν αὐτούς.

41. Εἶπε Γέρων· Τοῦτό ἐστι τὸ γεγραμμένον ἐπὶ ταῖς δυσὶ καὶ τρισὶν ἁμαρτίαις Τύρου, ἐπὶ δὲ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι· τὸ ἐνθυμηθῆναι τὸ κακὸν καὶ τὸ συγκαταβῆναι τῷ λογισμῷ καὶ τὸ λαλῆσαι, τὸ δὲ τέταρτόν ἐστι τὸ ἐκτελέσαι τὸ ἔργον. Ἀλλὰ καὶ ἐπὶ τούτοις οὐκ ἀποστραφήσομαι μετανοοῦντι λέγει Κύριος.

33. Α΄ Κορ. 10, 31.

ζει ὁ Θεός. Αὐτοί πού τρῶνε τήν κόπρο εἶναι ὅσοι γογγύζουν καί λένε: Αὐτό εἶναι καλό καί κεῖνο σάπιο.

Δέν πρέπει ἔτσι νά σκέφτεται κανείς, ἀλλά μᾶλλον νά δοξολογεῖ τόν Θεό καί νά τόν ὑμνολογεῖ, γιά νά ἐκπληρωθεῖ τό ρητό: «Εἴτε τρῶτε εἴτε πίνετε εἴτε κάτι ἄλλο κάνετε, ὅλα νά τά κάνετε γιά τή δόξα τοῦ Θεοῦ»[33].

39. Ἕνας Γέροντας ἔλεγε ὅτι πολλές φορές, τήν ὥρα πού ὁ διάκονος ἐκφωνοῦσε: «Νά ἀσπασθεῖτε ὁ ἕνας τόν ἄλλον», εἶδα τό Ἅγιο Πνεῦμα στά στόματα τῶν ἀδελφῶν.

40. Ἕνας ἀπ᾽ τούς Πατέρες ἔλεγε: «Κάποτε κάθονταν Γέροντες καί μιλοῦσαν γιά τήν ὠφέλεια τῆς ψυχῆς. Μεταξύ τους ἦταν ἕνας διορατικός. Αὐτός ἔβλεπε τούς ἀγγέλους νά σείουν κλαδιά βαΐων θριαμβευτικά καί νά τούς ἐπαινοῦν. Μόλις ὅμως ἄρχιζε διαφορετική συνομιλία, οἱ ἄγγελοι ἀναχωροῦσαν κι ἀνάμεσά τους κυλιόνταν χοῖροι γεμάτοι δυσοσμία καί τούς ταλαιπωροῦσαν. Ὅταν τό θέμα τους ἦταν πάλι γιά ὠφέλεια, οἱ ἄγγελοι ἐπανέρχονταν καί ἔλεγαν καλά λόγια γι᾽ αὐτούς».

41. Ἕνας Γέροντας εἶπε: Αὐτό λέει ἡ Γραφή γιά τίς δύο καί τρεῖς ἁμαρτίες τῆς Τύρου· ἀλλά καί γιά τίς τέσσερις δέν θά στρέψω ἀλλοῦ τό πρόσωπό μου[34].

Δηλαδή τέσσερα εἶναι τά στάδια τῆς ἁμαρτίας: τό νά ἔρθει τό κακό στόν νοῦ, τό νά δώσεις τή συγκατάθεση στόν λογισμό καί τό νά συζητᾶς μαζί του· τό τέταρτο εἶναι τό νά ἐκτελέσεις τήν ἁμαρτία. Ἀλλά καί γιά ὅλα αὐτά δέν θά ἀποστραφῶ ἐκεῖνον πού μετανοεῖ, λέει ὁ Κύριος.

34. Ἀμώς 1, 9.

42. Ἔλεγον περὶ μεγάλου Γέροντος ἐν Σκήτει ὅτι, ὅτε οἱ ἀδελφοὶ ᾠκοδόμουν κελλίον, ἐξήρχετο μετὰ χαρᾶς. Καὶ ἔβαλλε θεμέλιον καὶ οὐκ ἀνεχώρει, ἕως οὗ ἐτελειώθη.

Ποτὲ οὖν ἐξελθὼν εἰς οἰκοδομὴν κελλίου ἐστύγνασε πολύ. Καὶ λέγουσιν αὐτῷ οἱ ἀδελφοί· Τί στυγνὸς εἶ καὶ λυπούμενος, ἀββᾶ; Ὁ δὲ εἶπεν· Ἐρημωθῆναι ἔχει ὁ τόπος οὗτος, τέκνα. Ἐγὼ γὰρ εἶδον ὅτι πῦρ ἀνήφθη εἰς Σκῆτιν· καὶ λαβόντες οἱ ἀδελφοὶ βαΐα τύπτοντες ἔσβεσαν αὐτό. Καὶ πάλιν ἐκ δευτέρου ἀνήφθη, καὶ ἔσβεσαν αὐτό. Τὸ δὲ τρίτον ἀνήφθη καὶ ἐπλήρωσε πᾶσαν τὴν Σκῆτιν· καὶ οὐκέτι ἠδυνήθη κατασβεσθῆναι. Καὶ διὰ τοῦτο στυγνάζω καὶ λυποῦμαι.

43. Εἶπε Γέρων· Γέγραπται· Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Σημαίνει δὲ ὁ λόγος τὸ ἐκ τῶν ὑψηλῶν πράξεων ἀγαθὸν καὶ ὀρθὸν καὶ γλυκύ. Ἔστι δὲ καὶ μία τοῦ φοίνικος ἡ καρδία καὶ αὐτὴ λευκή, πᾶσαν ἔχουσα τὴν ἐργασίαν αὐτοῦ. Τοῦτο δέ ἐστιν ὅμοιον ἐπὶ τῶν δικαίων εὑρεῖν· μία γὰρ αὐτῶν καὶ ἁπλῆ ἡ καρδία πρὸς τὸν Θεὸν ὁρῶσα. Ἔστι δὲ καὶ λευκὴ τὸν ἐκ τῆς πίστεως φωτισμὸν ἔχουσα. Καὶ πᾶσα δὲ ἐργασία τῶν δικαίων ἐν καρδίᾳ αὐτῶν ἐστιν. Τὸ δὲ ὀξὺ τῶν σκολόπων, ἡ πρὸς τὸν διάβολόν ἐστιν ἀντίστασις.

44. Εἶπε Γέρων· Ἡ Σωμανῖτις τὸν Ἐλισσαῖον ἐδέξατο παρὰ τὸ μὴ ἔχειν αὐτὴν σχέσιν μετά τινος ἀνθρώπου. Λέγε-

35. Ψαλμ. 91, 13.

36. Ὁ σκόλοψ-οπος: Καθετί πού ἀπολήγει σέ ὀξύ, καί κυρίως πάσσαλος, παλούκι. Ἐδῶ σημαίνει τούς χαρακτηριστικούς ρόζους (ἐξογκώματα) τοῦ

42. Ἔλεγαν γιά κάποιο μεγάλο Γέροντα στή Σκήτη ὅτι, ὅταν ἦταν νά χτίσουν οἱ ἀδελφοί ἕνα κελί, ἔβγαινε χαρούμενος κι ἔβαζε τό θεμέλιο. Καί δέν ἀναχωροῦσε, παρά ἀφοῦ τελείωνε.

Κάποτε βγῆκε γιά τό χτίσιμο ἑνός κελιοῦ, ἀλλά ἡ ὄψη του ἔγινε πολύ σκοτεινή. Τόν ρωτοῦν οἱ ἀδελφοί: «Ἀββᾶ, γιατί εἶσαι σκυθρωπός καί λυπημένος;» «Παιδιά μου –εἶπε– ὁ τόπος αὐτός εἶναι νά ἐρημωθεῖ. Δηλαδή ἐγώ εἶδα ὅτι ἄναψε φωτιά στή Σκήτη καί ὅτι οἱ ἀδελφοί πῆραν κλαδιά φοινίκων καί χτυπώντας την ἔσβησε. Καί γιά δεύτερη φορά ἄναψε ἡ φωτιά καί τήν ἔσβησαν. Ἀλλά ἄναψε καί τρίτη φορά καί ξαπλώθηκε σ᾿ ὁλόκληρη τή Σκήτη, καί δέν στάθηκε δυνατό νά σβηστεῖ. Γι᾿ αὐτό εἶμαι σκυθρωπός καί λυπημένος».

43. Εἶπε Γέροντας: «Εἶναι γραμμένο: Ὁ δίκαιος θά ἀνθίσει σάν τόν φοίνικα[35]. Αὐτός ὁ λόγος σημαίνει τό ἀγαθό καί τό ὀρθό καί τό εὐχάριστο, πού ἀπορρέει ἀπό τίς ὑψηλές πράξεις. Μιά εἶναι καί τοῦ φοίνικα ἡ καρδιά, καί αὐτή λευκή, καί αὐτή πού κάνει ὅλη τήν ἐργασία του. Κάτι παρόμοιο μπορεῖ νά βρεῖ κανείς στούς δικαίους. Μία καί ἁπλή ἡ καρδιά τους, στραμμένη στόν Θεό. Εἶναι καί λευκή, καθώς ἔχει τόν φωτισμό πού πηγάζει ἀπό τήν πίστη. Ἐπίσης κάθε ἐργασία τῶν δικαίων γίνεται μέσα στήν καρδιά τους. Καί τό σουβλερό τῶν σκολόπων[36] εἶναι ἡ ἀντίσταση πρός τόν διάβολο».

44. Ἕνας Γέροντας εἶπε: «Ἡ Σωμανίτιδα δέχτηκε τόν Ἐλισσαῖο[37], ἐνῶ δέν εἶχε σχέσεις μέ κανένα. Καί λέγεται ὅτι

κορμοῦ τῶν φοινικοδένδρων.

37. Βλ. Δ΄ Βασ. 4, 12-37.

ται δὲ ἡ Σωμανῖτις πρόσωπον ἔχειν τῆς ψυχῆς, τὸν δὲ Ἐλισσαῖον πρόσωπον ἔχειν τοῦ Ἁγίου Πνεύματος. Οἵαν οὖν ὥραν ἡ ψυχὴ ἀφίσταται τῆς βιοτικῆς συγχύσεως καὶ ταραχῆς, παραβάλλει αὐτῇ τὸ Πνεῦμα τοῦ Θεοῦ. Καὶ τότε δυνήσεται τεκεῖν, στεῖρα ὑπάρχουσα.

45. Εἰπέ τις τῶν Πατέρων ὅτι· Οἱ ὀφθαλμοὶ τοῦ χοίρου φυσικὴν ἔχουσι τὴν πλάσιν, ὥστε ἀνάγκῃ νεύειν εἰς τὴν γῆν καὶ μηδέποτε δύνασθαι βλέψαι εἰς τὸν οὐρανόν. Οὕτως οὖν, φησί, καὶ τοῦ ταῖς ἡδοναῖς ἐγκυλισθέντος ἡ ψυχὴ ἅπαξ κατολισθήσασα πρὸς τὸν τῆς ἡδυπαθείας βόρβορον δυσχερῶς ἀνανεῦσαι δύναται πρὸς τὸν Θεὸν ἢ φροντίσαι ἄξιόν τι τοῦ Θεοῦ.

46. Ἐγένετό τις μέγας διορατικὸς Γέρων. Οὗτος διεβεβαιώσατο λέγων ὅτι· Τὴν δύναμιν ἣν εἶδον ἐπὶ τοῦ φωτίσματος ἑστῶσαν, τὴν αὐτὴν εἶδον καὶ ἐπὶ τοῦ ἐνδύματος τοῦ μοναχοῦ, ὅταν λαμβάνῃ τὸ σχῆμα.

47. Ἐπληροφορήθη Γέρων ποτὲ τοῦ ὁρᾶν τὰ γινόμενα καὶ ἔλεγεν ὅτι· Εἶδον ἀδελφὸν μελετῶντα ἐν τῷ κελλίῳ αὐτοῦ. Καὶ ἰδοὺ δαίμων ἐλθὼν ἵστατο ἔξω τοῦ κελλίου. Καὶ ἐν τῷ μελετᾶν τὸν ἀδελφὸν οὐκ ἴσχυεν εἰσελθεῖν. Ὡς δὲ ἐπαύετο μελετῶν, τότε εἰσήρχετο ὁ δαίμων εἰς τὸ κελλίον αὐτοῦ καὶ ἐπολέμει αὐτῷ.

48. Εἰπέ τις τῶν Πατέρων ὅτι ἀδελφοὶ δύο ἦσαν γειτνιῶντες αὐτῷ, ὁ εἷς ξενικὸς καὶ ὁ εἷς ἐγχώριος. Ἦν δὲ ὁ ξενικὸς μικρὸν ἀμελέστερος, ὁ δὲ ἐγχώριος σπουδαῖος πάνυ.

ἡ Σωμανίτιδα ἀντιπροσωπεύει τήν ψυχή, καί ὁ Ἐλισσαῖος τό Ἅγιο Πνεῦμα. Λοιπόν, ὅποια ὥρα ἀπομακρύνεται ἡ ψυχή ἀπό τή βιοτική σύγχυση καί ταραχή, τήν ἐπισκέπτεται τό Πνεῦμα τοῦ Θεοῦ, καί τότε θά μπορέσει νά γεννήσει, ἐνῶ εἶναι στείρα».

45. Ἕνας ἀπό τούς Πατέρες εἶπε ὅτι τά μάτια τῶν χοίρων ἀπό τή φύση τους εἶναι φτιαγμένα νά κλίνουν στή γῆ καί ποτέ νά μή μποροῦν νά κοιτάξουν στόν οὐρανό. Ἔτσι –λέει– καί ἡ ψυχή ἐκείνου πού κυλίστηκε στίς ἡδονές, ἀφοῦ μιά φορά γλύστρησε στόν βοῦρκο τῆς ἀκολασίας, δύσκολα μπορεῖ νά σηκώσει τά μάτια πρός τόν Θεό ἤ νά ἀσχοληθεῖ μέ κάτι ἀντάξιο τοῦ Θεοῦ.

46. Κάποιος Γέροντας ἔγινε μεγάλος διορατικός. Αὐτός μέ βεβαιότητα εἶπε: «Τή δύναμη πού εἶδα νά στέκεται κατά τήν ὥρα τοῦ βαπτίσματος, τήν ἴδια εἶδα καί πάνω στό ἔνδυμα τοῦ μοναχοῦ, ὅταν παίρνει τό σχῆμα».

47. Ἕνας Γέροντας κάποτε πῆρε τό χάρισμα νά βλέπει ὅσα γίνονται. Ἔλεγε: «Εἶδα ἀδελφό νά μελετάει[38] στό κελί του, καί νά, ἕνας δαίμονας ἦρθε καί στεκόταν ἔξω ἀπό τό κελί. Ὅσο ὁ ἀδελφός μελετοῦσε, δέν μποροῦσε νά μπεῖ μέσα. Μόλις ὅμως σταματοῦσε τή μελέτη, τότε ὁ δαίμονας ἔμπαινε στό κελί του καί τοῦ ἔφερνε πόλεμο».

48. Ἕνας ἀπό τούς Πατέρες εἶπε ὅτι δύο ἀδελφοί κατοικοῦσαν γειτονικά μ᾽ αὐτόν. Ὁ ἕνας ἦταν ξένος καί ὁ ἄλλος ντόπιος. Ὁ ξένος ἦταν κάπως ἀμελής, ἐνῶ ὁ ντόπιος πολύ συνεπής στά καθήκοντά του.

38. Ἐδῶ δέν ἐννοεῖ τόσο τή μελέτη βιβλίων ὅσο τήν "κρυπτή μελέτη" τῆς καρδίας ὡς εὐχή, ὡς ἀδολεσχία κλπ. Βλ. Μ. Γερ. τ. Α΄, σελ. 94, ὑποσημ. 82.

Συνέβη δὲ κοιμηθῆναι τὸν ξενικόν. Καὶ ὁ Γέρων, διορατικὸς ὤν, εἶδε πλῆθος ἀγγέλων ὁδηγούντων τὴν ψυχὴν αὐτοῦ. Καὶ ὡς ἔφθασε τὸν οὐρανὸν καὶ ἤλθεν εἰσελθεῖν, ἐγένετο περὶ αὐτοῦ ζήτησις. Καὶ ἦλθεν ἄνωθεν φωνὴ λέγουσα· Φανερὸν μὲν ὅτι ἀμελὴς ἦν μικρόν. Διὰ δὲ τὴν ξενιτείαν αὐτοῦ ἀνοίξατε αὐτῷ.

Καὶ μετὰ ταῦτα ἐκοιμήθη καὶ ὁ ἐντόπιος. Καὶ ἦλθε πᾶσα ἡ συγγένεια αὐτοῦ. Καὶ εἶδεν ὁ Γέρων ὅτι οὐδαμοῦ ἄγγελοι καὶ ἐθαύμασε καὶ ἔπεσεν ἐπὶ πρόσωπον ἐνώπιον τοῦ Θεοῦ λέγων· Πῶς ὁ ξένος ἀμελὴς ὢν τοιαύτης δόξης ἔτυχε, καὶ οὗτος ὁ σπουδαῖος οὐδενὸς τοιούτου ἔτυχε; Καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Οὗτος ὁ σπουδαῖος, ὅτε ἦλθε κοιμηθῆναι, ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε τοὺς συγγενεῖς αὐτοῦ κλαίοντας, καὶ παρεκλήθη ἡ ψυχὴ αὐτοῦ. Ὁ δὲ ξένος, εἰ καὶ ἀμελὴς ἦν, ἀλλ᾽ οὐδένα τῶν ἰδίων αὐτοῦ εἶδε καὶ στενάξας ἔκλαυσε, καὶ ὁ Θεὸς παρεκάλεσεν αὐτόν.

49. Διηγήσατό τις τῶν Πατέρων ὅτι ἦν τις ἀναχωρητὴς εἰς τὴν ἔρημον Νειλουπόλεως, καὶ διηκόνει αὐτῷ κοσμικὸς πιστός. Ἦν δὲ καὶ ἐν τῇ πόλει ἄνθρωπος πλούσιος καὶ ἀσεβής. Καὶ συνέβη αὐτῷ κοιμηθῆναι, καὶ προέπεμψεν αὐτὸν ἡ πόλις πᾶσα καὶ ὁ ἐπίσκοπος μετὰ λαμπάδων καὶ θυμιαμάτων.

Ἐξῆλθε δὲ ὁ διακονητὴς τοῦ ἀναχωρητοῦ κατὰ τὸ ἔθος ἀπενεγκεῖν αὐτῷ ἄρτους. Καὶ εὑρίσκει αὐτὸν βεβρωμένον ὑπὸ ὑαίνης. Καὶ ἔπεσεν ἐπὶ πρόσωπον ἐνώπιον τοῦ Θεοῦ λέγων· Οὐκ ἐγείρομαι, Κύριε, ἕως οὗ πληροφορήσῃς με τί

39. Ξενιτεία: Βλ. Μ. Γερ. τ. Α', σελ. 40, ὑποσημ. 7.

Ἦρθε ἡ ὥρα πού κοιμήθηκε ὁ ξένος. Ὁ Γέροντας, καθώς ἦταν διορατικός, εἶδε πλῆθος ἀγγέλων νά ὁδηγοῦν τήν ψυχή του. Ὅταν ἡ συνοδεία ἔφτασε στόν οὐρανό καί ἦταν νά μποῦν μέσα, ἔγινε συζήτηση γι' αὐτόν. Ἦρθε ὅμως φωνή ἀπό πάνω πού ἔλεγε: «Εἶναι βέβαια φανερό ὅτι αὐτός ἦταν κάπως ἀμελής, ὅμως, ἐπειδή εἶχε τήν ἀρετή τῆς ξενιτείας[39], νά τοῦ ἀνοίξετε».

Ὕστερα πέθανε καί ὁ ἐντόπιος. Ἦρθαν ὅλοι οἱ συγγενεῖς του, ἀλλά ὁ Γέροντας εἶδε ὅτι πουθενά δέν ὑπῆρχαν ἄγγελοι, καί ἀπόρησε. Ἔπεσε, λοιπόν, μέ τό πρόσωπο κατά γῆς στόν Θεό καί ἔλεγε: «Πῶς ὁ ξένος, ἄν καί ἦταν ἀμελής, γνώρισε τόση δόξα καί αὐτός ὁ τόσο προσεκτικός δέν εἶχε τίποτε παρόμοιο;»

Τότε ἄκουσε φωνή νά λέει: «Αὐτός ὁ ἐπιμελής, ὅταν ἦρθε ἡ ὥρα νά πεθάνει, ἄνοιξε τά μάτια του καί εἶδε τούς συγγενεῖς του νά κλαῖνε· ἔτσι, παρηγορήθηκε ἡ ψυχή του. Ὁ ξένος ὅμως, πού ἦταν βέβαια ἀμελής, κανέναν ἀπό τούς δικούς του δέν εἶδε, καί μόνος του στέναξε καί ἔκλαψε. Αὐτόν ὁ Θεός τόν παρηγόρησε».

49. Κάποιος ἀπό τούς Πατέρες διηγήθηκε ὅτι στήν ἔρημο Νειλουπόλεως ἦταν ἕνας ἀναχωρητής καί ὅτι τόν ὑπηρετοῦσε ἕνας κοσμικός πιστός. Στήν πόλη ζοῦσε ἕνας ἄνθρωπος πλούσιος καί ἀσεβής. Ὅταν αὐτός πέθανε, τόν ξεπροβόδισε ὁλόκληρη ἡ πόλη καί ὁ ἐπίσκοπος μέ λαμπάδες καί θυμιάματα.

Ὁ διακονητής τοῦ ἀναχωρητῆ[40] βγῆκε νά τοῦ πάει ψωμί, ὅπως συνήθιζε, καί βρίσκει τόν ἀναχωρητή κατασπαραγμένο ἀπό ὕαινα. Ἔπεσε μέ τό πρόσωπο ἐνώπιον τοῦ Θεοῦ κι ἔλεγε: «Κύριε, δέν σηκώνομαι μέχρις ὅτου μέ πλη-

40. Δηλαδή ὁ πιστός κοσμικός πού ἔμενε στήν πόλη.

ἐστι ταῦτα, ὅτι ἐκεῖνος ὁ ἀσεβὴς τοσαύτην ἔσχε φαντασίαν, οὗτος δὲ ὁ δουλεύων σοι νύκτα καὶ ἡμέραν οὕτως ἀπέθανε.

Καὶ ἐλθὼν ἄγγελος Κυρίου εἶπεν αὐτῷ· Ἐκεῖνος ὁ ἀσεβὴς εἶχε μικρὸν καλὸν καὶ ἀπέλαβεν αὐτὸ ὧδε, ἵνα ἐκεῖ μηδεμίαν ἄνεσιν εὕρῃ· οὗτος δὲ ὁ ἀναχωρητής, ἐπειδὴ ἄνθρωπος ἦν κεκοσμημένος πάσῃ ἀρετῇ, εἶχε δὲ καὶ αὐτὸς μικρὸν σφάλμα, ἀπέλαβεν αὐτὸ ἐνταῦθα, ἵνα ἐκεῖ εὑρεθῇ καθαρὸς ἐνώπιον τοῦ Θεοῦ.

Καὶ πληροφορηθεὶς ἀπῆλθε δοξάζων τὸν Θεὸν ἐπὶ τοῖς κρίμασιν αὐτοῦ.

50. Ἔλεγον περί τινος Γέροντος ὅτι ἐδεήθη τοῦ Θεοῦ ἰδεῖν τοὺς δαίμονας. Καὶ ἀπεκαλύφθη αὐτῷ ὅτι· Οὐ χρείαν ἔχεις ἰδεῖν αὐτούς. Ὁ δὲ Γέρων παρεκάλει λέγων· Κύριε, δυνατὸς εἶ σκεπάσαι με τῇ χάριτί σου. Ὁ δὲ Θεὸς ἀπεκάλυψε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδεν αὐτοὺς ὅτι ὥσπερ μέλισσαι κυκλοῦσι τὸν ἄνθρωπον βρύχοντες τοὺς ὀδόντας αὐτῶν ἐπ᾽ αὐτόν, ὁ δὲ ἄγγελος Κυρίου ἐπετίμα αὐτοῖς.

51. Ἀδελφός τις εἰς ὀργὴν κινηθεὶς μετά τινος ἔστη εὐχόμενος καὶ αἰτούμενος μακροθυμῆσαι ἐπὶ τῷ ἀδελφῷ καὶ τὸν πειρασμὸν διελθεῖν ἀβλαβῶς. Καὶ εὐθέως ὁρᾷ καπνὸν ἐκ τοῦ στόματος αὐτοῦ ἐξερχόμενον.

52. Εἶπε Γέρων περί τινος ἁγίου ἀνδρὸς ὅτι μὴ μαθὼν παρά τινος ψαλμούς, μήτε τὰς εὐχὰς τῶν ἁγίων μυστηρίων –ἦν γὰρ πρεσβυτερίου ἠξιωμένος– διὰ τὴν πολλὴν αὐτοῦ ἀγάπην τὴν πρὸς τὸν Θεόν, ὡς μαθὼν τὰ πάντα ἐγίνωσκεν. Ἐγένετο δὲ καὶ ἐνάρετος σφόδρα καὶ ἰάσεις ἐπετέλει. Εἶχε δὲ

ροφορήσεις πῶς ἐξηγοῦνται αὐτά: Ἐκεῖνος ὁ ἀσεβής εἶχε τόση μεγαλοπρέπεια καί αὐτός πού σέ ὑπηρέτησε νύχταμέρα πέθανε μέ τέτοιο τρόπο».

Ἦρθε ἄγγελος Κυρίου καί τοῦ εἶπε: «Ἐκεῖνος ὁ ἀσεβής εἶχε κάποιο μικρό καλό καί πῆρε τήν ἀνταμοιβή του ἐδῶ, ἐνῶ δέν θά ἔχει ἐκεῖ καμιά ἄνεση. Αὐτός ὁ ἀναχωρητής, ἦταν βέβαια ἄνθρωπος στολισμένος μέ κάθε ἀρετή, ὅμως καί αὐτός εἶχε σφάλει λίγο. Καί πλήρωσε ἐδῶ, γιά νά βρεθεῖ ἐκεῖ καθαρός μπροστά στόν Θεό».

Πῆρε τήν πληροφορία αὐτή κι ἔφυγε, δοξάζοντας τόν Θεό γιά τή δικαιοσύνη του.

50. Ἔλεγαν γιά ἕναν Γέροντα ὅτι ζήτησε ἀπό τόν Θεό νά δεῖ τούς δαίμονες. Τοῦ ἦρθε ἀπάντηση: «Δέν ἔχεις ἀνάγκη νά τούς δεῖς». Ὁ Γέροντας ὅμως παρακαλοῦσε: «Κύριε, μπορεῖς νά μέ σκεπάσεις μέ τή χάρη σου».

Ὁ Θεός τοῦ ἄνοιξε τά μάτια καί εἶδε ὅτι σάν τίς μέλισσες περικυκλώνουν τόν ἄνθρωπο, τρίζοντας τά δόντια τους ἐναντίον του, ἐνῶ ὁ ἄγγελος τοῦ Κυρίου τούς ἐπιτιμοῦσε.

51. Ἕνας ἀδελφός τήν ὥρα πού ἔνιωσε νά ὀργίζεται ἐναντίον κάποιου, στάθηκε σέ προσευχή· ζήτησε βοήθεια γιά νά δείξει μακροθυμία στόν ἀδελφό καί ὁ πειρασμός νά περάσει, χωρίς νά τόν βλάψει. Ἀμέσως βλέπει καπνός νά βγαίνει ἀπό τό στόμα του καί νά χάνεται.

52. Ἕνας Γέροντας εἶπε γιά κάποιον ἅγιο ἄνδρα ὅτι παρόλο πού δέν ἔμαθε ψαλμούς ἀπό ἄλλον οὔτε τίς εὐχές τῶν ἁγίων μυστηρίων –εἶχε βέβαια τό ἀξίωμα τοῦ πρεσβυτέρου– ἀπό τήν πολλή του ἀγάπη στόν Θεό τά γνώριζε ὅλα, σάν νά τά εἶχε διδαχθεῖ. Ἔγινε μάλιστα πολύ ἐνάρετος

καὶ τοῦτο, κατόρθωμα μέγα· εἰς γὰρ τὰ ἑξήκοντα ἔτη τῆς ἀσκήσεως αὐτοῦ οὐκ ἐθεάσατο γυναῖκα οὐδὲ τὴν τρίχα τῆς κεφαλῆς αὐτοῦ ἔτεμεν.

Ἐν δὲ τῷ τελευτᾶν αὐτὸν πρὸ τριῶν ἡμερῶν προέγνω. Καὶ καλέσας τοὺς μαθητὰς αὐτοῦ ἀνήγγειλεν αὐτοῖς καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐτελειώθη.

53. Μονάζων τις ἦν μὴ ἐργαζόμενος τὸ σύνολον καὶ ἀδιαλείπτως προσευχόμενος. Καθ' ἑσπέραν οὖν εἰσήει εἰς τὸ κελλίον αὐτοῦ καὶ εὕρισκε τὸν ἄρτον αὐτοῦ καὶ ἤσθιεν. Ἄλλος δὲ ἀδελφὸς παρέβαλεν αὐτῷ ἔχων σεβένινα καὶ ἐποίησε τὸν Γέροντα ἐργάσασθαι τὰ σεβένινα. Ἑσπέρας δὲ γενομένης εἰσέβη κατὰ τὴν συνήθειαν φαγεῖν καὶ οὐδὲν εὗρε. Κοιμᾶται οὖν λυπούμενος. Καὶ ἀποκαλύπτεται αὐτῷ ὅτι· Ὅτε μετ' ἐμοῦ ἐσχόλαζες, ἔθρεψά σε· ὅτε δὲ ἤρξω ἐργάζεσθαι, ἐκ τοῦ ἐργοχείρου σου ζήτησον τὴν τροφήν σου.

54. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τὸ ὄνομά ἐστι τὸ σῷζον ἢ τὸ ἔργον; Λέγει αὐτῷ ὁ Γέρων· Οἶδα ἐγὼ ἀδελφὸν εὐχόμενόν ποτε, καὶ παρεισῆλθον αὐτῷ λογισμοί, ὅτι ἤθελον ἰδεῖν ψυχὴν ἁμαρτωλοῦ καὶ δικαίου ἀνασπωμένην ἐκ τοῦ σώματος.

Μὴ θέλων δὲ ὁ Θεὸς λυπῆσαι αὐτὸν ἐν τῇ ἐπιθυμίᾳ αὐτοῦ, καθεζομένου αὐτοῦ ἐν τῷ κελλίῳ εἰσῆλθε λύκος πρὸς αὐτὸν καὶ ἐπιλαβόμενος τῶν ἱματίων αὐτοῦ τῷ στόματι ἔσυρεν αὐτὸν ἔξω. Ἀναστὰς οὖν ἐπηκολούθησεν αὐτῷ, ἕως οὗ ἀπήνεγκεν αὐτὸν εἰς πόλιν τινά, καὶ ἐάσας αὐτὸν ἐν αὐτῇ ἀνεχώρησεν.

41. Σέβινο ἤ σίβινο: Εἶναι ἶνες ἀπό φοινικόφυλλα, ὕλη μέ τήν ὁποία κατασκεύαζαν σχοινιά, ψαθιά, σκοῦπες κ.ἄ. Καί ροῦχα ὕφαιναν πού ἦσαν τραχιά καί τά χρησιμοποιοῦσαν οἱ μοναχοί γιά ἄσκηση.

καί θεράπευε. Εἶχε ἐπίσης καί αὐτό –μεγάλο κατόρθωμα– δηλαδή στά ἑξήντα χρόνια τῆς ἄσκησής του δέν εἶδε γυναίκα οὔτε ἔκοψε τά μαλλιά του.

Τήν ὥρα τοῦ θανάτου του τήν γνώρισε τρεῖς μέρες πρίν. Ἔτσι κάλεσε τούς μαθητές του, τούς τό ἔκανε γνωστό καί τήν τρίτη μέρα ἀναπαύθηκε.

53. Ὑπῆρχε ἕνας ἐρημίτης πού δέν ἐργαζόταν καθόλου· μόνο προσευχόταν ἀδιάκοπα, καί νωρίς τό βράδυ ἔμπαινε στό κελί του κι ἔβρισκε τό ψωμί του κι ἔτρωγε.

Μιά μέρα τόν ἐπισκέφθηκε ἕνας ἀδελφός πού εἶχε μαζί του σεβένινα[41] κι ἔμαθε καί τόν Γέροντα νά δουλεύει τά σεβένινα. Σάν βράδιασε, κατά τή συνήθειά του μπῆκε στό κελί νά φάει, ἀλλά δέν βρῆκε τίποτε. Κοιμήθηκε λοιπόν λυπημένος. Καί τοῦ ἀποκαλύπτεται: «Ὅταν περνοῦσες τήν ὥρα σου μαζί μου, σέ ἔθρεψα πάντοτε. Ἀπό τότε πού ἄρχισες νά ἐργάζεσαι, ζήτησε τήν τροφή σου ἀπό τό ἐργόχειρό σου».

54. Ἕνας ἀδελφός ἔκανε σέ κάποιον Γέροντα τήν ἐρώτηση: «Ἐκεῖνο πού σώζει εἶναι τό ὄνομα πού ἔχει ἀποκτήσει κανείς ἤ τό ἔργο του;» Ἡ ἀπάντηση τοῦ Γέροντα: «Ξέρω ἕναν ἀδελφό πού μιά φορά καθώς προσευχόταν μπῆκαν στόν νοῦ του λογισμοί, νά δεῖ τήν ψυχή ἑνός ἁμαρτωλοῦ καί ἑνός δικαίου, τήν ὥρα πού βγαίνει ἀπό τό σῶμα καί φεύγει πρός τά πάνω.

Ὁ Θεός δέν ἤθελε νά τόν κακοκαρδίσει γι' αὐτήν του τήν ἐπιθυμία. Ἔτσι, ἐνῶ ἦταν καθιστός στό κελί του, μπῆκε ἕνας λύκος. Μέ τό στόμα του τόν ἔπιασε ἀπό τά ροῦχα καί τόν τράβηξε ἔξω. Σηκώθηκε καί τόν ἀκολούθησε, μέχρι πού τόν ἔφερε σέ μιά πόλη. Ἐκεῖ ὁ λύκος τόν ἄφησε κι ἔφυγε.

Ὡς οὖν ἐκαθέζετο ἔξω τῆς πόλεως εἰς μοναστήριον ἔχον τινὰ οἰκοῦντα ἐν αὐτῷ, ὄνομα μεγάλου ἀναχωρητοῦ ἔχοντα –ἦν δὲ ἀρρωστῶν καὶ ἐκδεχόμενος τὴν ὥραν αὐτοῦ– ὁρᾷ ὁ ἀδελφὸς πολλὴν ἑτοιμασίαν κηρῶν καὶ κανδηλῶν ηὐτρεπισμένων αὐτῷ. Καὶ πᾶσα ἡ πόλις ἔκλαιε δι' αὐτόν, ὡς ὅτι ὁ Θεὸς διὰ τῶν εὐχῶν αὐτοῦ τὸν ἄρτον καὶ τὸ ὕδωρ παρεῖχεν ἡμῖν, καὶ πᾶσαν τὴν πόλιν ἔσωζεν ὁ Θεὸς δι' αὐτοῦ. Ἐὰν οὖν συμβῇ αὐτῷ τίποτε, πάντες ἀποθνήσκομεν.

Γενομένης δὲ τῆς ὥρας τῆς ἀναγκαίας ἰδοὺ προσέχει ὁ ἀδελφὸς καὶ βλέπει τὸν τάρταρον τοῦ ᾅδου μετὰ τριόδοντος πυρίνου. Καὶ ἤκουσε φωνῆς τοιαύτης· Ὥσπερ οὐκ ἀνέπαυσέ με ἡ ψυχὴ αὐτοῦ οὐδεμίαν ὥραν, μηδὲ σὺ αὐτὸν ἐλεήσῃς ἀνασπῶν τὴν ψυχὴν αὐτοῦ· οὐ γὰρ μὴ ἀναπαῇ εἰς τοὺς αἰῶνας. Χαλάσας οὖν τὸν πύρινον τριόδοντα εἰς τὴν καρδίαν αὐτοῦ πολλὴν ὥραν βασανίζων αὐτόν, οὕτως ἀνέσπασε τὴν ψυχὴν αὐτοῦ.

Μετὰ ταῦτα εἰσῆλθεν ἐν τῇ πόλει ὁ ἀδελφὸς καὶ ἐκαθέζετο κλαίων. Καὶ ὁρᾷ ξένον ἀδελφὸν ἐν τῇ πλατείᾳ ἐρριμμένον ἄρρωστον καὶ μὴ ἔχοντά τινα τὸν ἐπιμελούμενον αὐτοῦ. Καὶ ἔμεινε πρὸς αὐτὸν μίαν ἡμέραν. Καὶ ἐν τῷ καιρῷ τῆς κοιμήσεως αὐτοῦ ὁρᾷ ὁ ἀδελφὸς τὸν Μιχαὴλ καὶ τὸν Γαβριὴλ ἐλθόντας διὰ τὴν ψυχὴν αὐτοῦ. Καὶ καθεσθεὶς ὁ εἷς ἐκ δεξιῶν αὐτοῦ καὶ ὁ ἕτερος ἐξ εὐωνύμων, ἔμειναν παρακαλοῦντες τὴν ψυχὴν ζητοῦντες παραλαβεῖν αὐτήν.

Τῆς δὲ μὴ βουλομένης ἐᾶσαι τὸ σῶμα εἶπεν ὁ Μιχαὴλ πρὸς τὸν Γαβριήλ· Ἀνάσπασον αὐτήν, ἵνα ἀπέλθωμεν. Λέγει πρὸς αὐτὸν ὁ Γαβριήλ· Ἐκελεύσθημεν ὑπὸ τοῦ Δεσπότου ἡμῶν ἀπόνως αὐτὴν ἐκβαλεῖν· διὰ τοῦτο οὐ δυνάμεθα αὐτὴν βιάσασθαι. Ἐβόησεν οὖν ὁ Μιχαὴλ φωνῇ μεγάλῃ· Κύριε, τί βούλει περὶ τῆς ψυχῆς ταύτης, ὅτι οὐ βούλεται ἐξελθεῖν; Ἦλθε δὲ αὐτῷ φωνὴ λέγουσα· Ἰδοὺ ἀποστέλλω τὸν Δαβὶδ μετὰ

42. Ἡ λ. τάρταρος (= ἄβυσσος) ἐδῶ σημαίνει τόν ἄγγελο τοῦ θανάτου.

Καθόταν λοιπόν ἔξω ἀπό τήν πόλη σέ μοναστήρι ὅπου ζοῦσε κάποιος μέ ὄνομα μεγάλου ἀναχωρητῆ, πού τώρα ἦταν ἄρρωστος καί περίμενε τήν ὥρα του. Ὁ ἀδελφός βλέπει μεγάλη προετοιμασία ἀπό κεριά καί καντῆλες πού εἶχαν ἑτοιμασθεῖ γι' αὐτόν. Ὅλη ἡ πόλη τόν ἔκλαιγε, μέ τή σκέψη ὅτι ὁ Θεός μέ τίς εὐχές αὐτοῦ τοῦ ἀναχωρητῆ μᾶς ἔδινε τό ψωμί καί τό νερό. Γενικά, ἔλεγαν ὅτι ὁλόκληρη τήν πόλη ὁ Θεός τήν ἔσωζε μέ τίς προσευχές αὐτοῦ, κι ἑπομένως, ἄν συμβεῖ κάτι σ' αὐτόν, ὅλοι πεθαίνουμε.

Ὅταν ἦρθε ἡ ἀναπόφευκτη ὥρα, νά, ὁ ἀδελφός προσέχει καί βλέπει τόν τάρταρο[42] τοῦ Ἅδη μέ τήν πύρινη τρίαινα. Ἄκουσε καί μιά φωνή πού ἔλεγε: Ὅπως οὔτε μιά ὥρα δέν μέ ἀνέπαυσε ἡ ψυχή του, ἔτσι κι ἐσύ νά μήν τόν λυπηθεῖς καθώς θά βγάζεις τήν ψυχή του. Ἀλλά καί οὔτε θά βρεῖ ἀνάπαυση στούς αἰῶνες. Ἔπειτα ἐκεῖνος κατέβασε τήν πύρινη τρίαινα στήν καρδιά του, βασανίζοντάς τον γιά πολλή ὥρα, κι ἔτσι τράβηξε τήν ψυχή του.

Ὕστερα ἀπό αὐτά ὁ ἀδελφός μπῆκε στήν πόλη, κάθησε κάπου κι ἔκλαιγε. Στήν πλατεία βλέπει ἕναν ξένο ἀδελφό ἄρρωστο καί κατάκοιτο, χωρίς νά ἔχει κάποιον νά τόν φροντίζει. Ἔμεινε κοντά του μιά μέρα. Τήν ὥρα πού πέθαινε αὐτός, βλέπει ὁ ἀδελφός τόν Μιχαήλ καί τόν Γαβριήλ νά ἔρχονται γιά τήν ψυχή του. Στάθηκαν ὁ ἕνας ἀπό τά δεξιά, ὁ ἄλλος ἀπό τά ἀριστερά καί περίμεναν, παρακαλώντας τήν ψυχή καί ζητώντας νά τήν παραλάβουν.

Ἡ ψυχή ὅμως δέν ἤθελε ν' ἀφήσει τό σῶμα. Κι ὁ Μιχαήλ εἶπε στόν Γαβριήλ: Τράβηξέ την, γιά νά φύγουμε. Τοῦ λέει ὁ Γαβριήλ: Πήραμε ἐντολή ἀπό τόν Δεσπότη μας νά τήν βγάλουμε χωρίς νά πονέσει. Γι' αὐτό δέν μποροῦμε νά τήν πιέσουμε. Τότε ὁ Μιχαήλ φώναξε μέ μεγάλη φωνή: Κύριε, ποιό εἶναι τό θέλημά σου γι' αὐτήν τήν ψυχή, ἐπειδή δέν θέλει νά βγεῖ; Ἄκουσε φωνή πού ἔλεγε: Τώρα στέλνω

τῆς κιθάρας καὶ πάντας τοὺς ψάλλοντας, ὥστε ἀκούσασαν αὐτὴν τῆς μελῳδίας τῆς φωνῆς αὐτῶν ἐξελθεῖν μετὰ χαρᾶς· ἐπεὶ μὴ βιάσασθε αὐτήν.

Καὶ κατελθόντων πάντων ἐκύκλωσαν τὴν ψυχὴν καὶ ᾀδόντων τοὺς ὕμνους ἐκπηδήσασα ἐσκίρτησεν εἰς τὰς χεῖρας τοῦ Μιχαὴλ καὶ ἀνελήφθη μετὰ χαρᾶς.

55. Εἶπε πάλιν ὁ αὐτὸς περί τινος Γέροντος ὅτι ἀπῆλθέ ποτε εἰς πόλιν πιπράσκων σκεύη, καὶ κατ' εὐκαιρίαν ἐκαθέσθη εἰς πυλῶνά τινος πλουσίου μέλλοντος τελευτᾶν. Καθημένου δὲ αὐτοῦ προσέσχε καὶ ὁρᾷ ἵππους μελανοὺς καὶ οἱ ἐπιβάται αὐτῶν μελανοὶ καὶ φόβου μεστοὶ ἔχοντες πυρίνας βάκλας ἐν ταῖς χερσὶν αὐτῶν.

Φθασάντων δε αὐτῶν τὸν πυλῶνα ἔστησαν τοὺς ἵππους ἔξω. Καὶ εἰσῆλθεν ἕκαστος αὐτῶν. Καὶ ἰδὼν αὐτοὺς ὁ ἄρρωστος ἐκραύγασε μεγάλῃ τῇ φωνῇ· Κύριε, ἐλέησόν με καὶ βοήθησον. Λέγουσιν αὐτῷ οἱ ἀποσταλέντες· Ἄρτι, ὅτε ὁ ἥλιος ἔδυσεν, ἦλθες μνησθῆναι τοῦ Θεοῦ; Διατί αὐγαζούσης τῆς ἡμέρας οὐκ ἐξεζήτησας αὐτόν; Νῦν οὐκ ἔστι σοι μερὶς ἐλπίδος οὐδὲ παράκλησις. Καὶ οὕτω παραλαβόντες τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀπῆλθον.

56. Εἶπε Γέρων· Ἠκούσαμεν παρά τινων ἁγίων τὸν Χριστὸν ἐχόντων ἐν ἑαυτοῖς λαλούντων περὶ συμφωνίας τεσσάρων πρεσβυτέρων ἁγίων, οἵτινες δεξιὰς ἔδωκαν ἀλλήλοις, ἵνα ὁμόψυχοι καὶ ὁμόχρονοι ζήσωσιν ἐν τῷ αἰῶνι τούτῳ καὶ ὁμοῦ πάλιν ἐν οὐρανοῖς εὑρεθῶσι, τῇ δεσποτικῇ φωνῇ πιστεύσαντες τῇ λεγούσῃ· Ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τὸ αὐτὸ ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

---

43. Ματθ. 18, 19.

τόν Δαβίδ μέ τήν κιθάρα καί ὅλους τούς ψάλτες, ὥστε ν' ἀκούσει τή μελωδία τῆς φωνῆς τους καί νά βγεῖ μέ χαρά. Γι' αὐτό μήν ἀσκήσετε βία.

Κατέβηκαν ὅλοι καί στάθηκαν γύρω στήν ψυχή. Ἐκείνη, καθώς ἔψαλλαν τούς ὕμνους, ἀναπήδησε καί τινάχθηκε στά χέρια τοῦ Μιχαήλ. Ἔτσι, χαρούμενη πῆγε ψηλά».

55. Ὁ ἴδιος πάλι εἶπε γιά κάποιον Γέροντα ὅτι πῆγε μιά μέρα στήν πόλη νά πουλήσει ἀντικείμενα τοῦ ἐργοχείρου του. Συμπτωματικά κάθησε στήν ἐξωτερική εἴσοδο τοῦ σπιτιοῦ ἑνός πλούσιου, πού πέθαινε. Καθόταν καί πρόσεχε. Σέ μιά στιγμή βλέπει μαῦρα ἄλογα, μέ τούς ἐπιβάτες τους μαύρους καί ὅλο φοβέρα καί μέ ρόπαλα στά χέρια τους.

Ὅταν αὐτοί ἔφτασαν στήν εἴσοδο, ἄφησαν τά ἄλογα ἔξω, ἐνῶ μπῆκε μέσα ὁ καθένας τους. Ὅταν τούς εἶδε ὁ ἄρρωστος, φώναξε μέ μεγάλη φωνή: «Κύριε, ἐλέησέ με καί βοήθησέ με». Τοῦ λένε οἱ ἀπεσταλμένοι: «Τώρα, ὅταν βασίλεψε ὁ ἥλιος (τῆς ζωῆς σου), ἀποφάσισες νά θυμηθεῖς τόν Θεό; Γιατί δέν τόν ζήτησες ὅταν ἔλαμπε τό φῶς τῆς μέρας; Τώρα δέν ὑπάρχει γιά σένα μερίδα ἐλπίδας οὔτε παρηγορία». Ἔτσι, πῆραν τήν ἄθλια ψυχή του καί ἔφυγαν.

56. Ἕνας Γέροντας εἶπε: Ἀκούσαμε ἀπό κάποιους ἅγιους ἀνθρώπους, πού εἶχαν μέσα τους τόν Χριστό, νά κάνουν λόγο γιά μιά συμφωνία πού ἔκαναν τέσσερις ἅγιοι πρεσβύτεροι, δείχνοντας ἐμπιστοσύνη στή δεσποτική φωνή πού εἶπε: «Ἄν δύο ἀπό σᾶς συμφωνήσουν μεταξύ τους πάνω στή γῆ, γιά κάθε πράγμα πού θά ζητήσουν, θά τό ἔχουν ἀπό τόν οὐράνιο Πατέρα μου»[43]. Αὐτοί ἔκαναν συμφωνία νά ζήσουν σ' αὐτόν τόν κόσμο μέ μιά ψυχή καί νά ἔχουν τόν ἴδιο χρόνο ζωῆς, καί μαζί πάλι νά βρεθοῦν στόν οὐρανό.

Καὶ οἱ μὲν τρεῖς τῇ ἀσκήσει προσκαρτεροῦντες ἡσύχαζον ἐν τῇ ἐρήμῳ, ὁ δὲ ἄλλος διηκόνει αὐτοῖς τὰ πρὸς τὴν χρείαν. Συνέβη οὖν τοὺς δύο τελειωθῆναι ἐν Χριστῷ καὶ ἀναλῦσαι ἐκ τοῦ βίου καὶ ἀπενεχθῆναι ἐν ἑνὶ τόπῳ ἀναπαύσεως, περιλειφθῆναι δὲ τοὺς δύο ἐν τῇ γῇ, τὸν διακονητὴν καὶ ἕνα ἡσυχάζοντα.

Ἐξ ἐπιβουλῆς δὲ τοῦ πονηροῦ δαίμονος ἔπεσεν ὁ διακονητὴς εἰς πορνείαν, καὶ ἀπεκαλύφθη ἑνὶ τῶν διορατικῶν Γερόντων τῶν ἁγίων ὅτι οἱ δύο οἱ τελειωθέντες παρεκάλουν τὸν Θεὸν περὶ τοῦ διακονητοῦ λέγοντες ὅτι· Παράδος τὸν ἀδελφὸν βρωθῆναι ὑπὸ λέοντος ἢ ὑπὸ ἄλλου θηρίου, ἵνα ἀπονιψάμενος τὴν ἁμαρτίαν ἔλθῃ ἐν τῷ τόπῳ ἐν ᾧ ἐσμεν, καὶ μὴ διαπέσῃ ἡ συμφωνία ἡμῶν.

Καὶ ἐγένετο ἐλθεῖν τὸν ἀδελφὸν κατὰ τὸ ἔθος τῆς διακονίας, καὶ ἐν τῷ ὑποστρέφειν πρὸς τὸν ἡσυχαστὴν ὑπήντησεν αὐτῷ λέων καὶ ἐζήτει αὐτὸν θανατῶσαι. Ἔγνω δὲ ὁ ἡσυχαστὴς τὸ γενόμενον· ἀπεκαλύφθη γὰρ αὐτῷ. Καὶ ἔστη εἰς προσευχὴν δεόμενος τοῦ Θεοῦ ὑπὲρ τοῦ ἀδελφοῦ. Καὶ πάραυτα ἔστη ὁ λέων. Οἱ οὖν δύο Γέροντες οἱ ἤδη τελειωθέντες παρεκάλουν τὸν Θεὸν λέγοντες· Δεόμεθά σου, Δέσποτα, συγχώρησον αὐτὸν βρωθῆναι, ἵνα ἔλθῃ μεθ' ἡμῶν ἐν τῇ μακαριότητι ταύτῃ, καὶ μὴ ἐπακούσῃς, Ἅγιε, τοῦ παρακαλοῦντος ὑπὲρ αὐτοῦ ἐν τῇ γῇ.

Ὁ δὲ Γέρων ἐν τῷ κελλίῳ σὺν πάσῃ ἐκτενεῖ εὐχῇ μετὰ δακρύων ἱκέτευε τὸν Θεὸν ἐλεηθῆναι τὸν ἀδελφὸν καὶ ῥυσθῆναι τοῦ λέοντος. Ὑπήκουσε δὲ ὁ Θεὸς τῆς κραυγῆς τοῦ Γέροντος καί φησι πρὸς τοὺς Πατέρας τοὺς ἐν τῷ οὐρανῷ ὄντας· Δίκαιόν ἐστιν ἐκείνου ὑπακοῦσαι. Ὑμεῖς γὰρ ὧδε ἐν ἀνέσει ἐστὲ ἀπαλλαγέντες τῶν πόνων καὶ τῶν ἱδρώτων τοῦ βίου· ἐκεῖνος δὲ κεκμηκὼς ἐν τῷ μόχθῳ τῆς σαρκὸς καὶ ἐν

Οἱ τρεῖς κάνοντας ὑπομονή στήν ἄσκηση ζοῦσαν ὡς ἡσυχαστές στήν ἔρημο. Ὁ ἄλλος τούς ὑπηρετοῦσε στίς ἀνάγκες τους. Οἱ δύο συνέβη νά ἀναπαυθοῦν ἐν Χριστῷ καί νά φύγουν ἀπό τή ζωή καί νά ὁδηγηθοῦν στόν ἴδιο τόπο ἀναπαύσεως. Οἱ ἄλλοι δύο, ὁ διακονητής καί ὁ ἕνας ἡσυχαστής, ἔμειναν στή γῆ.

Ὁ διακονητής ἔπεσε σέ σαρκικό ἁμάρτημα ἀπό ὕπουλη ἐνέργεια τοῦ πονηροῦ δαίμονα. Σέ ἕναν ἀπό τούς διορατικούς ἅγιους Γέροντες ἀποκαλύφθηκε ὅτι οἱ δύο κοιμηθέντες Γέροντες παρακαλοῦσαν τόν Θεό γιά τόν διακονητή καί ἔλεγαν: «Παράδωσε τόν ἀδελφό νά κατασπαραχθεῖ ἀπό λιοντάρι ἤ ἀπό ἄλλο θηρίο, γιά νά ξεπλύνει τήν ἁμαρτία καί νά ἔρθει στόν τόπο πού εἴμαστε, καί νά μήν ἀκυρωθεῖ ἡ συμφωνία μας».

Ὁ ἀδελφός πῆγε γιά τή συνηθισμένη διακονία. Ἐπιστρέφοντας στόν ἡσυχαστή τόν συνάντησε ἕνα λιοντάρι καί ἤθελε νά τόν θανατώσει. Ὁ ἡσυχαστής ἔμαθε τό γεγονός ἀπό ἀποκάλυψη. Στάθηκε σέ προσευχή καί παρακαλοῦσε τόν Θεό γιά τόν ἀδελφό. Τό λιοντάρι ἀμέσως σταμάτησε. Ἀλλά οἱ δύο Γέροντες, πού ἤδη εἶχαν ἀναπαυθεῖ, παρακαλοῦσαν τόν Θεό: «Δέσποτα, σέ παρακαλοῦμε, δῶσε τήν ἄδεια νά κατασπαραχθεῖ, γιά νά ἔρθει μαζί μας σ' αὐτή τή μακαριότητα. Μήν ἀκούσεις, Ἅγιε Θεέ, τήν προσευχή τοῦ ἀδελφοῦ πού παρακαλεῖ γι' αὐτόν στή γῆ».

Ὁ Γέροντας ἀπό τήν ἄλλη στό κελί μέ ἐκτεταμένη προσευχή καί δάκρυα ἱκέτευε τόν Θεό νά ἐλεήσει τόν ἀδελφό καί νά τόν γλυτώσει ἀπό τό λιοντάρι. Ὁ Θεός ἄκουσε τήν κραυγή τοῦ Γέροντα, καί λέει στούς Πατέρες πού ἦταν στόν οὐρανό: «Δίκαιο εἶναι ἐκεῖνον νά ἀκούσω. Ἐσεῖς ἐδῶ εἴσαστε σέ ἄνεση, ἀπαλλαγμένοι ἀπό τούς κόπους καί τούς ἱδρῶτες τῆς ζωῆς, ἐνῶ ἐκεῖνος εἶναι κουρασμένος ἀπό τόν κόπο τῆς ζωῆς καί βρίσκεται σέ παλαί-

πάλαις πρὸς τὰ πνεύματα τῆς πονηρίας. Δίκαιον οὖν ἐστιν ἐκείνῳ δοῦναι τὴν χάριν ἤπερ ὑμῖν.

Εὐθέως οὖν ἀνεχώρησεν ὁ λέων ἀπὸ τοῦ ἀδελφοῦ. Καὶ ἐλθὼν ἐν τῷ κελλίῳ εὗρε τὸν Γέροντα δακρύοντα ὑπὲρ αὐτοῦ. Καὶ διηγήσατο αὐτῷ πάντα τὰ συμβάντα αὐτῷ καὶ ἐξωμολογήσατο τὴν ἁμαρτίαν αὐτοῦ. Καὶ γνοὺς ὅτι ἐφείσατο αὐτοῦ ὁ Θεὸς μετενόησε. Καὶ ἐντὸς ὀλίγου χρόνου ἦλθεν εἰς τὸ ἀρχαῖον μέτρον.

Συνέβη δὲ κοιμηθῆναι ἀμφοτέρους καὶ τελειωθῆναι ἐν Χριστῷ. Καὶ ἀπεκαλύφθη τῷ προρρηθέντι διορατικῷ ἁγίῳ ὅτι οἱ τέσσαρες ἐν ἑνὶ τόπῳ εἰσὶ κατὰ τὰς ἀψευδεῖς ἐπαγγελίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

57. Ἄλλος πάλιν ἀποκρισιάριος κοινοβίου μεγάλου ἦν. Καὶ ἐν τῷ τὰς ἀποκρίσεις ποιεῖν αὐτὸν τοῦ κοινοβίου συνέβη ἐμπεσεῖν εἰς τὸν τῆς ἀκολασίας βόρβορον. Ἐγένετο τοίνυν τελευτῆσαι αὐτόν. Καὶ ἐγένετο τὸ πρόσωπον αὐτοῦ ὡς ἡ ἀσβόλη ἀπὸ χύτρας. Ὁ οὖν τοῦ μοναστηρίου πατήρ, πνευματικὸς ὤν, ὡς εἶδε τὸ γεγονός, συνήγαγε πᾶσαν τὴν ἀδελφότητα λέγων· Ὁ ἀδελφὸς οὗτος ὑπεξῆλθε τὸν βίον. Καὶ οἴδατε ὅτι διὰ τὴν ὑμετέραν ἀνάπαυσιν καὶ ἡσυχίαν ὁλοψύχως ἔκαμνεν ἐν ταῖς ἀποκρίσεσι. Καὶ ὑπεσκελίσθη ὡς ἄνθρωπος ἐκ τοῦ πονηροῦ. Καὶ ἐπειδὴ τῇ προφάσει ἡμῶν ἁμαρτήματι περιέπεσεν, δεῦτε κάμωμεν ἐκτενῶς ὑπὲρ αὐτοῦ καὶ παρακα-

---

44. Ἀποκρισάριος ἤ ἀποκρισιάριος: Στήν ἐκκλησιαστική γλῶσσα οἱ ἀποκρισάριοι ἦσαν κληρικοί, οἱ ὁποῖοι ἐστέλλοντο ὡς ἀντιπρόσωποι ἐπισκόπων πρός Μητροπολίτες καί τόν Πατριάρχη. Ἀργότερα ἀντικαταστάθηκαν μέ λαϊκούς.

Ἡ νομοθεσία τοῦ Ἰουστινιανοῦ προέβλεπε ἀποκρισαρίους καί γιά μοναστηριακές ὑποθέσεις σέ σχέση κυρίως μέ τίς ἐκκλησιαστικές καί πολιτικές

σματα μέ τά πονηρά πνεύματα. Λοιπόν, δίκαιο εἶναι σέ κεῖνον νά δώσω τή χάρη παρά σέ σᾶς».

Ἀμέσως τό λιοντάρι ἔφυγε ἀπό τόν ἀδελφό. Ἐκεῖνος γύρισε στό κελί καί βρίσκει τόν Γέροντα νά χύνει δάκρυα γι᾽ αὐτόν. Τοῦ ἐξιστόρησε ὅ,τι τοῦ συνέβη καί ἐξομολογήθηκε τήν ἁμαρτία του. Ἔμαθε καί ὅτι ὁ Θεός τόν λυπήθηκε καί μετανόησε. Καί μέσα σέ λίγο χρονικό διάστημα ἔφθασε στά πρωτινά μέτρα.

Ἦρθε ἡ ὥρα πού κοιμήθηκαν καί οἱ δύο καί ἡ ζωή τους τελείωσε ἐν Χριστῷ. Στόν διορατικό ἅγιο, πού ἀναφέραμε προηγουμένως, φανερώθηκε ὅτι οἱ τέσσερις βρίσκονται στόν ἴδιο τόπο, σύμφωνα μέ τίς ἀδιάψευστες ὑποσχέσεις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

57. Ἄλλος πάλι ἦταν ἀποκρισιάριος[44] ἑνός μεγάλου κοινοβίου, καί, καθώς ἐκτελοῦσε τίς ἐξωτερικές ὑποθέσεις τοῦ κοινοβίου, συνέβη νά πέσει στόν βοῦρκο τῆς ἀκολασίας. Ἦρθε ἡ ὥρα καί πέθανε. Τό πρόσωπό του ἔγινε ὅπως ἡ καπνιά ἀπό χύτρα.

Ὁ ἡγούμενος τοῦ μοναστηριοῦ, ἄνθρωπος πνευματικός, μόλις εἶδε τό γεγονός, κάλεσε σέ σύναξη ὅλη τήν ἀδελφότητα καί εἶπε: «Ὁ ἀδελφός αὐτός ἔφυγε ἀπ᾽ τή ζωή. Ξέρετε βέβαια ὅτι γιά τή δική σας ἀνάπαυση καί ἡσυχία ὁλόψυχα κουραζόταν στίς ἐξωτερικές ἐργασίες. Ὡς ἄνθρωπος ἔπεσε στήν παγίδα τοῦ πονηροῦ. Ἐπειδή ἀπό δική μας ἀφορμή ἔπεσε σέ ἁμάρτημα, ἐλᾶτε, ἄς κοπιάσουμε μέ προ-

---

ἀρχές. Ἀρχικά ἀνελάμβαναν μοναχοί ἑκάστης μονῆς, ἀπό τούς πλέον ἐναρέτους. Ἀργότερα ἀντεκατεστάθησαν ἀπό λαϊκούς γιά νά μήν ἀπουσιάζουν ἐκ τῆς μονῆς οἱ μοναχοί.

λέσωμεν τὸν φιλάνθρωπον Θεόν· οἱ γὰρ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ἤρξαντο οὖν μετὰ δακρύων νηστεύειν καὶ ἱκετεύειν τὸν Θεὸν ἐλεῆσαι αὐτόν. Καὶ ἐποίησαν τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἄσιτοι πάντες, μηδὲν ἐσθίοντες, ἀλλὰ θρηνοῦντες καὶ ὀλοφυρόμενοι τὴν ἀπώλειαν τοῦ ἀδελφοῦ.

Καὶ γίνεται ὁ ἀββᾶς ἐν ἐκστάσει καὶ θεωρεῖ τὸν Σωτῆρα συμπαθοῦντα τῷ κόπῳ τῶν ἀδελφῶν. Ὁ δὲ διάβολος ἤρξατο κατηγορεῖν καὶ λέγειν· Δέσποτα, ἐμός ἐστιν οὗτος· δέομαί σου, τῶν ἡμετέρων ἐστίν· ἐγὼ συνήργησα αὐτῷ εἰς τὸ ἁμάρτημα· δικαιοκρίτης ὤν, Κύριε, ὁμοίως κρῖνον. Ἀπεκρίθη οὖν ὁ Σωτὴρ λέγων· Δικαιοκρίτης εἰμί, ἀλλὰ καὶ ἐλεήμων. Καὶ πέρας τῆς δικαιοσύνης ἡ ἐλεημοσύνη καὶ ἡ φιλανθρωπία μου τυγχάνει, ἐπεὶ ἐλεήμων εἰμὶ καὶ φιλάνθρωπος. Εὔλογόν ἐστι μὴ παριδεῖν τοσούτων ἁγίων ἀνδρῶν ἱκεσίαν ὑπὲρ ἑνὸς τραυματισθέντος προσαγομένην μοι. Καὶ ταῦτα δι' ἐκείνους αὐτοὺς τοὺς παρακαλοῦντας πεσόντος αὐτοῦ ἐν τῇ ἁμαρτίᾳ. Ἠδύνατο γὰρ καὶ οὗτος ἐν ἡσυχίᾳ μένειν, ὥσπερ καὶ πάντες ἐν τῷ μοναστηρίῳ, καὶ ἄτρωτος φυλαχθῆναι ἀπὸ τῶν βελῶν τοῦ ἐχθροῦ. Ἀλλὰ προφάσει τῆς ἀποκρίσεως τῶν ἀδελφῶν ὡς ἄνθρωπος ὠλίσθησεν.

Ἢ οὐχ ὁρᾷς πῶς πάντες εἰς θάνατον ἔδωκαν ἑαυτοὺς ὑπὲρ αὐτοῦ καὶ πάντες ὑπὲρ τοῦ ἑνὸς ἀποθνῄσκουσιν; Ὅμως μέντοι πεῖσον αὐτοὺς ἀποστῆναι τοῦ παρακαλεῖν με καὶ λάβε αὐτόν. Ἰδέ, τοσαῦται ψυχαὶ κινδυνεύουσι λιμῷ ἀπολέσθαι τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας παρακαλοῦντές με καὶ δεόμενοι μετὰ δακρύων ὑπὲρ αὐτοῦ· μὴ ἀφιστάμενοι ἀπὸ τῶν προσευχῶν ἐν στεναγμῷ καὶ γονυκλισίαις καὶ τῇ σποδῷ ᾗ κατέπασαν τὰς ἑαυτῶν κεφαλὰς τοσοῦτον πλῆθος

45. Ματθ. 5, 45-47.

θυμία γι' αὐτόν κι ἄς παρακαλέσουμε τόν φιλάνθρωπο Θεό, γιατί ἡ εὐσπλαχνία του ἁπλώνεται σ' ὅλα του τά ἔργα»[45].

Ἐκεῖνοι ἄρχισαν μέ δάκρυα νά νηστεύουν καί νά ἱκετεύουν τόν Θεό νά τόν σπλαχνιστεῖ. Τρεῖς μέρες καί τρεῖς νύχτες ἔμειναν ὅλοι νηστικοί, χωρίς νά τρῶνε τίποτε· μόνο θρηνολογοῦσαν κι ἔχυναν δάκρυα γιά τήν ἀπώλεια τοῦ ἀδελφοῦ.

Ὁ ἀββᾶς ἦρθε σέ ἔκσταση. Βλέπει τόν Σωτήρα νά δείχνει συμπάθεια γιά τόν κόπο τῶν ἀδελφῶν. Ἀπό τήν ἄλλη ὁ διάβολος ἄρχισε νά κατηγορεῖ καί νά λέει: «Δέσποτα, δικός μου εἶναι αὐτός· σέ παρακαλῶ, ἀπ' τούς δικούς μου εἶναι· ἐγώ ἤμουν συνεργός του στό ἁμάρτημα. Καθώς εἶσαι δικαιοκρίτης, Κύριε, ἀνάλογα νά κρίνεις». Ὁ Σωτήρ ἀποκρίθηκε: «Εἶμαι δικαιοκρίτης ἀλλά καί ἐλεήμων. Τό πέρας τῆς δικαιοσύνης μου εἶναι τό ἔλεος καί ἡ φιλανθρωπία μου, γιατί εἶμαι ἐλεήμων καί φιλάνθρωπος. Λογικό εἶναι νά μήν ἀδιαφορήσω γιά τήν ἱκεσία τόσων ἁγίων ἀνδρῶν, πού εὔχονται σέ μένα γιά ἕναν τραυματισμένο, ὁ ὁποῖος μάλιστα ἔπεσε στήν ἁμαρτία, γιά νά ἐξυπηρετήσει αὐτούς τούς ἴδιους πού παρακαλοῦν. Εἶναι ἀλήθεια ὅτι κι αὐτός μποροῦσε νά μένει στήν ἡσυχία –ὅπως ἔκαναν ὅλοι στό μοναστήρι– καί νά μήν πληγωθεῖ ἀπό τά βέλη τοῦ ἐχθροῦ· ἀλλά μέ ἀφορμή τίς ἐξωτερικές ὑποθέσεις τοῦ μοναστηριοῦ γλίστρησε ὡς ἄνθρωπος.

Ἤ δέν βλέπεις ὅτι γιά χάρη του ὅλοι ἀψηφοῦν τόν θάνατο καί ὅλοι γιά τόν ἕναν πεθαίνουν; Ὅμως, τουλάχιστον νά τούς πείσεις νά σταματήσουν νά μέ παρακαλοῦν, καί τότε πάρ' τον. Δές, τόσες ψυχές κινδυνεύουν νά πεθάνουν ἀπό πείνα, καθώς τρεῖς μέρες καί τρεῖς νύχτες μέ παρακαλοῦν καί ἱκετεύουν γι' αὐτόν μέ δάκρυα. Δέν σταματοῦν τίς προσευχές μέ στεναγμούς καί γονυκλισίες, καί μέ τό κεφάλι πασπαλισμένο μέ στάχτη μέ παρακαλεῖ τόσο πλῆθος.

παρακαλεῖ. Καὶ ταῦτα μὴ κατὰ σκοπὸν καὶ μελέτην ἀποστασίας ἁμαρτήσαντος τοῦ ἀδελφοῦ, ἀλλὰ κατὰ συναρπαγὴν πεσόντος ἐν τῇ ἁμαρτίᾳ ὡς ἀνθρώπου, οὐκ εὔλογόν ἐστιν ἀπολαῦσαι αὐτοὺς τῆς αἰτήσεως αὐτῶν;

Εἰ γὰρ τοῖς ἐπὶ γῆς βασιλεῦσιν, ἐὰν ἡ πόλις ὁλόκληρος ἴδῃ κατάδικόν τινα ἀπαγόμενον ἐπὶ θάνατον, ἀνακαλεῖται τὴν βασιλικὴν ψῆφον ἡ ἱκεσία τοῦ πλήθους καὶ ἐξαρπάζει τῶν τοῦ δημίου χειρῶν τὸν ὑπεύθυνον, πόσῳ μᾶλλον ἐγὼ ὁ Βασιλεὺς ὁ ὄντως δίκαιος καὶ φιλάνθρωπος χαρίσομαι τοῖς ἐμοῖς στρατιώταις τὴν ὑπὲρ τοῦ ἑνὸς αἴτησιν καὶ ἱκετηρίαν μοι προσφερομένην!

Ταῦτα τοῦ Κυρίου εἰπόντος κατῃσχύνθη ὁ διάβολος καὶ ἀφανὴς ἐγένετο. Ὡς δὲ ἐπανῆλθεν ἀπὸ τῆς ἐκστάσεως ὁ ἀββᾶς τῆς μονῆς, διηγήσατο πάντα τοῖς ἀδελφοῖς καὶ ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Καὶ ἤρξατο τὸ πρόσωπον τοῦ ἀδελφοῦ κατὰ μικρὸν ἀποκαθαίρεσθαι τῆς μελανίας καὶ γέγονεν ὅλον καθαρόν. Καὶ πληροφορηθέντες ὅτι ἔταξεν ὁ Θεὸς τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κλήρῳ τῶν σῳζομένων, συνεκόμισαν τὸ λείψανον καὶ ἔθαψαν αὐτὸ καὶ ἠγαλλιάσαντο ἐπὶ τῇ γενομένῃ παραδόξῳ σωτηρίᾳ τοῦ ἀδελφοῦ, ὅτι ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

58. Διηγήσατο δὲ ὁ αὐτὸς Γέρων καὶ περί τινος ἐπισκόπου, ἵνα μάλιστα καὶ ἐξ ἐκείνου τὸ θάρσος λαβόντες τῆς ἑαυτῶν γενώμεθα σωτηρίας. Ἠγγέλλετο παρά τινων τῷ παρ᾽ ἡμῖν ἐπισκόπῳ, ὡς αὐτὸς ταῦτα ἔφασκε, τινὰς τῶν κοσμικῶν δύο ἐλευθέρας γυναῖκας, πιστάς, μὴ σωφρόνως βιοῦν. Ὁ δὲ ἐπίσκοπος ὑπὸ τῶν ἀπαγγειλάντων παθών τι ἀνθρώπινον, ὑποτοπάσας δὲ καὶ περὶ ἑτέρων τοῦτο, ἐπὶ παράκλησιν

46. Ψαλμ. 144, 18.

Καί παίρνοντας ὑπόψιν ὅτι ὁ ἀδελφός δέν ἁμάρτησε κατόπιν προμελέτης ἔχοντας σκοπό του τήν ἀποστασία, ἀλλά ὅτι ἀπό ἀπροσεξία ὡς ἄνθρωπος ἔπεσε στήν ἁμαρτία, δέν ἁρμόζει νά πετύχουν αὐτοί αὐτό πού ζητοῦν;

Ἄν στούς ἐπίγειους βασιλεῖς, καί τή στιγμή ἀκόμη πού ἡ πόλη ὁλόκληρη βλέπει ἕναν κατάδικο νά ὁδηγεῖται στόν θάνατο, ἡ ἱκεσία τοῦ πλήθους ἀκυρώνει τή βασιλική ἀπόφαση καί ἁρπάζει μέσα ἀπό τά χέρια τῶν δημίων τόν κατάδικο, πόσο περισσότερο ἐγώ ὁ Βασιλιάς, ὁ ἀπόλυτα δίκαιος καί φιλάνθρωπος, θά ἱκανοποιήσω τῶν στρατιωτῶν μου τό αἴτημα καί τήν ἱκεσία πού μοῦ προσφέρουν γιά τόν ἕνα!»

Μ᾽ αὐτά τά λόγια τοῦ Κυρίου ντροπιάστηκε ὁ διάβολος κι ἔγινε ἄφαντος. Ὅταν ὁ ἀββᾶς τῆς μονῆς συνῆλθε ἀπό τήν ἔκσταση, τά διηγήθηκε ὅλα στούς ἀδελφούς καί χάρηκαν πάρα πολύ.

Συγχρόνως τό πρόσωπο τοῦ ἀδελφοῦ ἄρχισε λίγο-λίγο νά καθαρίζει ἀπό τή μαυρίλα κι ἔγινε ὁλόκληρο καθαρό. Οἱ ἀδελφοί, ἀφοῦ πληροφορήθηκαν ὅτι ὁ Θεός ἔταξε τήν ψυχή του στόν κλῆρο τῶν σωζομένων, πῆραν τό λείψανο καί τό ἔθαψαν. Ἔνιωσαν ἀγαλλίαση γιά τήν παράδοξη σωτηρία τοῦ ἀδελφοῦ καί βεβαιώθηκαν ὅτι ὁ Κύριος εἶναι κοντά σέ ὅλους, πού τόν ζητοῦν μέ εἰλικρίνεια[46].

58. Ὁ ἴδιος Γέροντας ἀναφέρθηκε καί σέ κάποιον ἐπίσκοπο, ὥστε ἐμψυχωμένοι κι ἀπό κεῖνον νά ἀφοσιωθοῦμε στό ἔργο τῆς σωτηρίας μας.

Κάποιοι ἀνήγγειλαν στόν ἐπίσκοπό μας –ὅπως ὁ ἴδιος ἀφηγοῦνταν– ὅτι δύο γυναῖκες λαϊκές, πού δέν προέρχονταν ἀπό τήν τάξη τῶν δούλων, πιστές, δέν ζοῦν μέ σωφροσύνη. Ὁ ἐπίσκοπος ὅμως ἐπειδή ἀπ᾽ αὐτούς πού τοῦ τά ἀνήγγειλαν παρασύρθηκε σάν ἄνθρωπος, καί συγχρόνως ὑποψιάσθηκε ὅτι κάτι τέτοιο συμβαίνει καί μέ ἄλλους πι-

Θεοῦ ἤει, ἐκεῖθεν τὸ ἀκριβὲς ἀξιῶν μαθεῖν, οὗπερ καὶ ἔτυχε.

Μετὰ γὰρ τὴν θείαν καὶ φοβερὰν ἐκείνην προσκομιδήν, τῶν προσιόντων εἰς μετάληψιν τῶν ἁγίων μυστηρίων τὰς ψυχὰς ἑώρα διὰ τῶν ὄψεων, ὁποίαις ἑκάστη ὑπόκειται ἁμαρτίαις. Καὶ τῶν ἁμαρτωλῶν ἑώρα τὰς ὄψεις καθάπερ ἀσβόλην, τινὰς δὲ αὐτῶν δίκην ἀποκαύματος τὸ πρόσωπον ἔχοντας, τοὺς δὲ ὀφθαλμοὺς πυρώδεις καὶ ὑφαίμους, ἑτέρους δὲ αὐτῶν λαμπροὺς μὲν τὴν ὄψιν, λευκοὺς δὲ τὴν ἐσθῆτα. Καὶ τοῖς μὲν ἄλλοις ὡς μετεδίδου τοῦ Κυρίου τὸ σῶμα περιφλέγειν αὐτούς φησι καὶ διακαίειν, τῶν δὲ ὥσπερ φῶς γινομένων ἐκ τοῦ διὰ στόματος αὐτῶν εἰσιόντος μαργαρίτου καὶ ἅπαν τὸ σῶμα αὐτῶν καταλάμπειν. Ἦσαν δὲ ἐν αὐτοῖς, φησιν, καὶ τῶν τὸν μονήρη βίον ἐπανῃρημένων καὶ τῶν ἐν συζυγίαις, οἳ ἔπασχον ταῦτα.

Εἶτα, φησίν, ὁρμᾷ καὶ ταῖς γυναιξὶν αὐτὸς μεταδοῦναι, ὅπως ἂν γνῷ οἷαι καὶ αὐταὶ τυγχάνουσι τὴν ψυχήν. Καὶ ὁρᾷ καὶ ἐν αὐταῖς τὸν ὅμοιον τρόπον γινόμενον, πρόσωπα μέλανά τε καὶ ὕφαιμα καὶ πυρώδη καὶ λευκά. Ἐν ταύταις δὲ παραγίνονται καὶ αἱ δύο γυναῖκες ἐκεῖναι, ἃς διέβαλον τῷ ἐπισκόπῳ, δι᾽ ἃς καὶ μάλιστα ἐπὶ τὴν τοιαύτην εὐχὴν ἐλήλυθεν ὁ ἐπίσκοπος. Καὶ ὁρᾷ καὶ αὐτὰς ἐν τῇ προσελεύσει τῶν ἁγίων τοῦ Θεοῦ μυστηρίων, λαμπρὸν μὲν καὶ ἔντιμον ἐχούσας τὸ πρόσωπον, λευκὴν δὲ τὴν ἐσθῆτα περιβεβλημένας. Εἶτα μεταλαβούσας καὶ αὐτὰς τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων ἐγένετο ὡς ὑπὸ φωτὸς καταλάμπεσθαι.

Ὁ δὲ πάλιν ἐπὶ τὴν συνήθη τοῦ Θεοῦ ἱκεσίαν ἐτρέπετο μαθεῖν ἀξιῶν τῶν δεδειγμένων αὐτῷ ἀποκαλύψεων τὸν τρόπον. Παραστὰς δὲ αὐτῷ ἄγγελος Κυρίου περὶ ἑκάστου ἐρωτᾶν ἐκέλευεν. Ὁ δὲ ἐπίσκοπος εὐθέως περὶ τῶν δύο ἐκείνων

στούς, κατέφυγε στόν Θεό, ζητώντας μέ ἐπιμονή ἀπό κεῖ νά μάθει τήν ἀλήθεια, πράγμα πού τό πέτυχε.

Μετά δηλαδή ἀπό τή θεία καί φοβερή ἐκείνη προσκομιδή πού ἔκανε, ἔβλεπε μέσα ἀπό τά πρόσωπα τίς ψυχές ἐκείνων πού ἔρχονταν νά μεταλάβουν τά ἅγια μυστήρια, σέ ποιές ἁμαρτίες εἶναι ἔνοχη καθεμιά. Τήν ὄψη τῶν ἁμαρτωλῶν τήν ἔβλεπε σάν καπνιά. Ἄλλοι ἀπ᾽ αὐτούς εἶχαν τό πρόσωπο σάν καμμένο, ἄλλοι τά μάτια κατακόκκινα καί ματωμένα. Καί ἄλλοι ἦσαν φωτεινοί στήν ὄψη καί ντυμένοι λευκό ἔνδυμα. Καί τήν ὥρα πού μετέδιδε ὁ ἐπίσκοπος τό σῶμα τοῦ Κυρίου, ἔβλεπε ἄλλους νά τούς περιβάλλει φλόγα καί νά τούς κατακαίει, ἐνῶ οἱ ἄλλοι νά γίνονται σάν φῶς ἀπό τόν μαργαρίτη πού ἔπαιρναν στό στόμα τους, καί ὅλο τό σῶμα τους νά φεγγοβολάει. Σ᾽ αὐτούς πού τά πάθαιναν αὐτά, ἀνῆκαν –λέει– καί μοναχοί καί παντρεμένοι.

Ἔπειτα στράφηκε –λέει– νά κοινωνήσει ὁ ἴδιος καί τίς γυναῖκες, γιά νά μάθει κι αὐτές τί λογῆς εἶναι στήν ψυχή. Βλέπει καί σ᾽ αὐτές νά ἰσχύει τό ἴδιο: πρόσωπα μαῦρα καί ματωμένα καί κόκκινα καί λευκά. Ἀνάμεσά τους ἦταν κι ἐκεῖνες οἱ δυό γυναῖκες, πού τίς εἶχαν κατηγορήσει στόν ἐπίσκοπο, γιά τίς ὁποῖες κυρίως εἶχε ἔρθει στό σημεῖο ὁ ἐπίσκοπος νά κάνει μιά τέτοια προσευχή. Τίς βλέπει κι αὐτές, τήν ὥρα πού προσέρχονταν στά ἅγια μυστήρια τοῦ Θεοῦ, νά ἔχουν τό πρόσωπο λαμπρό καί ἄξιο τιμῆς καί νά εἶναι ντυμένες μέ λευκό ἔνδυμα. Ἔπειτα, ἀφοῦ μετάλαβαν κι αὐτές τά ἅγια μυστήρια τοῦ Χριστοῦ, φάνηκε νά λάμπουν μέσα σέ φῶς.

Ὁ ἐπίσκοπος στράφηκε πάλι στή συνηθισμένη ἱκεσία πρός τόν Θεό, ζητώντας τή σημασία τῶν ἀποκαλύψεων πού τοῦ εἶχαν φανερωθεῖ. Ἦρθε κοντά του ἄγγελος Κυρίου καί τόν παρήγγελε νά τόν ρωτάει γιά τό καθετί. Ὁ ἐπίσκοπος

ἠρώτα γυναικῶν, εἰ ἄρα ἀληθὴς ὑπάρχει ἡ προτέρα αὐτῶν διαβολὴ ἢ ψευδής. Ὁ δὲ ἄγγελος ἐπέφηνεν ἀληθῆ εἶναι πάντα τὰ περὶ αὐτῶν λεχθέντα. Ὁ δὲ ἐπίσκοπος ἔφη πρὸς τὸν ἄγγελον· Καὶ πῶς ἐν τῇ μεταλήψει τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων λαμπραὶ μὲν τὴν ὄψιν ὑπῆρχον, λευκὴν δὲ τὴν ἐσθῆτα εἶχον, φωτὸς δὲ ἀπέστιλβον οὐκ ὀλίγου;

Ὁ δὲ ἄγγελος εἶπεν ὅτιπερ εἰς αἴσθησιν ἐλθοῦσαι τῶν πεπραγμένων αὐταῖς καὶ ἀποστᾶσαι τούτων, δάκρυσι καὶ στεναγμοῖς καὶ ἐλεημοσύναις πενήτων καὶ δι᾽ ἐξομολογήσεως τῶν θείων ἔτυχον καταλλαγῶν, τοῦ λοιποῦ μηκέτι τοῖς αὐτοῖς περιπίπτειν ἐπαγγειλάμεναι, εἴπερ ἐπὶ τοῖς προτέροις ἁμαρτήμασι τύχοιεν συγγνώμης. Καὶ τετυχήκασι δὲ διὰ τούτων τῆς θείας καταλλαγῆς καὶ τῶν ἐγκλημάτων ἀπελύθησαν. Ζῶσι δὲ τοῦ λοιποῦ σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς.

Ὁ δὲ ἐπίσκοπος θαυμάζειν, ἔφησεν, οὐ τὴν μεταβολὴν τῶν γυναικῶν τοσοῦτον –τοῦτο γὰρ πολλοῖς συνέβη γενέσθαι– ἀλλὰ τὴν τοῦ Θεοῦ δωρεάν, ὡς οὐ μόνον αὐταῖς τιμωρίαις οὐχ ὑπηγάγετο, ἀλλὰ καὶ τοσαύτης ἠξίωσε χάριτος. Καὶ ὁ ἄγγελος ἔφη πρὸς αὐτόν· Θαυμάζεις τοῦτο; Δικαίως· ἄνθρωπος γὰρ τυγχάνεις. Ὁ δὲ Δεσπότης, ἡμῶν τε καὶ ὑμῶν Θεός, φύσει ὢν ἀγαθὸς καὶ φιλάνθρωπος, τοῖς παυομένοις τῶν οἰκείων πλημμελημάτων καὶ δι᾽ ἐξομολογήσεως προσπίπτουσιν αὐτῷ οὐ μόνον εἰς κόλασιν οὐ πέμπει, ἀλλὰ καὶ τὴν ὀργὴν παύει καὶ τιμῆς ἀξιοῖ. Καὶ γὰρ οὕτως ἀγαπᾷ ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ὑπὲρ αὐτοῦ. Ὁ τοίνυν ὑπὲρ ἐχθρῶν ἀποθανεῖν ἑλόμενος, οὐ πολλῷ μᾶλλον οἰκείους αὐτῷ γινομένους καὶ μεταμελομένους ἐφ᾽

47. Ἰω. 3, 16. 48. Ρωμ. 5, 6-11. 49. Πρβλ. Ἰω. 5, 24.

ἀμέσως ρώτησε γιά κεῖνες τίς δυό γυναῖκες ἄν εἶναι ἀληθινή ἡ προηγούμενη σέ βάρος τους κατηγορία ἤ ψεύτικη. Ὁ ἄγγελος βεβαίωσε ὅτι ὅλα ὅσα εἶπαν γι᾽ αὐτές εἶναι ἀληθινά. Καί ὁ ἐπίσκοπος ρώτησε τόν ἄγγελο: «Τότε, πῶς κατά τή μετάληψη τῶν ἁγίων μυστηρίων τοῦ Χριστοῦ ἦταν λαμπρές στήν ὄψη, εἶχαν ἄσπρη τήν ἐνδυμασία καί ἔλαμπαν μέσα σέ πολύ φῶς;»

Ὁ ἄγγελος ἀπάντησε ἀκριβῶς ὅτι, ἀφοῦ συναισθάνθηκαν αὐτά πού εἶχαν κάνει καί ἀπομακρύνθηκαν ἀπ᾽ αὐτά, μέ δάκρυα, στεναγμούς καί ἐλεημοσύνες στούς φτωχούς καί μέ ἐξομολόγηση, πέτυχαν τή θεία συγχώρηση. Καί ὑποσχέθηκαν στό ἑξῆς νά μήν περιπέσουν πλέον στά ἴδια, ἄν βέβαια βροῦν συγχώρηση γιά τά προηγούμενα ἁμαρτήματα. Μέ ὅλα αὐτά ἔχουν πετύχει τή θεία συμφιλίωση καί ἀπαλλάχθηκαν ἀπό τήν κατηγορία. Τώρα πλέον ζοῦν μέ σύνεση, σύφωνα μέ τόν νόμο τοῦ Θεοῦ καί μέ εὐσέβεια.

Ὁ ἐπίσκοπος εἶπε ὅτι δέν θαυμάζει τόσο τήν ἀλλαγή τῶν γυναικῶν –αὐτό μέ πολλούς ἔχει γίνει– ἀλλά τή δωρεά τοῦ Θεοῦ, γιατί ὄχι μόνο δέν τίς τιμώρησε ἀλλά τίς ἔκανε κι ἄξιες γιά τόση χάρη. Ὁ ἄγγελος τοῦ εἶπε: «Αὐτό θαυμάζεις; Δικαιολογημένα βέβαια, ἀφοῦ εἶσαι ἄνθρωπος. Ὁ Δεσπότης, καί δικός μας καί δικός σας Θεός, ἀπό τή φύση του ἀγαθός καί φιλάνθρωπος, αὐτούς πού παύουν νά διαπράττουν τά ἁμαρτήματά τους καί μέ ἐξομολόγηση πέφτουν στά πόδια Του, ὄχι μόνο δέν τούς στέλνει γιά νά τιμωρηθοῦν, ἀλλά καί τήν ὀργή παύει καί τούς κάνει ἄξιους γιά τιμή. Καί αὐτό συμβαίνει, ἀκριβῶς διότι τόσο ἀγαπᾶ ὁ Θεός τόν κόσμο, ὥστε τόν Υἱό του τόν μονογενή παρέδωσε στόν θάνατο γιά χάρη του[47]. Λοιπόν, ἐκεῖνος πού διάλεξε νά πεθάνει γιά χάρη τῶν ἐχθρῶν του[48], αὐτός πολύ περισσότερο δέν θά ἀπαλλάξει ἀπό τίς τιμωρίες αὐτούς πού ἔγιναν δικοί του καί μετάνιωσαν γιά ὅσα ἔκαναν[49]; Καί δέν

οἷς διεπράξαντο, λύσει μὲν τὰς τιμωρίας, τῶν δὲ παρ' αὐτοῦ εὐτρεπισμένων ἀγαθῶν παρέξει τὴν ἀπόλαυσιν;

Τοῦτο τοίνυν ἴσθι, εἰδὼς ὡς οὐδὲν τῶν ἀνθρωπίνων ἁμαρτημάτων νικᾷ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, μόνον ἐὰν διὰ τῆς μετανοίας ἃ πρότερον ἔπραξέ τις ἀπαλείψῃ κακά. Φιλάνθρωπος γὰρ ὢν ὁ Θεὸς ἐπίσταται τὴν ἀσθένειαν τοῦ ὑμετέρου γένους καὶ τῶν παθῶν τὴν ἰσχὺν καὶ τὴν τοῦ διαβόλου δύναμιν καὶ κακουργίαν. Καὶ πίπτουσι μὲν τοῖς ἀνθρώποις εἰς ἁμαρτίαν ὡς υἱοῖς συγγινώσκει καὶ ἀναμένει τὴν διόρθωσιν μακροθυμῶν ἐπ' αὐτοῖς, μεταβαλλομένοις δὲ καὶ τῆς αὐτοῦ δεομένοις ἀγαθότητος, ὡς ἀσθενέσι συμπαθεῖ καὶ λύει παραυτίκα τὰς τιμωρίας καὶ χαρίζεται αὐτοῖς τὰ ἡτοιμασμένα τοῖς δικαίοις ἀγαθά.

Ἔφη δὲ ὁ ἐπίσκοπος τῷ ἀγγέλῳ· Λέξον μοι λοιπὸν καὶ τὴν τῶν προσώπων διαφοράν, δέομαί σου. Ἐπὶ ποίοις ἁμαρτήμασιν ἕκαστος αὐτῶν διάκειται, ἵνα καὶ περὶ τούτων μαθὼν πάσης ἀγνοίας ἀπαλλαγῶ.

Ὁ δὲ ἄγγελος Κυρίου λέγει πρὸς αὐτόν· Οἱ μὲν λαμπροί, φησί, καὶ φαιδροὶ τὰς ὄψεις ἐν σωφροσύνῃ καὶ ἁγνείᾳ καὶ δικαιοσύνῃ ζῶσιν, ἐπιεικεῖς τε καὶ συμπαθεῖς καὶ ἐλεήμονές εἰσιν. Οἱ δὲ μέλαινας ἔχοντες τὰς ὄψεις πορνείας καὶ ἀσελγείας εἰσὶν ἐργάται καὶ τῆς ἄλλης ἀσωτίας καὶ τρυφῆς. Οἱ δὲ φανέντες ὕφαιμοι καὶ πυρώδεις πονηρίᾳ καὶ ἀδικίᾳ εἰσὶ συζῶντες, φιλολοίδοροί τε καὶ βλάσφημοι, δόλιοί τε καὶ φόνιοι τυγχάνουσι.

Καὶ λέγει αὐτῷ πάλιν ὁ ἄγγελος· Βοήθησον τοίνυν αὐτοῖς, εἴπερ τὴν αὐτῶν σωτηρίαν ἐπιποθεῖς. Καὶ γὰρ διὰ τοῦτο, φησί, τετύχηκας τῶν οἰκείων εὐχῶν, ἵνα, ὄψει μαθὼν τὰς τῶν μαθητευομένων ἁμαρτίας, ταῖς νουθεσίαις καὶ ταῖς παραινέσεσι βελτίους ποιήσῃς διὰ μετανοίας αὐτοὺς τῷ

50. Ματθ. 25, 34.

θά τούς δώσει νά ἀπολαύσουν τά ἀγαθά πού ἔχει ἑτοιμάσει ὁ Ἴδιος[50];

Αὐτό νά ξέρεις καλά, ὅτι κανένα ἀπό τά ἀνθρώπινα ἁμαρτήματα δέν νικᾶ τή φιλανθρωπία τοῦ Θεοῦ· ἀρκεῖ νά ἐξαλείψει κανείς μέ τή μετάνοια τά κακά πού ἔκανε προηγουμένως. Ὁ Θεός, ὡς φιλάνθρωπος πού εἶναι, γνωρίζει τήν ἀδυναμία τοῦ γένους σας καί τή δύναμη τῶν παθῶν καί τήν μεγάλη κακουργία τοῦ διαβόλου. Γι' αὐτό, ὅταν οἱ ἄνθρωποι πέφτουν σέ ἁμαρτήματα, τούς συγχωρεῖ σάν παιδιά του καί δείχνοντας μακροθυμία περιμένει τή διόρθωσή τους. Ὅταν ἀλλάζουν καί προσεύχονται στήν ἀγαθότητά του, αἰσθάνεται συμπάθεια σάν ἀσθενεῖς πού εἶναι καί σταματάει ἀμέσως τίς τιμωρίες. Ἐπίσης τούς χαρίζει τά ἀγαθά πού ἔχει ἑτοιμάσει γιά τούς δικαίους.

Εἶπε ὁ ἐπίσκοπος στόν ἄγγελο: «Σέ παρακαλῶ νά μοῦ διευκρινίσεις καί τή διαφορά τῶν προσώπων· ὁ καθένας ἀπ' αὐτούς σέ ποιά ἁμαρτήματα βρίσκεται, γιά νά τά μάθω κι αὐτά καί νά μήν ἔχω ἄγνοια γιά καμιά περίπτωση».

«Οἱ λαμπροί καί χαρωποί στήν ὄψη –τοῦ λέει ὁ ἄγγελος τοῦ Κυρίου– ζοῦν μέ σεμνότητα, μέ ἁγιότητα καί δικαιοσύνη. Εἶναι καί ἐπιεικεῖς, δείχνουν συμπάθεια στούς ἄλλους καί εἶναι ἐλεήμονες. Ἐκεῖνοι πού ἔχουν μαῦρα τά πρόσωπα ὑπηρετοῦν τήν πορνεία, τήν ἀσέλγεια καί γενικά τήν ἄσωτη καί ἡδυπαθή ζωή. Ὅσοι φάνηκαν ματωμένοι καί κόκκινοι σάν φωτιά εἶναι ἐκεῖνοι πού ἡ ζωή τους ἔχει γίνει ἕνα μέ τήν πονηρία καί ἀδικία, εἶναι φιλοκατήγοροι, βλάσφημοι, πανοῦργοι καί αἱμοβόροι».

Ὁ ἄγγελος συμπλήρωσε: «Βοήθησέ τους, ἄν βέβαια ποθεῖς πολύ τή σωτηρία τους. Ἐξάλλου γι' αὐτό τόν λόγο ἔγιναν δεκτές οἱ προσευχές σου· ἀφοῦ ἀπό τήν ὄψη τους ἔμαθες τίς ἁμαρτίες τῶν μαθητευομένων, νά τούς κάνεις μέ τίς συμβουλές καί τίς νουθεσίες σου νά γίνουν καλύτεροι,

ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι ἐκ νεκρῶν Χριστῷ τῷ Κυρίῳ ἡμῶν.

Ὅση σοι τοίνυν ἐστὶ δύναμις καὶ σπουδὴ καὶ ἀγάπη περὶ τὸν σὸν Δεσπότην Χριστόν, πᾶσαν πρόνοιαν αὐτῶν ποιοῦ ἐπιστρέφειν αὐτοὺς ἐκ τῶν οἰκείων ἁμαρτημάτων πρὸς τὸν Θεὸν πείθων τε αὐτοὺς ὁποίων ἁμαρτημάτων ὑποχείριοί εἰσι καὶ μὴ τῆς ἑαυτῶν ἀμελῶσι σωτηρίας. Ἔσται γὰρ ἐκ τούτου ἐκείνοις μὲν μετανοοῦσι καὶ ἐπιστρέφουσι πρὸς τὸν Θεὸν ψυχῆς σωτηρία καὶ ἀπόλαυσις τῶν μελλόντων ἀγαθῶν, σοὶ δὲ πολὺς ὁ μισθὸς μιμησαμένῳ τὸν οἰκεῖον Δεσπότην, τὸν οὐρανοὺς μὲν καταλείψαντα, τὰς δὲ ἐπὶ γῆς διατριβὰς ποιησάμενον διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν.

59. Ἔλεγον περί τινος ἀδελφοῦ ὅτι γενομένης συνάξεως ἐν ἡμέρᾳ Κυριακῇ ἀνέστη κατὰ τὸ ἔθος ἀπελθεῖν εἰς τὴν ἐκκλησίαν. Καὶ ἐχλεύασεν αὐτὸν ὁ διάβολος λέγων αὐτῷ ὅτι· Ποῦ ἀπέρχῃ εἰς τὴν ἐκκλησίαν, ἵνα μεταλάβῃς ἄρτου καὶ οἴνου, καὶ εἴπωσιν οἱ ἄνθρωποι ὅτι σῶμα καὶ αἷμα τοῦ Κυρίου ἐστί; Μὴ χλευάζου. Ὁ δὲ ἀδελφὸς ἐπείσθη τῷ λογισμῷ καὶ οὐκ ἀπῆλθε κατὰ τὸ ἔθος εἰς τὴν ἐκκλησίαν. Τῶν δὲ ἀδελφῶν τῶν λοιπῶν ἐκδεχομένων τὸν ἀδελφόν –οὕτω γὰρ ἦν τὸ ἔθος τῆς ἐπισήμου Κυριακῆς· οὐ γὰρ ἐποίουν τὴν σύναξιν, ἕως οὗ πάντες ἦλθον– ἐπιμενόντων δὲ αὐτῶν ἐπὶ πλεῖον κἀκείνου μὴ ἐρχομένου, ἀναστάντες ἔρχονται πρὸς αὐτὸν λέγοντες· Ἆρα μὴ ἀσθενεῖ ἢ ἀπέθανεν; Ὡς δὲ ἦλθον εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ, ἐπυνθάνοντο λέγοντες· Διατί οὐκ ἦλθες εἰς τὴν ἐκκλησίαν, ἀδελφέ; Ὁ δὲ ἀδελφὸς ᾐσχύνετο ἀπαγγεῖλαι αὐτοῖς. Ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ τὴν τοῦ διαβόλου κακοβουλίαν καὶ τέχνην αὐτοῦ τοῦτο εἶναι ἔβαλον αὐτῷ μετάνοιαν, ἵνα αὐτοῖς ὁμολογήσῃ τὴν τοῦ διαβόλου κακοτεχνίαν.

δείχνοντας μετάνοια στόν Χριστό, τόν Κύριό μας, πού πέθανε γι' αὐτούς καί ἀναστήθηκε ἀπό τούς νεκρούς.

Μέ ὅση δύναμη καί προθυμία κι ἀγάπη ὑπάρχει μέσα σου γιά τόν Δεσπότη σου Χριστό, φρόντισε μέ κάθε τρόπο νά ἐπιστρέφουν αὐτοί ἀπό τίς ἁμαρτίες τους στόν Θεό, κατατοπίζοντάς τους σέ ποιά ἁμαρτήματα εἶναι ὑποδουλωμένοι καί παρακινώντας τους νά μή δείχνουν ἀδιαφορία γιά τή σωτηρία τους. Ἀπ' αὐτή σου τήν προσπάθεια, γιά κείνους θά προέλθει σωτηρία ψυχῆς καί ἀπόλαυση τῶν μελλόντων ἀγαθῶν, καθώς θά μετανοοῦν καί θά ἐπιστρέφουν στόν Θεό. Καί σέ σένα μεγάλος θά εἶναι ὁ μισθός, ἐφόσον μιμεῖσαι τόν Δεσπότη σου, πού ἄφησε τούς οὐρανούς καί ἔζησε στή γῆ, γιά τή σωτηρία τῶν ἀνθρώπων».

59. Ἔλεγαν γιά κάποιον ἀδελφό ὅτι μιά Κυριακή, ὅταν ἦταν νά γίνει ἡ Λειτουργία, σηκώθηκε ὅπως συνήθως νά πάει στήν ἐκκλησία. Ὁ διάβολος ὅμως τόν περιέπαιξε λέγοντάς του: «Τί πηγαίνεις στήν ἐκκλησία; Γιά νά μεταλάβεις ψωμί καί κρασί, καί οἱ ἄνθρωποι νά ποῦν ὅτι εἶναι σῶμα καί αἷμα τοῦ Κυρίου; Μή ξεγελιέσαι». Ὁ ἀδελφός πείσθηκε στόν λογισμό καί δέν πῆγε στήν ἐκκλησία ὅπως συνήθιζε. Ἐνῶ οἱ ἄλλοι ἀδελφοί περίμεναν τούς ἀδελφούς –ἔτσι συνήθιζαν τήν ἐπίσημη μέρα τῆς Κυριακῆς· δέν ἄρχιζαν τήν Λειτουργία, μέχρις ὅτου ἔρθουν ὅλοι– καθώς λοιπόν αὐτοί περίμεναν ἀρκετά κι ἐκεῖνος δέν ἐρχόταν, σηκώθηκαν καί πῆγαν σ' αὐτόν μέ τή σκέψη, μήπως εἶναι ἄρρωστος ἤ πέθανε. Ὅταν ἔφτασαν στό κελί τοῦ ἀδελφοῦ, τόν ρώτησαν: «Γιατί, ἀδελφέ, δέν ἦρθες στήν ἐκκλησία;» Ὁ ἀδελφός ντρεπόταν νά τούς πεῖ τά σχετικά. Κατάλαβαν ὅμως ὅτι αὐτό ἦταν μοχθηρία καί τέχνασμα τοῦ διαβόλου καί τοῦ ἔβαλαν μετάνοια, γιά νά τούς ὁμολογήσει τήν πανουργία τοῦ διαβόλου.

Ὁ δὲ ἀπήγγειλεν αὐτοῖς λέγων· Συγχωρήσατέ μοι, Πατέρες, ὅτι ἀνέστην κατὰ τὸ ἔθος ἐλθεῖν εἰς τὴν ἐκκλησίαν, καὶ εἶπέ μοι ὁ λογισμὸς ὅτι οὐκ ἔστι σῶμα καὶ αἷμα ὃ ὑπάγεις μεταλαβεῖν, ἀλλὰ ἄρτος καὶ οἶνος. Εἰ οὖν θέλετε, ἵνα ἔλθω μεθ' ὑμῶν εἰς τὴν ἐκκλησίαν, θεραπεύσατέ μου τὸν λογισμὸν περὶ τῆς ἁγίας προσφορᾶς. Οἱ δὲ εἶπον αὐτῷ· Ἀνάστα, ἐλθὲ μεθ' ἡμῶν εἰς τὴν ἐκκλησίαν, καὶ ἡμεῖς παρακαλοῦμεν τὸν Θεόν, ἵνα σοι δείξῃ τὴν θείαν δύναμιν κατερχομένην.

Καὶ ἀναστὰς ἦλθε μετ' αὐτῶν εἰς τὴν ἐκκλησίαν. Καὶ γενομένης μεγάλης ἱκεσίας πρὸς τὸν Θεὸν περὶ τοῦ ἀδελφοῦ, οὕτως ἤρξαντο ἐπιτελεῖν τὴν σύναξιν τῆς λειτουργίας στήσαντες τὸν ἀδελφὸν ἐν μέσῳ τῆς ἐκκλησίας. Καὶ μέχρις οὗ ἀπέλυσεν ἡ ἐκκλησία, οὐκ ἔπαυσεν ὁ ἀδελφὸς δάκρυσι καταβρέχων τὴν ὄψιν αὐτοῦ. Μετὰ δὲ τὴν σύναξιν προσκαλεσάμενοι τὸν ἀδελφὸν ἠρώτων αὐτὸν λέγοντες· Εἴ τί σοι ἔδειξεν ὁ Θεός, ἀπάγγειλον ἡμῖν, ἵνα καὶ ἡμεῖς ὠφεληθῶμεν.

Ὁ δὲ μετὰ πολλῶν δακρύων χαίρων ὁμοῦ καὶ τρέμων ἤρξατο λέγειν ὅτι· Ὅτε ἀνεγνώσθη ἡ τοῦ ἀποστόλου διδαχὴ καὶ ἀνῆλθεν ὁ διάκονος ἀναγνῶναι τὸ ἅγιον Εὐαγγέλιον, εἶδον ἐγὼ τὴν στέγην τῆς ἐκκλησίας ἀνεῳγμένην καὶ τὸν οὐρανὸν φαίνοντα. Καὶ ἐκλαλοῦντος τοῦ ἁγίου Εὐαγγελίου ὡς πῦρ ἐγένετο ὁ διάκονος εἰς τὸ ἀναλογεῖον. Καὶ εἶδον πάλιν τὴν στέγην ἀνεῳχθεῖσαν ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ οἱ κατέχοντες τὴν τῶν θείων μυστηρίων δωρεὰν ἱερεῖς μετὰ φόβου ἵσταντο. Εἶδον δὲ πάλιν τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ κατερχόμενον πῦρ καὶ μετὰ τὸ πῦρ πλήθη ἀγγέλων.

Καὶ ἐν μέσῳ αὐτῶν ἄλλα δύο πρόσωπα ἐνάρετα, ἃ οὐκ ἔνι τὰ κάλλη αὐτῶν διηγήσασθαι· ἦν γὰρ τὸ φέγγος αὐτῶν ὡς ἡ ἀστραπὴ ἡ ἐν τῇ βροντῇ γινομένη· καὶ ἐν μέσῳ τῶν δύο προσώπων μικρὸν παιδίον· καὶ οἱ μὲν ἄγγελοι ἐστάθησαν κύκλῳ τῆς ἁγίας Τραπέζης, τὰ δὲ δύο πρόσωπα ἐπάνω

Τούς εἶπε τότε: «Νά μέ συγχωρήσετε, Πατέρες. Σηκώθηκα νά ἔρθω στήν ἐκκλησία, ὅπως συνηθίζουμε, κι ὁ λογισμός μοῦ εἶπε ὅτι δέν εἶναι σῶμα καί αἷμα αὐτό πού πᾶς νά μεταλάβεις, ἀλλά ψωμί καί κρασί. Ἂν λοιπόν θέλετε νά ρθῶ μαζί σας στήν ἐκκλησία, θεραπεῦστε μου τόν λογισμό γιά τήν ἁγία προσφορά». Τοῦ λένε ἐκεῖνοι: «Σήκω· ἔλα μαζί μας στήν ἐκκλησία, κι ἐμεῖς θά παρακαλέσουμε τόν Θεό νά σοῦ δείξει νά κατεβαίνει ἡ θεία δύναμη».

Σηκώθηκε κι ἦρθε μαζί τους στήν ἐκκλησία. Ἔγινε πρῶτα μεγάλη ἱκεσία στόν Θεό γιά τόν ἀδελφό, κι ἔτσι ἄρχισαν τήν ἀκολουθία τῆς Θείας Λειτουργίας, ἀφοῦ ἔβαλαν τόν ἀδελφό στή μέση τῆς ἐκκλησίας. Ὥσπου νά ἀπολύσει ἡ ἐκκλησία, ὁ ἀδελφός δέν ἔπαψε νά λούζει τό πρόσωπό του μέ δάκρυα. Μετά τή Θεία Λειτουργία τόν κάλεσαν καί τόν ρωτοῦσαν: «Ἂν ὁ Θεός σοῦ ἔδειξε κάτι, φανέρωσέ το μας, γιά νά ὠφεληθοῦμε κι ἐμεῖς».

Ἐκεῖνος μέ πολλά δάκρυα, γεμάτος χαρά καί συγχρόνως τρέμοντας, ἄρχισε: «Ὅταν διαβάστηκε ἡ περικοπή ἀπό τόν Ἀπόστολο κι ἀνέβηκε ὁ διάκονος νά διαβάσει τό Ἅγιο Εὐαγγέλιο, εἶδα ἀνοιχτή τή στέγη τῆς ἐκκλησίας καί φεγγοβολοῦσε ὁ οὐρανός. Καί τήν ὥρα πού ἄρχισε νά ἐκφωνεῖ τό ἅγιο Εὐαγγέλιο στόν ἄμβωνα ὁ διάκονος ἔγινε σάν φωτιά. Εἶδα μετά ὅτι ἀνοίχτηκε ἡ στέγη στό ἅγιο θυσιαστήριο καί οἱ ἱερεῖς πού κρατοῦσαν τά τίμια δῶρα τῶν ἁγίων μυστηρίων στέκονταν μέ φόβο. Εἶδα κατόπιν (στόν καθαγιασμό) τούς οὐρανούς ἀνοιχτούς καί φωτιά νά κατεβαίνει καί μετά τή φωτιά πλήθη ἀγγέλων.

Ἀνάμεσα στούς ἀγγέλους ἦταν δύο ἄλλα πρόσωπα ἐνάρετα, πού δέν εἶναι δυνατό νά περιγράψει κανείς τήν ὀμορφιά τους. Ἡ λάμψη τους ἦταν ὅπως ἡ ἀστραπή πού ἔχουμε στή βροντή. Μεταξύ τῶν δύο προσώπων βλέπω ἕνα μικρό παιδί. Οἱ ἄγγελοι στάθηκαν γύρω ἀπό τήν ἁγία Τρά-

αὐτῆς καὶ τὸ παιδίον ἐν μέσῳ αὐτῶν. Ὡς δὲ προσήγγισαν οἱ ἱερεῖς κλάσαι τοὺς ἄρτους τῆς προθέσεως, εἶδον ἐγὼ τὰ δύο πρόσωπα τὰ ἐπάνω τῆς ἁγίας Τραπέζης πῶς ἐκράτησαν τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ παιδίου καὶ κατέχοντες μάχαιραν ἔσφαξαν τὸ παιδίον καὶ ἐκένωσαν τὸ αἷμα αὐτοῦ εἰς τὸ ποτήριον ὃ ἦν κείμενον ἐπάνω τῆς ἁγίας Τραπέζης· καὶ κατακόψαντες τὸ σῶμα αὐτοῦ ἔθηκαν ἐπάνω τῶν ἄρτων, καὶ ἐγένοντο οἱ ἄρτοι σῶμα. Καὶ ἐμνήσθην τοῦ ἀποστόλου λέγοντος· Καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός.

Ὡς δὲ προσήγγισαν οἱ ἀδελφοὶ μεταλαβεῖν τῆς θείας προσφορᾶς, ἐπεδίδοτο σῶμα. Καὶ ὅτε ἐπεκαλοῦντο λέγοντες ἀμήν, ἐγίνετο πάλιν ἄρτος εἰς τὰς χεῖρας αὐτῶν. Ὡς δὲ προσήγγισα ἐγὼ τοῦ μεταλαβεῖν με τῆς θείας προσφορᾶς, ἐπεδόθη μοι σῶμα καὶ οὐκ ἠδυνάμην αὐτὸ μεταλαβεῖν. Καὶ ἤκουσα φωνῆς λεγούσης εἰς τὰ ὦτά μου· Ἄνθρωπε, διατί οὐ μεταλαμβάνεις; οὐκ ἔστι τοῦτο ὃ ζητεῖς; Κἀγὼ ἰδὼν εἶπον· Ἵλεώς μοι γενοῦ, Κύριε· σῶμα οὐ δύναμαι μεταλαβεῖν. Καὶ εἰπέ μοι· Εἰ οὖν ἠδύνατο ἄνθρωπος σῶμα μεταλαβεῖν, σῶμα Θεοῦ εὑρίσκετο καθὼς σὺ εὗρες· ἀλλ᾽ οὐ δύναται φαγεῖν σῶμα, καὶ διὰ τοῦτο ὁ Κύριος καὶ Θεὸς ἡμῶν ἄρτους ἔταξε τῆς προθέσεως. Ὥσπερ ἐξ ἀρχῆς ὁ Ἀδὰμ διὰ τῶν χειρῶν τοῦ Θεοῦ ἐγένετο σάρξ, καὶ ἐνεφύσησεν εἰς αὐτὸν πνοὴν ζωῆς, καὶ ἡ μὲν σὰρξ ἐχωρίσθη εἰς τὴν γῆν, τὸ δὲ πνεῦμα ἔμεινεν, οὕτω καὶ ὁ Χριστὸς δίδει τὴν ἑαυτοῦ σάρκα σὺν τῷ Ἁγίῳ Πνεύματι. Καὶ ἡ μὲν σὰρξ σπανίζεται εἰς τὸν ἄνθρωπον, τὸ δὲ Πνεῦμα ἵσταται εἰς τὰς καρδίας ὑμῶν.

Εἰ οὖν ἐπίστευσας, μετάλαβε. Καὶ ἐγὼ εἶπον· Πιστεύω, Κύριε. Καὶ τοῦτό μου εἰπόντος ἐγένετο τὸ σῶμα ὃ εἶχον ἐν

51. Α΄ Κορ. 5, 7.

52. Ἐννοεῖ τήν Θεία Κοινωνία.

53. Στήν παράγραφο αὐτή ἀκολουθήσαμε τήν ὀρθότερη γραφή ἀπό κείμενο τοῦ Ἀναστασίου Σιναΐτου (*F. Nau,* Le texte grec des récits utiles à l'âme

πεζα· τά δύο πρόσωπα ἐπάνω ἀπό αὐτήν καί τό παιδί ἀνάμεσά τους. Μόλις πλησίασαν οἱ ἱερεῖς νά τεμαχίσουν τούς ἄρτους τῆς προθέσεως, ἐγώ εἶδα τά δυό πρόσωπα πού βρίσκονταν πάνω στήν ἁγία Τράπεζα πῶς κράτησαν τά χέρια καί τά πόδια τοῦ παιδιοῦ, κι ἔχοντας μαχαίρι ἔσφαξαν τό παιδί καί ἔχυσαν τό αἷμα του στό ποτήρι πού ἦταν πάνω στήν ἁγία Τράπεζα. Ἔπειτα ἔκοψαν τό σῶμα του, τό ἔβαλαν πάνω στά κομμάτια ἀπό τόν ἄρτο καί αὐτά ἔγιναν σῶμα. Καί θυμήθηκα τότε τόν Ἀπόστολο πού λέει: Στό δικό μας Πάσχα σφαγιάστηκε γιά χάρη μας ὁ Χριστός[51].

Ὅταν πλησίασαν οἱ ἀδελφοί νά κοινωνήσουν, τούς δινόταν τό σῶμα. Μόλις ἔλεγαν "ἀμήν", τό σῶμα γινόταν πάλι ἄρτος στά χέρια τους. Ὅταν πλησίασα ἐγώ νά μεταλάβω, μοῦ δόθηκε σῶμα, καί δέν μποροῦσα νά τό μεταλάβω. Ἄκουσα φωνή νά μοῦ λέει στά αὐτιά: "Ἄνθρωπε, γιατί δέν μεταλαβαίνεις; Δέν εἶναι αὐτό ἐκεῖνο πού ζητᾶς;" Ἐγώ τό εἶδα καί εἶπα: «Σπλαχνίσου με, Κύριε· δέν μπορῶ νά μεταλάβω σῶμα». Μοῦ εἶπε τότε: «Ἄν μποροῦσε ὁ ἄνθρωπος νά μεταλάβει σῶμα, σῶμα Θεοῦ θά εἶχε μπροστά του, καθώς καί σύ ἔχεις. Ὅμως δέν μπορεῖ νά φάει σῶμα, γι᾽ αὐτό ὁ Κύριος καί Θεός μας ὅρισε τούς ἄρτους τῆς προθέσεως. Ὅπως ἀκριβῶς ἀπό τήν ἀρχή ὁ Ἀδάμ πλάστηκε ἀπό τά χέρια τοῦ Θεοῦ σάρκα, καί ὁ Θεός τοῦ φύσησε πνοή ζωῆς, καί ἡ μέν σάρκα μέ τόν θάνατο χωρίσθηκε καί ἐπέστρεψε στή γῆ, τό πνεῦμα ὅμως παρέμεινε, ἔτσι καί ὁ Χριστός δίνει τή σάρκα του μαζί μέ τό Ἅγιο Πνεῦμα[52]. Καί ἡ μέν σάρκα του διαχέεται στόν ἄνθρωπο, ἐνῶ τό Πνεῦμα παραμένει στίς καρδιές σας[53].

Ἄν λοιπόν πίστεψες, μετάλαβε». Ἐγώ εἶπα: «Πιστεύω, Κύριε». Μέ τά λόγια μου αὐτά τό σῶμα πού εἶχα στά χέρια

d'Anastase le Sinaïte. Oriens Christianus 1903, σελ. 77).

τῇ χειρί μου ἄρτος. Καὶ εὐχαριστήσας τῷ Θεῷ μετέλαβον τῆς ἁγίας προσφορᾶς. Ὡς δὲ ἡ σύναξις προέκοψε καὶ ἦλθον οἱ ἱερεῖς ἐπὶ τὸ αὐτό, εἶδον πάλιν τὴν στέγην τῆς ἐκκλησίας ἀνεῳγμένην καὶ τὰς θείας δυνάμεις ὑψουμένας εἰς τοὺς οὐρανούς.

Καὶ ταῦτα ἀκούσαντες οἱ ἀδελφοὶ καὶ πολλὴν κατάνυξιν λαβόντες τῆς τῶν ἁγίων μυστηρίων δωρεᾶς, ἀνεχώρησαν ἕκαστος εἰς τὰ κελλία αὐτῶν δοξάζοντες τὸν Θεόν.

60. Διηγήσατό τις Γέρων ὅτι· Ἦν τις παρθένος πρεσβῦτις πάνυ τὴν ἡλικίαν προκόψασα ἐν φόβῳ Θεοῦ. Καὶ ἐρωτωμένη παρ᾽ ἐμοῦ τὸν τρόπον τῆς ἀναχωρήσεως αὐτῆς, στενάξασα οὕτως ἤρξατο λέγειν· Ἐμοὶ μέν, ὦ θαυμάσιε, ὑπῆρχε παιδὶ τυγχανούσῃ πατρὸς τυχεῖν ἐπιεικοῦς καὶ πράου τὸν τρόπον, ἀσθενοῦς δὲ καὶ νοσώδους τῷ σώματι, ὡς πάντα τὸν χρόνον αὐτοῦ κλίνῃ καὶ νοσοτροφίᾳ κατέχεσθαι.

Ὃς τοσαύτῃ συνέζη ἰδιοπραγμοσύνῃ, ὥστε τοῖς τὸ χωρίον οἰκοῦσι μόλις εἰς συντυχίαν ἔρχεσθαί ποτε, τῇ δὲ γῇ προσκαρτερῶν κἀκεῖ τὸν βίον ἀπασχολῶν, εἴ ποτε ὑγιάνας, τοὺς καρποὺς ἐκόμιζεν οἴκοι. Τοσαύτη δὲ ἦν αὐτῷ ἡ σιωπή, ὡς καὶ τοὺς ἀγνοοῦντας αὐτὸν δοκεῖν ἄφωνον εἶναι.

Μήτηρ δέ μοι ὑπῆρχεν ἐκ τῶν ἐναντίων· περιειργάζετο δὲ καὶ τὰ ὑπὲρ τὴν πατρίδα. Λόγοι δὲ αὐτῇ πρὸς ἅπαντας τοσοῦτοι ἐκινοῦντο, ὡς δοκεῖν αὐτῆς ἅπαν τὸ σῶμα γλῶσσαν ὑπάρχειν. Μάχαι συνεχεῖς συνήπτοντο πρὸς ἅπαντας παρ᾽ αὐτῆς. Τῇ δὲ μέθῃ τοῦ οἴνου μετὰ ἀνδρῶν ἀκολάστων διέτριβεν. Ἐδιοίκει δὲ καὶ τὰ ἔνδον ὡς πόρνη πονηρῶς, ὡς καὶ πολλὰ σφόδρα ὑπάρχοντα μὴ δύνασθαι ἡμῖν ἐπαρκεῖν. Ταύτῃ γὰρ ὑπὸ τοῦ πατρὸς ἐπετέτραπτο ἡ διοίκησις. Τῷ δὲ σώματι οὕτως ἐκέχρητο εἰς αἰσχρότητα, ὡς ὀλίγους τοῦ χω-

μου ἔγινε ἄρτος. Εὐχαρίστησα τόν Θεό καί κοινώνησα τήν ἁγία προσφορά. Ὅταν ἡ Θεία Λειτουργία ἔφτασε στό τέλος της καί οἱ ἱερεῖς βρέθηκαν μαζί, εἶδα πάλι ἀνοιχτή τή στέγη τῆς ἐκκλησίας καί τίς θεῖες δυνάμεις νά ὑψώνονται στούς οὐρανούς.

Οἱ ἀδελφοί πού τ᾽ ἄκουσαν αὐτά καί ἔνιωσαν μεγάλη κατάνυξη γιά τή δωρεά τῶν ἁγίων μυστηρίων, ἀναχώρησε καθένας γιά τό κελί του, δοξάζοντας τόν Θεό.

60. Ἕνας Γέροντας διηγήθηκε ὅτι ὑπῆρχε μία μοναχή πολύ ἡλικιωμένη πού εἶχε προκόψει πολύ στόν φόβο τοῦ Θεοῦ. Καί ὅταν τήν ρώτησε ποιός ἦταν ὁ τρόπος τῆς ἀναχώρησής της, στέναξε καί ἄρχισε νά λέει τά παρακάτω: «Ὅταν ἤμουν παιδί, εὐλογημένε ἄνθρωπε, συνέβη νά ἔχω πατέρα καλοσυνάτο καί ἤπιο στή συμπεριφορά, ἀλλά ἄρρωστο καί ἀσθενικό στό σῶμα· ἔτσι ὅλα τά χρόνια τά πέρασε στό κρεβάτι μέ εἰδική δίαιτα καί φροντίδα ἀρρώστου.

Ὁ πατέρας ἦταν τόσο πολύ ἀπορροφημένος ἀπό τίς δικές του ὑποθέσεις, ὥστε μέ τούς συγχωριανούς του σπάνια νά συναντᾶται. Καταγινόταν, ἄν ποτέ ἦταν ὑγιής, μέ τήν καλλιέργεια τῆς γῆς κι ἔφερνε στό σπίτι τούς καρπούς. Ἦταν τόσο σιωπηλός, πού ὅσοι δέν τόν γνώριζαν νόμιζαν ὅτι ἦταν ἄφωνος.

Ἡ μητέρα μου ἦταν ἐντελῶς ἀντίθετη. Ἐνδιαφερόταν ἀκόμη καί γιά κεῖνα πού συνέβαιναν ἔξω ἀπό τήν πατρίδα. Τόσα πολλά ἔλεγε σ᾽ ὅλους, ὥστε νά φαίνεται ὅτι ὅλο τό σῶμα της ἦταν γλώσσα. Φιλονεικοῦσε συνεχῶς μέ ὅλους. Μεθοῦσε καί περνοῦσε ὧρες μέ ἄνδρες ἀκόλαστους. Τά οἰκονομικά τοῦ σπιτιοῦ –σ᾽ αὐτήν ὁ πατέρας εἶχε ἀναθέσει τή διαχείριση– τά διαχειριζόταν κακῶς σάν πόρνη, ὥστε ἄν καί ὑπῆρχαν πολλά, νά μή μᾶς φτάνουν. Χρησιμοποιοῦσε τό σῶμα στήν αἰσχρότητα κατά τέτοιο τρόπο, ὥστε λίγοι

ρίου δυνηθῆναι διαδρᾶσαι τὴν ἐκείνης ἀσέλγειαν. Οὐ νόσος αὐτῆς τῷ σώματι ἀπήντησέ ποτε, οὐ πόνου ᾔσθετο κἂν τοῦ τυχόντος, ἀλλ' ἐκ γεννήσεως μέχρι τελευτῆς ὁλόκληρον τὸ σῶμα ἐν ὑγείᾳ ἐκέκτητο.

Ἐπὶ τούτοις συνέβη τὸν πατέρα πολυχρονίοις νόσοις παλαίσαντα ἀποθανεῖν. Καὶ εὐθέως ὁ ἀὴρ συνεκινεῖτο, βρονταί τε καὶ ἀστραπαὶ καὶ βροχαὶ τὸν ἀέρα συνήλαυνον, καὶ οὔτε νυκτὸς οὔτε ἡμέρας ὁ ὑετὸς διαλείπων τριταῖον αὐτὸν κεῖσθαι ἐπὶ τῆς κλίνης ἄταφον ἐποίει, ὥστε τοὺς τοῦ χωρίου τὰς κεφαλὰς αὐτῶν κατασείοντας θαυμάζειν, ὁποῖον κακὸν τοῖς πᾶσιν ἐν λήθῃ ἐτύγχανεν. Οὗτος γάρ, φησίν, ἐστὶ τοῦ Θεοῦ ὁ ἐχθρός, ὡς μηδὲ τὴν γῆν αὐτὸν παραδέξασθαι εἰς ταφήν. Ἀλλ' ὅμως, ἵνα μὴ ἔνδον διαλυθεὶς ἄβατον ἡμῖν τὴν οἰκίαν ποιήσῃ, τοῦ ἀέρος ἐπικειμένου ἔτι καὶ τῶν ὑετῶν καταφερομένων ὁπωσδήποτε τοῦτον ταφῇ παραδεδόαμεν.

Ἡ δὲ μήτηρ, ὡς πλείονα ἄδειαν λαβοῦσα, ἀναιδέστερον τῇ τοῦ σώματος ἐκέχρητο ἀσωτίᾳ. Καὶ πορνεῖον σχεδὸν τὸν οἶκον καταστήσασα, τοσαύτῃ συνέζησεν ἀσωτίᾳ καὶ τρυφῇ, ὡς μικρά μοι ἔτι περιούσῃ καταλιπεῖν τὰ πράγματα. Τοῦ δὲ θανάτου μόλις αὐτῇ καὶ μετὰ φόβου, ὡς ἔμοιγε δοκεῖ, ἐπελθόντος τοσαύτης ἔτυχε κηδείας καὶ σπουδῆς, ὡς νομίζειν καὶ τὸν ἀέρα συγκηδεύειν αὐτῇ.

Ἐγὼ δὲ μετὰ τὴν ἐκείνης τελευτὴν τῆς παιδικῆς ἡλικίας ἐξελθοῦσα, καὶ τῶν τοῦ σώματος ἐπιθυμιῶν κινουμένων καὶ γαργαλιζουσῶν, ἐν ἑσπέρᾳ τινί, οἷα συμβαίνειν εἰκός, εἰς ἔννοιαν ἦλθον καὶ ἐσκόπουν τὸ ποῖόν τινα βίον ἕλωμαι ζῆν, πότερον τὸν τοῦ πατρὸς ἐν ἐπιεικείᾳ καὶ πραότητι καὶ καλῇ σωφροσύνῃ; Ἀλλ' ἰδού, φησί, πάλιν ἐκεῖνο ἐλογιζόμην, ὅτι οὐδενὸς ἐν τῷ βίῳ τετύχηκεν ἀγαθοῦ, ἀλλὰ πάντα τὸν βίον

ἀπό τό χωριό μπόρεσαν νά ξεφύγουν ἀπό τήν ἀσέλγειά της. Δέν τήν βρῆκε ποτέ καμιά σωματική ἀρρώστια οὔτε αἰσθάνθηκε ἔστω ἁπλό πόνο. Ἀπό τή γέννηση μέχρι τό θάνατο εἶχε ὑγεία σ' ὅλο τό σῶμα.

Ὁ πατέρας, ὕστερα ἀπό πάλη μέ πολυχρόνιες ἀρρώστιες, συνέβη νά πεθάνει. Ἀμέσως μέ τόν θάνατό του ἄρχισε νά φυσάει δυνατά. Βροντές καί ἀστραπές καί βροχές συνόδευαν τόν ἀέρα. Ἡ βροχή δέν σταματοῦσε οὔτε νύχτα οὔτε μέρα, καί ἔκανε νά μένει ὁ νεκρός τρεῖς μέρες πάνω στό κρεββάτι ἄταφος. Οἱ ἄνθρωποι τοῦ χωριοῦ κουνοῦσαν τό κεφάλι καί ἀποροῦσαν τί λογῆς κακό ἦταν καί κανείς δέν τό ἤξερε. Αὐτός ἔλεγαν εἶναι ὁ ἐχθρός τοῦ Θεοῦ, ἀφοῦ οὔτε ἡ γῆ δέν τόν δέχεται γιά ταφή. Ὅμως γιά νά μήν ἀποσυντεθεῖ τό σῶμα μέσα στό σπίτι καί μᾶς τό κάνει ἄβατο, ἄν καί ἐπέμενε ὁ ἀέρας καί οἱ βροχές ἦταν ὁρμητικές, ὅπως κι ἄν ἦταν, τόν θάψαμε.

Μετά ἀπ' αὐτά ἡ μητέρα, σάν νά πῆρε μεγαλύτερη ἄδεια, μέ περισσότερη ἀναίδεια ἀσώτευε. Τό σπίτι τό ἔκανε σχεδόν πορνεῖο. Ἔζησε μέ τόση ἀσωτία καί ἀκολασία, ὥστε νά μοῦ ἀφήσει ἐλάχιστα γιά κληρονομιά, ὅσο ἀκόμη ζοῦσα στόν κόσμο. Ὁ θάνατος ἦρθε σ' αὐτήν, ὅπως μοῦ φαίνεται, μόλις καί μετά βίας καί μέ φόβο. Καί εἶχε μιά τέτοια κηδεία καί φροντίδα, ὥστε νά νομίζει κανείς ὅτι καί ὁ καιρός νά προσαρμόζεται στήν κηδεία.

Μετά τόν θάνατό της, καθώς εἶχα βγεῖ πιά ἀπό τήν παιδική ἡλικία, οἱ ἐπιθυμίες τοῦ σώματος ἄρχισαν νά κινοῦνται καί νά μέ ἐρεθίζουν. Ἕνα βράδυ, ὅπως εἶναι φυσικό, ἄρχισα νά τό σκέφτομαι καί ἐξέταζα ποιόν δρόμο ζωῆς νά διαλέξω. Ποιά ἀπό τίς δύο· τή ζωή τοῦ πατέρα μου, μέ τήν καλοσύνη καί πραότητα καί ὡραία σύνεση; Ἀλλά νά –λέει κανείς– πάλι ἐκεῖνο σκεφτόμουν, ὅτι κανένα καλό δέν εἶχε στή ζωή του. Ὅλη του τή ζωή τήν ξόδεψε σέ ἀρρώστια

νόσῳ καὶ θλίψεσι δαπανώμενος οὕτω μετήλλαξε τὴν ζωὴν αὐτοῦ, οὐδὲ τῆς γῆς τὴν ταφὴν αὐτοῦ παραδεχομένης. Εἰ τοίνυν ἀγαθὸν ἦν παρὰ τῷ Θεῷ ἡ τοιαύτη διαγωγή, τίνος ἕνεκεν τοσούτων ἐπειράθη κακῶν ὁ πατὴρ οὕτως ἑλόμενος;

Ἀλλ' ὡς ἡ μήτηρ ἄρα, φησί, καλόν, καὶ ἐκδιδόναι τὸ σῶμα δεῖ τῇ ἀκολασίᾳ καὶ ἀσελγείᾳ καὶ ἡδυπαθείᾳ; Καὶ γὰρ ἐκείνη μηδὲν τῶν αἰσχρῶν ἔργων καταλιποῦσα, μεθύουσα δὲ πάντοτε, ἐν ὑγείᾳ καὶ εὐπραγίᾳ τὴν ζωὴν ὑπεξῆλθε. Τί οὖν, φησίν, οὕτω χρὴ ζῆν, ὡς ἡ μήτηρ; Βέλτιον γάρ ἐστι τοῖς ἰδίοις ὀφθαλμοῖς πιστεῦσαι καὶ τῶν φανερῶς ἐγνωσμένων μηδὲν ὑπερβαίνειν. Καὶ ἐδέδοκτό μοι τῇ ἀθλίᾳ τοιαύτην ἑαυτῇ καταστῆσαι ζωήν.

Ἐπελάβετο δὲ ἡ νύξ· καὶ ὕπνου μοι εὐθέως ἐπελθόντος μετὰ τοὺς λογισμοὺς τούτους, ἐφίσταταί τις μέγας τῷ σώματι, φοβερὸς δὲ τῇ ὄψει· εἶτα τῷ σχήματί με ἐκφοβῶν ὀργίλῳ τῷ προσώπῳ καὶ τραχείᾳ τῇ φωνῇ ἀνηρώτα με· Εἰπέ μοι, φησίν, ἡ δεῖνα, τίνες οἱ λογισμοὶ τῆς καρδίας σου; Ἐγὼ δὲ ἀπὸ τῆς ὄψεως καὶ τοῦ σχήματος ἔντρομος γενομένη οὐδὲ ἐμβλέπειν αὐτῷ ἐτόλμων.

Μείζονι δὲ τῇ φωνῇ κεχρημένος πάλιν ἐκέλευσε τὰ δεδογμένα ἀπαγγέλλειν. Ἐγὼ δὲ ἀπὸ τοῦ φόβου παραθεῖσα καὶ πάντων ἐπιλαθομένη τῶν λογισμῶν οὐδὲν ἔλεγον εἰδέναι. Ἐκεῖνος δὲ ἀρνουμένην ἀνεμίμνησκε πάντα τὰ ἐν τῇ διανοίᾳ μου μεμελετημένα. Ἐγὼ δὲ ἐλεγχθεῖσα καὶ ἐπὶ παράκλησιν τραπεῖσα ἱκέτευον συγγνώμης ἀξιωθῆναι καὶ τὴν αἰτίαν διηγούμην τῆς τοιαύτης διανοίας. Ὁ δέ φησιν· Ἐλθὲ τοίνυν ὀψομένη ἀμφοτέρους, τόν τε πατέρα καὶ τὴν μητέρα. Καὶ ὃν βούλει βίον λοιπὸν τὸ τηνικαῦτα ἔκλεξαι σεαυτῇ.

καί θλίψεις καί ἔφυγε ἀπό τή ζωή, ἔτσι πού οὔτε ἡ γῆ δεχόταν τήν ταφή του. Λοιπόν, ἄν ἕνας τέτοιος τρόπος ζωῆς ἦταν ἀρεστός στόν Θεό, γιά ποιό λόγο ὁ πατέρας δοκίμασε τόσα κακά, ἐνῶ αὐτόν τόν τρόπο ζωῆς εἶχε διαλέξει;

Ἀλλά μήπως ὅπως ἡ μητέρα –θά 'λεγε κανείς– εἶναι καλό νά ζήσει, καί πρέπει νά ἐκδίδει τό σῶμα του στήν ἀκολασία, στήν ἀσέλγεια καί στήν ἡδονή; Ἐκείνη βέβαια, μολονότι δέν ἄφησε κανένα αἰσχρό ἔργο πού δέν τό ἔκανε καί μεθοκοποῦσε πάντοτε, παρόλ' αὐτά διήνυσε τή ζωή ὅλη μέ ὑγεία καί καλοπέραση. Τί λοιπόν, θά 'λεγε κανείς· ἔτσι πρέπει νά ζήσω, ὅπως ἡ μητέρα; Ἄλλωστε εἶναι καλύτερο νά ἔχω ἐμπιστοσύνη στά μάτια μου καί καθόλου νά μήν προσπερνῶ αὐτά πού καλά ἔχω γνωρίσει. Κι ἐγώ ἡ ἄθλια πῆρα τήν ἀπόφαση νά ἀκολουθήσω μιά τέτοια ζωή.

Ἦρθε ἡ νύχτα. Μέ πῆρε ἀμέσως ὁ ὕπνος ὕστερα ἀπ' αὐτούς τούς λογισμούς. Μπροστά μου παρουσιάζεται ἕνας μεγαλόσωμος καί φοβερός στήν ὄψη. Ἔπειτα τρομάζοντάς με μέ τή μορφή του, μέ ρωτοῦσε, ἔχοντας ὀργισμένο πρόσωπο καί σκληρή τή φωνή: "Πές μου –λέει– ἐσύ ἡ δεῖνα, ποιοί εἶναι οἱ λογισμοί τῆς καρδιᾶς σου;" Ἐγώ κατατρομαγμένη ἀπό τήν ὄψη καί τήν ἐμφάνισή του δέν τολμοῦσα οὔτε ἕνα βλέμμα νά ρίξω ἐπάνω του.

Μέ πιό δυνατή φωνή πάλι μέ πρόσταξε νά τοῦ ἀνακοινώσω τίς ἀποφάσεις μου. Ἐγώ παραλυμένη ἀπό τόν φόβο κι ἔχοντας ξεχάσει τούς λογισμούς, ἔλεγα ὅτι τίποτε δέν ξέρω. Ἐκεῖνος, ἐνῶ ἀρνιόμουν, μοῦ θύμιζε ὅλα ὅσα εἶχα μελετήσει στό μυαλό μου. Ἐγώ ἐλέγχθηκα καί στράφηκα σέ παρακάλια. Ἱκέτευα νά πετύχω συγχώρηση καί ἐξιστοροῦσα τήν αἰτία τῆς ἀπόφασης αὐτῆς κι ἐκεῖνος εἶπε: "Ἔλα λοιπόν νά δεῖς καί τούς δυό, καί τόν πατέρα καί τή μητέρα. Καί ὅποια ζωή θέλεις, αὐτήν διάλεξε στό ἑξῆς γιά τόν ἑαυτό σου".

Καὶ λαβόμενός μου τῆς χειρὸς εἷλκεν. Ἀγαγὼν δὲ ἐν μεγίστη τινὶ πεδιάδι παραδείσους ἐχούσῃ πολλοὺς καὶ παντοδαποὺς καρποὺς καὶ δένδρα ποικίλα, καὶ τῷ κάλλει τὴν διήγησιν νικῶντα, εἰσάγει με ἔνδον ἐκεῖ. Ὑπαντήσας δέ μοι ὁ πατὴρ καὶ περιλαβὼν κατεφίλει τέκνον ἀποκαλῶν. Ἐγὼ δὲ περιπλακεῖσα αὐτῷ παρεκάλουν αὐτὸν συμμένειν αὐτῷ. Ὁ δέ· Νῦν μέν, φησίν, οὐ δυνατόν. Εἰ δὲ τοῖς ἐμοῖς ἴχνεσιν ἀκολουθῆσαι θελήσεις, ἥξεις ἐνταῦθα μετ᾽ οὐ πολύ.

Ἐμοῦ δὲ ἔτι δεομένης συμμένειν αὐτῷ, ἑλκύσας με πάλιν τῆς χειρὸς ὁ ἐκεῖ ἀγαγών, ἧκε, ἔφη, καὶ τὴν μητέρα ὀψομένη τὴν σὴν πυρὶ φλεγομένην, ἵνα γνῷς πρὸς ὁπότερον καλὸν καὶ συμφέρον ἀποκλῖναι βίον. Ἐπιστήσας δέ με εἰς οἶκον σκοτεινὸν καὶ ζοφερὸν παντελῶς βρυγμοῦ τε καὶ ταραχῆς πεπληρωμένον δείκνυσί μοι κάμινον πυρὸς ἀναφλεγομένην καὶ πίσσαν ἀναπαφλάζουσαν καί τινας φοβεροὺς τῇ ὁράσει ἐφεστῶτας τῇ καμίνῳ. Ἐγὼ δὲ ἐμβλέψασα κάτω ὁρῶ τὴν ἐμαυτῆς μητέρα ἐν τῇ καμίνῳ μέχρι τοῦ τραχήλου βεβαπτισμένην καὶ τοὺς ὀδόντας τρίζουσαν καὶ συγκρούουσαν καὶ τῷ πυρὶ φλεγομένην, σκωλήκων τε πολὺν βρῶμον γενόμενον.

Ἰδοῦσα δέ με ἐκείνη μετὰ θρήνων ἀνεβόα, τέκνον με ἀνακαλοῦσα ὅτι· Οἴμοι, τέκνον, τῶν οἰκείων ἔργων, οἴμοι τῶν οἰκείων πράξεων, ὅτι ὡσεὶ λῆρος ἅπαντά μοι τὰ περὶ σωφροσύνης ἐφαίνετο ἔργα, πορνείας δὲ καὶ μοιχείας οὐκ ἐπιστεύοντο τιμωρίαι, μέθης δὲ καὶ ἀσελγείας οὐχ ἡγούμην βάσανον εἶναι. Ἰδοὺ μικρᾶς ἡδονῆς ὁπόσην ἀντιλαμβάνω κόλασιν καὶ ὑπομένω τιμωρίαν. Ἰδοὺ ἐλαχίστης παρανόμου τρυφῆς ὁπόσην ἐκτίνω τὴν δίκην. Ἰδοὺ τῆς τοῦ Θεοῦ καταφρονήσεως ὁπόσους ἀπολαμβάνω τοὺς μισθούς. Κατέλαβέ με ἅπαντα τὰ ἀνήκεστα κακά.

Μέ ἔπιασε ἀπό τό χέρι καί μέ τραβοῦσε. Μέ ἔφερε σέ μιά πολύ μεγάλη πεδιάδα, μέ πολλούς κήπους καί κάθε λογῆς καρπούς καί ποικίλα δένδρα· τήν ὀμορφιά τους δέν μπορεῖ νά περιγράψει κανείς. Μέ ἔβαλε μέσα. Ἐκεῖ μέ συνάντησε ὁ πατέρας. Μέ ἀγκάλιασε, μέ φιλοῦσε καί μέ ὀνόμαζε παιδί του. Ἐγώ τόν ἔσφιξα στήν ἀγκαλιά μου καί τόν παρακαλοῦσα νά μείνω μαζί του. Αὐτός, "τώρα –λέει– δέν εἶναι δυνατό. Ἄν ὅμως θελήσεις νά ἀκολουθήσεις τά δικά μου ἀχνάρια, θά ρθεῖς ἐδῶ, ὄχι ὕστερα ἀπό πολύ".

Ἐγώ ἐπέμενα νά ζητῶ νά μείνω μαζί του, ὅμως μέ τράβηξε πάλι ἀπό τό χέρι ἐκεῖνος πού μέ ἔφερε ἐκεῖ. "Ἔλα, εἶπε, νά δεῖς καί τή μητέρα σου νά φλέγεται σέ φωτιά, γιά νά κρίνεις σέ ποιόν ἀπό τούς δύο τρόπους ζωῆς εἶναι καλό καί σέ συμφέρει νά στραφεῖς". Μέ σταμάτησε σέ ἕνα σπίτι σκοτεινό καί τελείως ζοφερό, γεμάτο ἀπό τρίξιμο δοντιῶν καί ταραχή. Μοῦ δείχνει ἕνα καμίνι μέ φωτιά πού καίγονταν, καί πίσσα νά ἀναβράζει καί μερικούς φοβερούς στή ὄψη νά στέκονται στό καμίνι. Ἐγώ κοίταξα κάτω. Βλέπω τή μητέρα μου βυθισμένη μέχρι τόν λαιμό στό καμίνι. Νά τρίζει καί νά χτυπάει τά δόντια καί νά καίγεται μέ τή φωτιά. Συγχρόνως νά βγαίνει ἄσχημη μυρωδιά ἀπό σκουλήκια.

Ἐκείνη ὅταν μέ εἶδε, ἄρχισε θρηνώντας δυνατά νά μέ ἀποκαλεῖ παιδί της καί νά λέει: "Ἀλίμονο, παιδί μου, στά ἔργα μου, ἀλίμονο στίς πράξεις μου. Ὅλα τά συνετά ἔργα μοῦ φαινόταν φλυαρία, καί δέν πίστευα στίς τιμωρίες γιά πορνεία καί μοιχεία. Δέν νόμιζα ὅτι ὑπάρχουν βασανισμοί γιά τή μέθη καί τήν ἀσέλγεια. Νά, γιά λίγη ἡδονή πόση κόλαση δοκιμάζω καί τί τιμωρία ὑποφέρω. Νά, γιά ἐλάχιστη παράνομη ἀπόλαυση πόσο τιμωροῦμαι. Νά, γιά τήν καταφρόνηση τοῦ Θεοῦ τί μισθούς παίρνω. Μέ ἔχουν βρεῖ ὅλα τά ἀνεπανόρθωτα κακά.

Νῦν καιρὸς βοηθείας, ὦ τέκνον. Νῦν μνήσθητι τροφείων ὧν παρ' ἐμοῦ ἔτυχες. Νῦν ἀντίδος εὐεργεσίαν, εἴ τινος τίποτε ἀγαθοῦ μετείληφας ἀπ' ἐμοῦ. Ἐλέησον, φησί, τὴν ἐν πυρὶ φλεγομένην καὶ ὑπ' αὐτοῦ δαπανωμένην. Ἐλέησόν με τὴν ἐν τοιαύταις βασάνοις ἐξεταζομένην. Οἰκτείρησόν με, τέκνον, καὶ δός μοι χεῖρα καὶ ἀνάγαγέ με ἐντεῦθεν.

Ἐμοῦ δὲ παραιτουμένης τοῦτο ποιεῖν διὰ τοὺς ἐφεστῶτας, πάλιν ἐκείνη μετὰ δακρύων ἐβόα· Τέκνον, βοήθει· τέκνον, βοήθησόν μοι καὶ μὴ παρίδῃς οἰκείας μητρὸς ὀδυρμούς. Μνήσθητι ἡμέρας ὠδίνων καὶ μὴ παρίδῃς τὴν ἐν γεέννῃ πυρὸς ἀπολλυμένην. Ἐγὼ δὲ ὑπὸ τῶν δακρύων καὶ τῆς φωνῆς παθοῦσά τι ἀνθρώπινον ἐξέτεινα τὴν χεῖρά μου ἀνασπάσαι αὐτήν· τοῦ δὲ πυρὸς τὴν χεῖρά μου φλέξαντος, ἠρξάμην μετὰ δακρύων στενάζειν.

Διεγερθέντες δὲ οἱ ἐκ τῆς οἰκίας καὶ ἅψαντες πῦρ τὴν αἰτίαν τῶν οἰμωγῶν ἀνηρώτων. Ἐγὼ δὲ αὐτοῖς διηγησάμην τὰ ὁραθέντα ἐν οἷς ἐγενόμην, τοῦ λοιποῦ τοῦ πατρὸς λέγουσα μετελθεῖν μᾶλλον τὸν βίον, πληροφορηθεῖσα διὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας οἷαι τιμωρίαι ἀπόκεινται τοῖς κάκιστα ζῆν βουλομένοις.

Τοιαῦτα μὲν ἡ μακαρία παρθένος ἐκείνη ἐκ τῆς ὁράσεως πολλὴν εἶναι τῶν ἀγαθῶν τὴν ἀνταπόδοσιν, φαύλων δὲ πράξεων καὶ βίου αἰσχροῦ μεγάλας εἶναι τὰς τιμωρίας ἀπήγγειλε. Διὸ γενώμεθα βελτίους τῇ συμβουλῇ, ἵνα εὑρεθῶμεν μακάριοι.

Ἱερωνύμου μοναχοῦ περὶ ἀποκαλύψεων

61. Ἄξιόν ἐστιν, ἀγαπητοί, τὴν τῶν ἁγίων Πατέρων πολιτείαν ἔργων τε καλῶν καὶ παραινέσεων πεπληρωμένην

Τώρα εἶναι καιρός γιά βοήθεια, παιδί μου. Τώρα νά θυμηθεῖς τά ἔξοδα πού ἔκανα γιά νά σέ μεγαλώσω. Τώρα νά ἀνταποδώσεις τήν εὐεργεσία, ἄν πῆρες ποτέ κάτι καλό ἀπό μένα. Σπλαχνίσου –ἔλεγε– αὐτήν πού φλέγεται καί λυώνει στή φωτιά. Δεῖξε συμπόνια σέ μένα πού δοκιμάζομαι μέ τέτοια βάσανα. Λυπήσου με, παιδί μου, δός μου τό χέρι καί ἀνέβασέ με ἀπ' ἐδῶ".

Ἐγώ ἀπέφευγα νά τό κάνω αὐτό ἐξαιτίας αὐτῶν πού στέκονταν σάν ἐπόπτες, ἀλλά ἐκείνη πάλι μέ δάκρυα φώναζε: "Παιδί μου, βοήθα με, παιδί μου, βοήθησέ με καί μήν ἀδιαφορήσεις γιά τούς θρήνους τῆς μητέρας σου. Θυμήσου τούς πόνους πού τράβηξα στή γέννα σου καί μήν παραβλέψεις αὐτήν πού χάνεται στήν κόλαση τῆς φωτιᾶς". Ἐγώ ἀπό τά δάκρυα καί τή φωνή συγκλονίστηκα. Ἅπλωσα τό χέρι νά τήν τραβήξω, ἀλλά ἡ φωτιά μοῦ ἔκαψε τό χέρι κι ἄρχισα νά στενάζω μέ δάκρυα.

Οἱ τοῦ σπιτιοῦ σηκώθηκαν, ἄναψαν φωτιά γιά φωτισμό καί ζητοῦσαν νά μάθουν τήν αἰτία τοῦ θρήνου. Ἐγώ τούς περιέγραψα ποῦ βρέθηκα καί ὅσα εἶδα. Εἶπα ὅτι προτιμῶ νά ἀκολουθήσω στό μέλλον τή ζωή τοῦ πατέρα, ἀφοῦ μέ τή φιλανθρωπία πού μοῦ ἔδειξε ὁ Θεός πληροφορήθηκα ποιές τιμωρίες περιμένουν αὐτούς πού θέλουν νά ζοῦν ἁμαρτωλά».

Ἡ μακαρία ἐκείνη μοναχή αὐτά ἀφηγήθηκε γιά τό ὅραμα, ὅτι μεγάλη εἶναι ἡ ἀνταπόδοση στίς ἐνάρετες ψυχές, ἐνῶ μεγάλες οἱ τιμωρίες γιά κακές πράξεις καί αἰσχρή ζωή. Γι' αὐτό μέ τή συμβουλή της ἄς γινόμαστε καλύτεροι, γιά νά βρεθοῦμε μακάριοι.

Ἱερωνύμου μοναχοῦ, γιά ἀποκαλύψεις

61. Ἀξίζει, ἀγαπητοί, νά σᾶς κάνουμε γνωστή τή ζωή τῶν ἁγίων Πατέρων, τή γεμάτη καλά ἔργα καί συμβουλές,

οὖσαν εἰς γνῶσιν ὑμῖν ἀγαγεῖν, ἵνα ἐπιβεβαιωθῇ τὸ φρόνημα ὑμῶν· πολλὰ τοίνυν καὶ παντοδαπὰ διηγήματα εἰς προκοπὴν τῶν ἀγγελικὴν ἐχόντων πολιτείαν μαθόντες ὀλίγα πειρασόμεθα διηγήσασθαι, μάλιστα πρὸς τὴν ὑμετέραν ὠφέλειαν συντείνοντα.

Ἐλήλυθέ τις πρὸ βραχέος χρόνου ἀνὴρ πρεσβύτης τῇ ἡλικίᾳ, πολιὸς τὴν τρίχα· τῷ μὲν οἰκείῳ σχήματι τὸν ἀγγελικὸν μαρτυρούμενος τρόπον, τῷ δὲ ἠρεμαίῳ καὶ ἐπιεικεῖ τοῦ προσώπου τὴν τῆς ψυχῆς αὐτοῦ παραδεικνύων καθαρότητα καὶ φιλανθρωπίαν· τούτῳ δὲ καὶ ἕτερος συνείπετο, νέος μὲν τῷ χρόνῳ, πολιὸς δὲ τὴν φρόνησιν καὶ βεβηκὼς τὴν διάνοιαν. Ἐρωτώμενοι δὲ ὑπ' ἐμοῦ πόθεν εἶεν καὶ ἐπὶ τίνα πρᾶξιν ἐνταῦθα παραγεγόνασι, πράως καὶ ἠρέμα ἔφη ὁ πρεσβύτης·

Ἡμεῖς μέν, ὦ χριστιανέ, τυγχάνομεν μοναχοὶ τῶν κατὰ τὴν Θηβαΐδα μοναστηρίων, ἤγμεθα δὲ ἐπὶ τοῦτον τὸν βίον ὑπό τινος ἁγίου ἀνδρός, οὗπερ πολλή τις καὶ ἀδιήγητος καθέστηκεν ἀρετή, ὥστε καὶ τοῖς ἁπανταχόθεν περὶ πολλοῦ εἶναι τοῦ ἁγίου τούτου καὶ θεοφόρου ἀνδρὸς τὸν περὶ τῆς σωτηρίας τῶν ψυχῶν πνευματικὸν καὶ θεάρεστον λόγον. Ἀλλ' οὗτος μὲν εὐσεβῶς ζήσας τοῦ βίου μετέστη ἐνδόξως, εἰς ἕτερον δὲ μετῆλθεν ἡ διοίκησις τοῦ μοναστηρίου παραπλήσιον ἐκείνου τὴν πολιτείαν.

Οὗτος οὖν ἀδελφὸν ἕνα τῇ ἀσκήσει κατατρίβοντα μακρῷ τῷ χρόνῳ ἀπέστειλεν ἐπί τινα χρείαν τοῦ μοναστηρίου εἰς Αἴγυπτον· χρονίσαντος δὲ τοῦ ἀδελφοῦ ἔξω τῆς μονῆς πέπονθε τὸ τῶν ἰχθύων πάθος, οἳ ὅταν τοῦ ὕδατος χωρισθῶσιν, τάχιστα τῷ θανάτῳ παραπέμπονται· τὸ αὐτὸ γὰρ συνέβη καὶ τούτῳ τῷ ἀδελφῷ· ἐκ γὰρ τῆς ἔξω μακρᾶς διατριβῆς τῷ τῆς πορνείας περιπέπτωκεν ἁμαρτήματι. Ἔχων δὲ τὸ οἰκεῖον συνειδὸς κατήγορον τῆς τοιαύτης ἁμαρτίας, οὐδὲ τοὺς ἄλλους ἤλπισε λαθεῖν· καὶ διὰ ταύτην τὴν πρᾶξιν τὴν αἰσχύνην οὐ φέρων ᾐδεῖτο ἀναστρέψαι εἰς τὸ ἑαυτοῦ μοναστήριον·

γιά νά στερεωθεῖ τό φρόνημά σας. Γνωρίζουμε πολλές καί ποικίλες διηγήσεις γιά τήν προκοπή ὅσων κάνουν ἀγγελική ζωή, ὅμως θά προσπαθήσουμε νά σᾶς διηγηθοῦμε λίγα, αὐτά πού συντελοῦν κυρίως στήν ὠφέλειά σας.

Πρίν λίγο καιρό ἦρθε ἕνας ἄνδρας περασμένης ἡλικίας, μέ ἄσπρα μαλλιά. Μέ τό γνωστό σχῆμα μαρτυροῦσε τόν ἀγγελικό τρόπο ζωῆς, μέ τήν ἠρεμία καί καλοσύνη τοῦ προσώπου του φανέρωνε τήν καθαρότητα καί φιλανθρωπία τῆς ψυχῆς του. Τόν συνόδευε ἕνας ἄλλος, νέος στήν ἡλικία, ἀλλά γέρος στή φρόνηση καί προχωρημένος στό νοῦ. Τούς ρώτησα ἀπό ποῦ εἶναι καί γιά ποιό λόγο ἦρθαν ἐδῶ. Μέ ἠρεμία καί πραότητα ἀπάντησε ὁ ἡλικιωμένος:

«Ἐμεῖς, χριστιανέ, εἴμαστε μοναχοί ἀπό τά μοναστήρια τῆς Θηβαΐδος. Στόν μοναχικό βίο ὁδηγηθήκαμε ἀπό ἕναν ἅγιο ἄνδρα, πού ἡ ἀρετή του ὑπῆρξε μεγάλη καί ἀπαράμιλλη, ὥστε ἀπό παντοῦ νά τιμοῦν τόν πνευματικό καί θεάρεστο λόγο, γιά τή σωτηρία τῶν ψυχῶν, τοῦ ἁγίου καί θεοφόρου αὐτοῦ ἄνδρα. Αὐτός ἔζησε μέ εὐσέβεια καί ἔφυγε ἀπό τή ζωή μέ τήν κατά Θεόν καλή φήμη. Ἡ διοίκηση τοῦ μοναστηριοῦ πέρασε σέ ἄλλον, μέ παρόμοια ζωή.

Αὐτός ἔστειλε στήν Αἴγυπτο γιά ἀνάγκη τοῦ μοναστηριοῦ ἕναν ἀδελφό, πού πολύ καιρό εἶχε δοκιμαστεῖ στήν ἄσκηση. Ὅμως ὁ ἀδελφός αὐτός καθυστέρησε ἔξω ἀπό τή μονή καί ἔπαθε ὅ,τι παθαίνουν τά ψάρια, πού, ὅταν βγοῦν ἀπό τό νερό, γρήγορα καταλήγουν στόν θάνατο. Τό ἴδιο ἔγινε καί μ' αὐτόν. Ἀπό τή μακρά παραμονή του ἔξω, ἔπεσε στό ἁμάρτημα τῆς πορνείας. Ἡ συνείδησή του τόν κατηγοροῦσε γιά τήν σοβαρή ἁμαρτία κι οὔτε εἶχε ἐλπίδα νά διαφύγει τήν προσοχή τῶν ἄλλων. Δέν σήκωνε τή ντροπή γι' αὐτή τήν πράξη καί ντρεπόταν νά γυρίσει στό μονα-

τοιαῦτα γὰρ τῆς ἁμαρτίας τὰ τέλη· οὐ μόνον γὰρ τῆς ἀρετῆς ἀποστερεῖ καὶ τοῦ Θεοῦ ἀλλότριον ποιεῖ, ἀλλὰ καὶ αἰσχύνην καὶ ἀτιμίαν τῶν πειθομένων αὐτῇ καταχέει.

Ὁ δὲ καλὸς τοῦ ἡμετέρου τάγματος ποιμὴν μαθὼν τοῦ ἀνδρὸς τὴν ἐκτροπὴν στένειν τε καὶ θρηνεῖν καὶ δακρύειν ἤρξατο τὸν ὄλισθον καὶ τὴν ἔκπτωσιν τοῦ ἀδελφοῦ, καὶ μὴ τοσοῦτον ἐπὶ τῇ ἁμαρτίᾳ αὐτοῦ, ὅσον ἐπὶ τῇ ἀπογνώσει αὐτοῦ. Ἔφασκε γάρ· Φυλάττεσθαι μὲν γὰρ δεῖ παντὶ τρόπῳ τὴν ἁμαρτίαν ὡς πολυκέφαλον ὄφιν, ὅτι διὰ ποικίλων καὶ διαφόρων προφάσεων ἀγωνίζεται εἰς τὴν ἡμετέραν εἰσδύεσθαι ψυχήν· συμβᾶσαν δὲ τὴν ἁμαρτίαν ἢ ἐξ ἀσθενείας ἢ ἐκ προαιρέσεως ἰδίας ἢ ἐκ τῆς τοῦ διαβόλου δυναστείας μὴ συγχωρεῖν ἐπὶ πλεῖον ἐν ταύτῃ κρατεῖσθαι, ἀλλ' ὥσπερ νόσῳ περιπεσόντας ἐπὶ τὴν θεραπείαν αὖθις ἐπαναδραμεῖν καὶ μὴ ἀπογνόντας τὴν σωτηρίαν ἑαυτοὺς τῷ διαβόλῳ ἐκδοῦναι· τοῦτο γάρ ἐστιν ἀπιστεῖν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ καὶ τὰ τῆς μετανοίας μὴ παραδέχεσθαι φάρμακα.

Συναθροίσας τοίνυν τοὺς αὐτοῦ μαθητὰς σκέψιν μετ' αὐτῶν ἐποιεῖτο τί δεῖ ποιεῖν περὶ τῆς τοῦ ἀδελφοῦ σωτηρίας, οὐκ ἀγνοῶν αὐτὸς τὸ πρακτέον· οὐ γὰρ ἂν ἦν δίκαιος ἄρχειν καὶ ποιμαίνειν μὴ εἰδὼς τὸ συμφέρον τῶν οἰκείων προβάτων, ἀλλὰ τοὺς ἄλλους γυμνάζων καὶ ἀποπειρώμενος ὁποίαν ἄρα πρὸς ἀλλήλους ἀποσῴζουσι τὴν προαίρεσιν. Οἱ δὲ ἀδελφοὶ πάντες, ὥσπερ ἀπὸ μιᾶς ψυχῆς, παρεκάλουν ὅσους ἂν βούληται ἐξ αὐτῶν ἐπὶ ἀναζητήσει τούτου καὶ ἐπιστροφῇ ἐκπέμπειν· ἕτοιμοι γὰρ εἶεν ὑπηρετεῖν. Ὃ καὶ πεποίηκεν ὁ καλὸς ἐκεῖνος καὶ ἀγαθὸς ἀνὴρ καὶ μαθητὴς ὄντως τοῦ ἀληθινοῦ ποιμένος, τοῦ θέντος τὴν ψυχὴν ὑπὲρ τῶν ἰδίων προ-

στήρι του. Αὐτή εἶναι ἡ πληρωμή τῆς ἁμαρτίας. Ὄχι μόνο στερεῖ τόν ἄνθρωπο ἀπό τήν ἀρετή καί τόν κάνει ξένο στόν Θεό, ἀλλά καί ντροπή καί ἀτιμία περιχύνει σ' αὐτούς πού πείθονται καί τήν ἀκολουθοῦν.

Ὁ ποιμένας ὁ καλός τοῦ δικοῦ μας τάγματος, ὅταν ἔμαθε τήν παρεκτροπή τοῦ ἀδελφοῦ, ἄρχισε νά στενάζει, νά θρηνεῖ καί νά χύνει δάκρυα γιά τό ὀλίσθημα καί τήν κατάπτωση τοῦ ἀδελφοῦ. Καί ὄχι τόσο γιά τήν ἁμαρτία του ὅσο γιά τήν ἀποθάρρυνσή του. Ἔλεγε συχνά: "Πρέπει μέ κάθε τρόπο νά προφυλαγόμαστε ἀπό τήν ἁμαρτία, σάν ἀπό φίδι μέ πολλά κεφάλια, γιατί μέ ποικίλες καί διάφορες ἀφορμές προσπαθεῖ νά μπεῖ μέσα στήν ψυχή μας. Ἂν ὅμως ἡ ἁμαρτία γίνει εἴτε ἀπό ἀδυναμία εἴτε μέ τή δική μας θέληση εἴτε ἀπό δαιμονική ἐπήρεια, νά μήν ἐπιτρέπουμε στόν ἑαυτό μας νά μένει ἄλλο σ' αὐτήν, ἀλλά σάν νά πέσαμε σέ ἀρρώστια, πάλι νά ἀνατρέξουμε στή θεραπεία, καί ὄχι νά παραδώσουμε τούς ἑαυτούς μας στόν διάβολο, ἀπελπισμένοι γιά τήν σωτηρία. Αὐτό σημαίνει ἀπιστία στήν φιλανθρωπία τοῦ Θεοῦ καί ὅτι δέν δέχεται κανείς τά φάρμακα τῆς μετανοίας".

Ὁ ποιμένας λοιπόν αὐτός ἔκανε σύναξη τῶν μαθητῶν του καί σκεφτόταν μαζί τους τί πρέπει νά κάνουν γιά τήν σωτηρία τοῦ ἀδελφοῦ, ἄν καί ὁ ἴδιος γνώριζε τί ἔπρεπε νά γίνει, γιατί δέν θά ἦταν δίκαιο νά κυβερνάει καί νά ποιμαίνει, ἄν δέν ἤξερε τό συμφέρον τῶν προβάτων. Ἀλλά τό ἔκανε γυμνάζοντας τούς ἄλλους καί προσπαθώντας νά δεῖ ποιά καλή διάθεση διατηροῦν ὁ ἕνας γιά τόν ἄλλο.

Οἱ ἀδελφοί ὅλοι μέ μιά ψυχή τόν παρακαλοῦσαν νά στείλει γιά τήν ἀναζήτηση καί ἐπιστροφή του ὅσους τυχόν θέλει, διότι ἦταν ἕτοιμοι νά ἀναλάβουν ὑπηρεσία. Πράγμα πού ἔκανε ὁ καλός καί ἀγαθός ἐκεῖνος ἄνδρας καί πραγματικός μαθητής τοῦ ἀληθινοῦ Ποιμένα, πού θυσίασε τή

βάτων. Ἀπέστειλεν οὖν ἡμᾶς μὲν ἐνταῦθα, ἑτέρους δὲ ἐν ταῖς ἄλλαις πατρίσιν, εἴ πως τὸ πλῆθος τῶν ἐκπεμφθέντων θηράσαι τὸ ζητούμενον δυνηθείη.

Ἐμοῦ δὲ σφόδρα θαυμάσαντος τὴν τοσαύτην αὐτῶν ἀγάπην καὶ ἐπιμέλειαν περὶ τὸν ἁμαρτήσαντα, ἔφην πρὸς αὐτόν· Ἄραγε, ὦ μακάριε, ἔστι τις καλῶν καὶ φαύλων ἀνταπόδοσις ἐν τῷ μέλλοντι; Ἔφη δέ μοι ἐκεῖνος· Ναί, χριστιανέ, ἔστιν ἀνταπόδοσις ὧν τε ἐν ἡμέρᾳ καὶ νυκτὶ λογιζόμεθά τε καὶ πράττομεν ἔργων πονηρῶν τε καὶ ἀγαθῶν. Καὶ ἅμα τῷ εἰπεῖν ταῦτα τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνας διώμνυτο ἡμῖν εἰς ἀπόδειξιν τούτων διηγούμενός μοι ἀποκαλύψεις, ἃς ὑπό τινων ὁραθῆναι συνέβη, καὶ δακρύων σφοδρῶς ἤρξατο λέγειν ἡμῖν οὕτως·

Ὅτι πρεσβύτερός τις τῶν παρ' ἡμῖν ἐπιχωρίων, ἀνὴρ θαυμαστὸς καὶ πολλῷ χρόνῳ τῇ ἀσκήσει ἐγκαρτερήσας, πολλήν τε ἀνάγνωσιν τῶν θείων Γραφῶν τῇ μελέτῃ πεποιημένος ἐξηγήσατό μοι τάδε· Γέγονέ μοι, φησί, ἀδελφὴ παρθένος νέα μὲν τῷ χρόνῳ, πρεσβυτικὴν δὲ τὴν φρόνησιν κεκτημένη, νηστείᾳ καὶ ἐγκρατείᾳ πάντα τὸν χρόνον αὐτῆς διαπεράσασα. Αὕτη παρακαθημένη μοί ποτε ἄφνω ἐπὶ νῶτον κλιθεῖσα ἄφωνός τε καὶ ἄπνους ἔκειτο ὅλην τὴν ἡμέραν καὶ τὴν νύκτα, τῇ δὲ ἑξῆς ἡμέρᾳ κατ' αὐτὴν τὴν ὥραν ὥσπερ ἐξ ὕπνου διαναστᾶσα ἔμφοβος καὶ ἔντρομος ὑπῆρχεν. Ἐμοῦ δὲ ἐρωτῶντος τί τὸ συμβὰν αὐτῇ εἴη, παρεκάλει με τέως αὐτῇ συγχωρεῖν σιωπᾶν μέχρις ὀλίγον, ἕως ὁ τῆς ψυχῆς φόβος ὑποχωρήσας εὐχερῆ καὶ εὔκολον αὐτῇ τὴν διήγησιν παράσχοι τῶν δειχθέντων· ἔφασκε γὰρ ὑπερβαίνειν καὶ ὄψιν καὶ ἀκοὴν τὰ παρ' αὐτῆς ὁραθέντα καλά τε καὶ φαῦλα. Θρηνοῦσα δὲ ἐπὶ πλείστας ἡμέρας διετέλει μήτε αὐτὴ λόγον παραδεχομένη παρά τινος ἀκοῦσαι, μήτε τοῦ παρὰ ἑτέροις μεταδοῦναι· πολλάκις τε ὀνομαστί τινων ἐμέμνητο μετὰ θρήνων καὶ οἰμωγῶν ταλανίζουσα αὐτούς. Ἐγὼ δὲ πλείονα τὴν σπουδὴν

ζωή γιά τά πρόβατά του[54]. Ἔτσι, ἔστειλε ἐμᾶς ἐδῶ, ἄλλους σ' ἄλλα μέρη, μήπως οἱ πολλοί πού βγῆκαν γιά κυνήγι μπορέσουν νά πιάσουν αὐτό πού ζητοῦν».

Ἐγώ θαύμασα πολύ τήν τόση ἀγάπη καί φροντίδα γι' αὐτόν πού ἁμάρτησε καί τόν ρώτησα: «Ἄραγε, μακάριε, ὑπάρχει στό μέλλον κάποια ἀνταπόδοση γιά τά καλά καί τά κακά;» «Ναί, χριστιανέ, ἀπάντησε, ὑπάρχει, γιά ὅσα ἔργα πονηρά καί ἀγαθά μέρα-νύχτα σκεφτόμαστε καί κάνουμε». Τήν ἴδια στιγμή σήκωσε τά χέρια στόν οὐρανό καί μᾶς ὁρκιζόταν, γιά νά τά βεβαιώσει αὐτά πού εἶπε, καί μοῦ διηγοῦνταν ἀποκαλύψεις πού ἔγιναν ὁρατές ἀπό κάποιους. Συγκεκριμένα, χύνοντας πολλά δάκρυα, ἄρχισε νά μᾶς λέει τά ἀκόλουθα:

«Ἕνας ἱερέας ἀπό τά μέρη μας –ἄνδρας ἀξιοθαύμαστος, μέ πολλά χρόνια στήν ἄσκηση καί πολύ καταρτισμένος στίς θεῖες Γραφές– μοῦ φανέρωσε τό ἑξῆς:

Εἶχα –λέει– ἀδελφή παρθένα, νέα στήν ἡλικία ἀλλά μέ φρόνηση γεροντική. Ὅλη της τή ζωή τήν πέρασε μέ νηστεία καί ἐγκράτεια. Κάποτε καθώς καθόταν δίπλα μου, ξαφνικά ξάπλωσε κι ἔμεινε ἄφωνη καί χωρίς νά ἀναπνέει ὅλη τή μέρα καί τή νύχτα. Τήν ἄλλη μέρα τήν ἴδια ὥρα σάν ἀπό ὕπνο σηκώθηκε φοβισμένη καί ἔτρεμε. Τήν ρώτησα τί τῆς εἶχε συμβεῖ. Μέ παρακαλοῦσε νά τῆς ἐπιτρέψω ἐκείνη τήν ὥρα νά σιωπᾶ γιά λίγο, ἑωσότου ὑποχωρήσει ὁ φόβος της, ὥστε νά μπορέσει ἄνετα κι εὔκολα νά περιγράψει αὐτά πού τῆς φανερώθηκαν. Ἔλεγε ὅτι αὐτά πού εἶδε, καλά καί κακά, ξεπερνοῦν καί τήν ὅραση καί τήν ἀκοή. Γιά μέρες θρηνοῦσε καί δέν δεχόταν οὔτε ἡ ἴδια νά ἀκούσει κάποια λόγια ἀπό ἄλλον οὔτε νά μιλήσει σέ ἄλλους. Πολλές φορές θυμόταν μερικούς μέ τό ὄνομά τους καί τούς ταλάνιζε μέ θρήνους καί κραυγές. Ἐγώ μεγαλύτερη προθυμία εἶχα νά

54. Πρβλ. Ματθ. 18, 12-13 καί Ἰω. 10, 11-15.

ἐποιούμην μαθεῖν τὰ παρ᾽ αὐτῆς ὁραθέντα· μόλις δέ ποτε ἐνδοῦσα τῇ παρακλήσει τοιοῦδε ἤρξατο λόγου.

Κατὰ τὴν ὥραν ἐκείνην, ἐν ῇ ἔτυχόν σοι παρακαθημένη, δύο τινὲς ἄνδρες πολιοὶ τὴν τρίχα καὶ τὸ εἶδος ἔνδοξοι, λευκὴν δὲ τὴν ἐσθῆτα περιβεβλημένοι, ἐλθόντες καὶ κρατήσαντες τῆς δεξιᾶς μου χειρὸς ἐκέλευον ἀκολουθεῖν. Ἐγὼ δέ, φησί, πάντα καταλιποῦσα εἰπόμην αὐτοῖς· ὁ δὲ εἷς αὐτῶν ῥάβδον ἐν τῇ χειρὶ κατέχων ἐκτείνας αὐτὴν εἰς τὸν οὐρανὸν καὶ τοῦτον διανοίξας ἔνδον ἡμᾶς γενέσθαι παρεσκεύασεν· λαβόμενοι δέ με ἄγουσιν ἐπί τινα τόπον, ἔνθα πολὺ πλῆθος ἀγγέλων περιειστήκει προπύλαιά τε καὶ καταπετάσματα ὑπὲρ πᾶσαν διήγησιν ὄντα. Ἔνδον δὲ εἰσελθοῦσα ὁρῶ θρόνον εἰς ὕψος ἀνεγηγερμένον καὶ πολλοὺς ἐκεῖσε περιεστῶτας τῷ κάλλει καὶ τῷ μεγέθει τοὺς ἔξωθεν ὑπερφέροντας· ἐκάθητο δέ τις ἐπὶ τοῦ θρόνου τῷ περὶ αὐτὸν φωτὶ ἅπαντας καταλάμπων, ᾧ προσπίπτοντες ἅπαντες προσεκύνουν. Οἱ δὲ κατέχοντές με προσέτασσόν μοι προσκυνεῖν αὐτῷ· ἤκουσα δὲ αὐτοῦ κελεύοντος ἀγαγεῖν με καὶ δεικνύειν ἅπαντα εἰς ἐξήγησιν τῶν ἐν τῷ βίῳ ἔτι ὑπαρχόντων· οἱ δὲ τῆς χειρός μου αὖθις λαβόμενοι τὸ κελευσθὲν αὐτοῖς ἐπλήρουν.

Καὶ δὴ ἐλθοῦσα κατά τινα τόπον ὁρῶ κτισμάτων τινὰ μεγέθη τῷ κάλλει ἀδιήγητα διαφόροις σχήμασι δεδημιουργημένα χρυσῷ τε καὶ λίθοις τιμίοις καταυγαζόμενα καὶ καταπετάσματα ποικίλα καὶ διάφορα καὶ διάγοντας ἐν αὐτοῖς ἄνδρας τε καὶ γυναῖκας πλῆθος πολὺ ἐν τιμῇ καὶ δόξῃ· ἕκαστον δὲ ὑποδεικνύοντές μοι ἔλεγον τοὺς μὲν εἶναι ἐπισκόπους δικαίως καὶ ὁσίως ἄρξαντας τῶν λαῶν· ἄλλους τε κληρικοὺς καὶ λαϊκούς, τοὺς μὲν ἐν τῷ οἰκείῳ βαθμῷ διαλάμψαντας, τοὺς δὲ σωφρόνως καὶ δικαίως βιώσαντας.

μάθω αὐτά πού εἶχε δεῖ. Μέ δυσκολία κάποια στιγμή ὑποχώρησε στήν παράκλησή μου καί ἄρχισε νά λέει τά ἑξῆς:

Ἐκείνη τήν ὥρα πού ἔτυχε νά κάθομαι δίπλα σου, δυό ἄνδρες ἡλικιωμένοι, ἔνδοξοι στήν ἐμφάνιση καί ντυμένοι στά λευκά, ἦρθαν, μέ κράτησαν ἀπ᾽ τό δεξί χέρι καί μέ παρότρυναν νά τούς ἀκολουθήσω. Ἐγώ –εἶπε– τ᾽ ἄφησα ὅλα καί τούς ἀκολουθοῦσα. Ὁ ἕνας ἀπ᾽ τούς δυό κρατοῦσε στό χέρι ραβδί. Αὐτός ἅπλωσε τό ραβδί στόν οὐρανό, τόν ἄνοιξε καί μᾶς ἑτοίμασε νά μποῦμε μέσα.

Μέ παίρνουν λοιπόν καί μ᾽ ὁδηγοῦν σ᾽ ἕναν τόπο, ὅπου γύρω-γύρω στεκόταν πλῆθος ἀπό ἀγγέλους. Ὑπῆρχαν καί προπύλαια καί παραπετάσματα πού ξεπερνοῦν κάθε περιγραφή. Μπῆκα μέσα καί βλέπω ἕναν θρόνο στημένο σέ ὕψος κι ἐκεῖ ἔστεκαν ὁλόγυρα πολλοί πού ὑπερτεροῦσαν στήν ὀμορφιά καί στό μέγεθος τούς ἔξω. Πάνω στόν θρόνο καθόταν κάποιος πού ὅλους τούς ἔκανε νά λάμπουν μέ τό φῶς πού εἶχε γύρω του· κι αὐτοί ὅλοι ἔπεφταν καί τόν προσκυνοῦσαν. Οἱ ὁδηγοί μου μοῦ ἔδωσαν ἐντολή νά τόν προσκυνήσω. Τόν ἄκουσα νά τούς προστάζει νά μέ ὁδηγήσουν καί νά μοῦ τά δείχνουν ὅλα, γιά νά τά διηγηθῶ σ᾽ αὐτούς πού ὑπάρχουν ἀκόμη στή ζωή. Ἐκεῖνοι μ᾽ ἔπιασαν πάλι ἀπό τό χέρι, κι ἐκτελοῦσαν τό παράγγελμά του.

Ὅταν ἦρθα σέ μιά περιοχή, βλέπω κάποια ἔξοχα κτίσματα, ἀπερίγραπτα σέ ὀμορφιά, χτισμένα μέ διάφορα σχήματα, καί λαμποκοποῦσαν ἀπό χρυσάφι καί πολύτιμους λίθους. Εἶδα ἐπίσης καί καλύμματα πλουμιστά λογιῶ-λογιῶ καί διάφορα. Ἐκεῖ ζοῦσαν ἄνδρες καί γυναῖκες, πλῆθος πολύ, μέ δόξα καί τιμή. Καθέναν μοῦ τόν ἔδειχναν κι ἔλεγαν: Αὐτοί ἦταν ἐπίσκοποι πού διοίκησαν τά πλήθη τῶν ἀνθρώπων δίκαια καί σύμφωνα μέ τόν θεῖο νόμο. Ἄλλοι ἦταν κληρικοί καί λαϊκοί. Οἱ πρῶτοι διακρίθηκαν στόν βαθμό του ὁ καθένας, οἱ δεύτεροι ἔζησαν μέ σωφροσύνη καί ἀρετή.

Ἐκεῖ τοίνυν, ἀδελφέ, καὶ τοῦδε τοῦ χωρίου τὸν πρεσβύτερον καὶ τοὺς κληρικοὺς ἑώρακα, οὓς ἐγώ τε καὶ σὺ ἐπιστάμεθα, παρθένων τε καὶ χηρῶν πλῆθος καὶ τὰς ἐν γάμῳ σεμνῶς βιωσάσας, πολλὰς δὲ καὶ τῶν γνωρίμων ἐθεώρουν τὰς μὲν ἐκ τοῦ ἡμετέρου χωρίου, τὰς δὲ ἐκ διαφόρων, αἷς εἰς συντυχίαν κατὰ τὰς τῶν μαρτύρων συνάξεις συνήμην, τινὰς δὲ ἃς οὐδὲ ἐπιστάμην, περὶ ὧν μᾶλλον παρεκάλουν τοὺς ἄγοντάς με λέγειν ἀνὰ μέρος περὶ αὐτῶν. Οἱ δὲ ἔφασκον ἐκ διαφόρων πόλεών τε καὶ χωρῶν ὑπάρχειν αὐτάς, τὰς μὲν ἐν ἀσκητηρίοις ἀνατραφείσας, τὰς δὲ κατ' ἰδίαν κατὰ μόνας βιωσάσας καὶ τὰς μὲν ἐν χηρείᾳ τὸν πλεῖστον διανυσάσας βίον καὶ θλίψεσι καὶ ταλαιπωρίαις συντριβείσας πολλαῖς· ὑπάρχειν δὲ ἐν αὐταῖς τινὰς καὶ παρθενίᾳ καὶ χηρείᾳ σφαλείσας μὲν πρότερον, πάλιν δὲ διὰ μετανοίας καὶ πολλῶν δακρύων ἐπὶ τὴν προτέραν αὐτῶν ἀποκατασταθείσας τάξιν. Ἐκεῖθεν με πάλιν λαβόντες ἄγουσιν ἐπί τινας τόπους φοβεροὺς μὲν τῇ ὄψει, φρικτοὺς δὲ τῇ θέᾳ καὶ παντοίων θρήνων καὶ οἰμωγῶν πεπληρωμένους.

Τῆς διηγήσεως δὲ ταύτης μέλλουσα ἄρχεσθαι ἐπὶ τοσοῦτον ἦλθε φόβον ὡς ἀπὸ τῶν δακρύων πᾶσαν βρέχειν αὐτῆς τὴν ἐσθῆτα καὶ τῷ φόβῳ τῶν δειχθέντων αὐτῇ διακόπτεσθαι τὴν φωνήν, τὴν δὲ γλῶτταν αὐτῆς ἀπροαιρέτως τοῖς ὀδοῦσιν αὐτῆς συγκρουομένην ἀσήμως ἐπὶ πολὺ φθέγγεσθαι· ὅμως βιαζομένη ὑπ' ἐμοῦ τοιάδε ἤρξατο λέγειν·

Εἶδον τόπους οὕτω φρικτοὺς καὶ φοβεροὺς ὡς μήτε τῇ ὄψει, μήτε τῇ ἀκοῇ ἀνέτους ὑπάρχειν, οὓς ἔλεγον οἱ παρεστῶτες ἅπασι τοῖς ἀσεβέσι καὶ παρανόμοις ἑτοιμασθῆναι, τισὶ δὲ καὶ τῶν ἐν κόσμῳ χριστιανῶν μὲν λεγομένων, πολλοῖς δὲ τοῖς κακοῖς ἐνεχομένων. Ἐκεῖθεν, φησί, ὁρῶ κάμινον ἐκπεφλεγμένην καὶ φοβερὸν βράσμα ἐκφέρουσαν· ἰδοῦσα δὲ καὶ

Ἐκεῖ, ἀδελφέ, εἶδα καί τόν πρεσβύτερο καί τούς κληρικούς αὐτοῦ τοῦ χωριοῦ, πού κι ἐγώ κι ἐσύ τούς γνωρίζουμε, καί πλῆθος ἀπό παρθένες καί χῆρες καί τίς ἔγγαμες πού ἔζησαν μέ σεμνότητα. Ἔβλεπα καί πολλές ἀπό τίς γνωστές, ἄλλες ἀπό τό χωριό μας, ἄλλες ἀπό ἄλλα χωριά, πού μαζί τους εἶχα συναντηθεῖ στίς γιορτές τῶν ἁγίων μαρτύρων. Μερικές οὔτε τίς ἤξερα. Γι' αὐτές ἰδιαίτερα παρακάλεσα τούς ὁδηγούς μου νά μοῦ δίνουν ἐξηγήσεις κατά περίπτωση. Ἔλεγαν ὅτι προέρχονται ἀπό διάφορες πόλεις καί χῶρες, ἄλλες ὅτι εἶχαν ἀνατραφεῖ σέ ἀσκητήρια, ἄλλες ὅτι εἶχαν ζήσει μόνες, ἄλλες ἦταν χῆρες τόν περισσότερο καιρό καί εἶχαν βασανιστεῖ μέ πολλές ταλαιπωρίες καί θλίψεις. Ἀνάμεσα σ' αὐτές ὑπῆρχαν μερικές πού σάν παρθένες καί χῆρες ἔπεσαν σέ ἁμαρτίες πιό μπροστά, ἀλλά μέ μετάνοια καί πολλά δάκρυα πάλι ἦρθαν στήν πρώτη τους τάξη. Ἀπό κεῖ πάλι μέ πῆραν καί μέ ὁδήγησαν σέ τόπους πού σοῦ προκαλοῦν φόβο νά τούς βλέπεις, φρικτό τό θέαμα· καί ἄκουγες παντοῦ θρήνους καί κραυγές.

Τήν ἀδελφή μου, καθώς ἦταν αὐτά ν' ἀρχίσει νά ἀναπαρασταίνει, τόσος φόβος τήν κατέλαβε, ὥστε νά βρέχεται ὅλη της ἡ ἐνδυμασία ἀπό τά δάκρυα, κι ἀπό τόν τρόμο της γι' αὐτά πού τῆς ἔδειξαν, νά διακόπτεται ἡ φωνή· καθώς ἡ γλώσσα της, χωρίς νά τό θέλει, συμπλεκόταν μέ τά δόντια, γιά πολλή ὥρα μιλοῦσε χωρίς νά καταλαβαίνω τί ἔλεγε. Ὅμως ὕστερα ἀπό δική μου πίεση ἄρχισε νά λέει τά ἀκόλουθα:

Εἶδα τόπους τόσο φρικιαστικούς καί τρομακτικούς, ὥστε οὔτε στό βλέμμα οὔτε στήν ἀκοή νά παρέχουν κάποια ἄνεση: Οἱ ὁδηγοί μου ἔλεγαν ὅτι ἑτοιμάστηκαν οἱ τόποι αὐτοί γιά τούς ἀσεβεῖς καί παράνομους καί γιά μερικούς πού ζοῦν στόν κόσμο καί λέγονται χριστιανοί, ὅμως περιπλέχτηκαν σέ πολλά κακά. Ἀπό κεῖ –λέει– βλέπω ἕνα καμίνι ἀναμμένο καί ἔβγαζε φοβερό ἀφρό. Τό εἶδα καί κατατρόμαξα.

ἔντρομος γενομένη ἀνηρώτων τίσιν ἄρα τῶν ἀθλίων ἡτοίμασται ταῦτα· οἱ δὲ ἔφασκον τοῖς ἐν κλήρῳ τεταγμένοις, φιλαργυρίᾳ δὲ καὶ ἀκηδίᾳ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ὑβρίζουσιν βίῳ τε αἰσχρῷ ζῶσιν ἀμετανόητα· ἐν οἷς καὶ ὀνόματά τινων φανερῶς ἔλεγε, τινῶν δὲ καὶ κατὰ τὴν πόλιν, οὓς καὶ αὐτός, φησίν, ἤκουον αἰσχρῶς βιώσαντας, τινῶν δὲ καὶ ἐκ τῆς παρ' ἐμοῦ ἐκκλησίας.

Ἐγὼ δέ, φησί, τρέμουσα ὑπὸ ὀδόντα ἐφθεγγόμην εἰ ἄρα καὶ τότε ἐν κλήρῳ, φησί, καὶ παρθενίᾳ τηλικαῦτα ηὐτρέπισται κακά· ὁ δὲ καὶ πόρρωθεν ὑπάρχων ἀποκριθείς, ἔφη μοι· Ἀρκοῦντα, ὦ παρθένε, καταλήψεται αὐτοὺς τὰ κακὰ τῆς τε εἰς Θεὸν παρανομίας καὶ τῆς εἰς τὸν πλησίον ἀδικίας· ἐνταῦθα γὰρ ἀχθέντες ἀπολήψονται ἅπαντα δικαίως· οὔτε γὰρ τοὺς ἐκεῖ πάσχοντας ὑπ' αὐτῶν ὑπερόψεται ὁ Θεός, οὔτε τοὺς ποιοῦντας τὰ ἀπαρέσκοντα αὐτῷ καταλείψει ἀτιμωρήτους· ἅπασί τε εἰς τὰ καλὰ καὶ κακὰ ἀρκέσει ὁ Θεὸς ὁ παντοδύναμος.

Πάλιν ἐκεῖθεν ἀπαγαγόντες ἱστῶσιν ἐπί τινος τόπου σκότους βαθέος πεπληρωμένου· οἰμωγῆς δὲ καὶ ταραχῆς καὶ βρυγμοῦ καὶ ἐλεεινοῦ ἤχου καὶ πατάγου φοβεροῦ πάντα τὰ ἐκεῖσε μεστὰ ἦν. Ἐκεῖ οὖν, ἀδελφέ, φησίν, πολλὰς καὶ διαφόρους ἑώρων παρθένους δῆθεν καὶ χήρας μετὰ καὶ ἑτέρων τινῶν, ἃς ἔφασκον μηδέποτε ἄξιόν τι τοῦ ἐπαγγέλματος αὐτῶν διαπράξασθαι, περιερχομένας δὲ τόπον ἐκ τόπου καὶ οἰκίαν ἐξ οἰκίας, λοιδορούσας τοὺς ἑτέρων βίους, μέθῃ καὶ τρυφῇ προσεχούσας, ψαλμῳδίας δὲ καὶ προσευχῆς καὶ νηστείας μηδένα ποιουμένας λόγον, καίτοι ἐπὶ τοιαύταις ἐπαγγελίαις πρὸς τὸν Χριστὸν συνθήκας θέμεναι· τινὰς δὲ αὐτῶν ὑπάρχειν ἔλεγον τῶν μὴ σωφρόνως καθηγησαμένων καὶ δι-

55. Πρβλ. Α' Τιμ. 5, 13.

Ρωτοῦσα γιά ποιούς ἄραγε δυστυχισμένους ἔχουν ἑτοιμαστεῖ αὐτά. Ἐκεῖνοι εἶπαν: Γιά τούς κληρικούς πού προσβάλλουν τήν Ἐκκλησία τοῦ Θεοῦ μέ τήν φιλαργυρία καί τήν ἀδιαφορία τους καί ζοῦν χωρίς μετάνοια μιά ζωή αἰσχρή".

Μερικῶν καί τά ὀνόματά τους ἀνέφερε φανερά ἡ ἀδελφή μου, μερικῶν πού ἦταν κι ἀπό τήν πόλη. Γι' αὐτούς κι ἐγώ ὁ ἴδιος ἄκουγα ὅτι ἔζησαν μέ αἰσχρό τρόπο, μάλιστα μερικοί ἦταν ἀπό τήν ἐκκλησία μου.

Ἐγώ τρέμοντας –συνέχισε ἡ ἀδελφή μου– μουρμούριζα μέσα στά δόντια μου πῶς καί γιά τόν κλῆρο καί γιά τήν παρθενία ἔχουν ἑτοιμαστεῖ τόσο μεγάλες τιμωρίες. Ὁ συνοδός μου, ἄν καί ἦταν μακριά, μοῦ ἀποκρίθηκε: Ὅπως ταιριάζει, παρθένα, θά τούς βροῦν τά κακά, γιά τήν παρανομία τους στόν Θεό καί γιά τήν ἀδικία τους στόν πλησίον. Ὅταν ἔρθουν ἐδῶ, μέ δίκαιο τρόπο ὅλα θά ξεπληρωθοῦν. Δηλαδή ὁ Θεός δέν θά παραβλέψει ὅσους ὑπέφεραν ἐκεῖ ἀπό αὐτούς οὔτε θ' ἀφήσει ἀτιμώρητους αὐτούς πού ἔκαναν ὅ,τι δέν ἦταν σ' Αὐτόν ἀρεστό. Ὁ παντοδύναμος Θεός σέ ὅλους θά ἀνταποκριθεῖ γιά τά καλά καί γιά τά ἄσχημα.

Ξανά μέ πῆραν ἀπό κεῖ καί μέ σταματοῦν σ' ἕνα μέρος μέ βαθύ σκοτάδι. Ὅλα τά ἐκεῖ ἦταν ἀναμειγμένα μέ κραυγή καί ταραχή καί τρίξιμο τῶν δοντιῶν καί ἐλεεινό ἦχο καί φοβερό κρότο. Ἐκεῖ λοιπόν, ἀδελφέ –λέει– εἶδα πολλές καί διάφορες, τάχα παρθένες καί χῆρες μαζί μέ μερικές ἄλλες. Αὐτές, ἔλεγαν οἱ συνοδοί μου, ποτέ δέν ἔκαναν κάτι ἀντάξιο στήν ἰδιότητά τους, ἀλλά γύριζαν ἀπό τόπο σέ τόπο καί ἀπό σπίτι σέ σπίτι, περιγελώντας τή ζωή τῶν ἄλλων κι ἔχοντας τό νοῦ στή μέθη καί στήν ἀπόλαυση[55]· δέν φρόντιζαν διόλου γιά ψαλμωδία καί προσευχή καί νηστεία, μολονότι τέτοιες ὑποσχέσεις εἶχαν δώσει στόν Χριστό. Κάποιες ἀπ' αὐτές, ἔλεγαν, ἦταν ἀπό κεῖνες πού δέν διοίκησαν μέ σωφροσύνη καί ἀρετή τή συνοδία τους, ἀλλά

καίως τῆς συνοδίας, ἀλλά τισιν αὐτῶν διαφθορᾶς καὶ ἀπωλείας αἰτίους γεγοννίας.

Ἐγὼ δὲ τὴν πολλὴν αὐτῶν οἰμωγὴν καὶ τὸν θρῆνον ὁρῶσα οὐδὲν ἔλαττον ἐκείνων τὸν φόβον ὑφιστάμην. Ἀκριβῶς δὲ θεωμένη ὁρῶ καὶ τὰς ἐμοὶ πάνυ φιλτάτας δύο παρθένους ἐκείνῳ τῷ πυρὶ καὶ τῇ κολάσει κατεχομένας, ἃς πλειστάκις, ὦ ἀδελφέ, πολλαῖς συμβουλίαις καὶ παρακλήσεσι ἐνουθέτεις στέργων αὐτὰς μάλιστα διὰ τὴν περὶ ἐμὲ φιλίαν αὐτῶν· ἰδοῦσα τοίνυν αὐτὰς καὶ ἀνοιμώξασα μέγα, ἐξ ὀνόματος ἐκάλουν μίαν αὐτῶν. Αἱ δὲ ἐμβλέψασαί μοι καὶ τῷ προσώπῳ τὴν αἰσχύνην λαβοῦσαι ὑπὲρ τὴν τιμωρίαν, ἣν ὑφίσταντο, πλεῖον ἤλγησαν τῇ αἰσχύνῃ καὶ ἔνευσαν κάτω.

Ἐγὼ δὲ μετὰ δακρύων ἠρόμην αὐτὰς τίνα εἴη τὰ πεπραγμένα αὐταῖς ἐν κρυπτῷ, ἃ τοὺς πλείονας ἐλάνθανε, καὶ ποίαις πράξεσι φαύλαις περιπεσοῦσαι τῶν ἐνταῦθα μετέχουσι κακῶν. Αἱ δὲ ἔφασκον· τῶν κολάσεων, φησί, κατηγορουσῶν καὶ δεικνυουσῶν τὰς πράξεις ἡμῶν τί δεῖ ἡμᾶς ἐρωτᾶν; τί δὲ δεῖ καὶ τοῦ λοιποῦ ἐπικρύπτειν ἡμᾶς; τὴν γὰρ παρθενίαν διαφθορᾷ ἀπολώλαμεν, φόνους δὲ διὰ τὰς συλλήψεις ἐτολμήσαμεν. Ἐγκράτειαν δὲ καὶ νηστείαν εἰς πρόσωπον ἑτέρων ἐπιτηδεύουσαι ἐν κρυπτῷ τὰ ἐναντία διεπραττόμεθα· τῆς γὰρ ἀνθρώπων μόνον δόξης ὀρεγόμεναι, τῶν ἐνταῦθα ἡμῖν ἠπειλημένων λόγος οὐδεὶς ὑπῆρχεν· ἀλλ' ἰδού, φησίν, ἅπαντα τὰ ἐν κρυπτῷ ἐκεῖ πεπραγμένα ἡμῖν ἤλεγξε τὰ ἐνταῦθα κακά.

Ἰδού, τῆς ἐκεῖ ἀπάτης ἀξίας ἀπολαμβάνομεν τὰς τιμωρίας· ἰδού, τῆς ἐκεῖ φιλοδοξίας ἀρκοῦσαν ἐνταῦθα ὑφιστάμεθα τὴν αἰσχύνην πάντων τε τῶν πράξεων ἡμῶν δικαίαν ἐκτινύομεν τὴν δίκην, οὐδεμιᾶς δὲ ὑπ' οὐδενὸς τῶν ἐκεῖ φίλων ἀξιούμεθα βοηθείας· ἀλλ' εἴ τίς σοι δύναμις νῦν ἐστι καὶ

56. Ἐννοεῖ τίς ἐκτρώσεις.

εἶχαν γίνει αἰτία γιά διαφθορά καί ἀπώλεια μερικῶν ἀπό τή συνοδία.

Ἐγώ καθώς ἄκουγα τίς θλιβερές κραυγές καί τόν θρῆνο τους, μέ κατέλαβε ὁ φόβος ἐξίσου μ' ἐκεῖνες. Παρατηρώντας μέ προσοχή, βλέπω καί τίς δυό πολύ ἀγαπημένες μου παρθένες ριγμένες μέσα σ' ἐκείνη τή φωτιά καί τήν κόλαση. Αὐτές, ἐσύ ἀδελφέ, συχνά τίς νουθετοῦσες μέ συμβουλές καί παρακάλια, δείχνοντάς τες στοργή κυρίως γιά τή φιλία τους μαζί μου. Τίς πρόσεξα· στέναξα βαθιά καί φώναξα τή μιά ἀπ' αὐτές μέ τό ὄνομά της. Ἐκεῖνες μόλις ἔστρεψαν τά μάτια τους σέ μένα, καί στό πρόσωπό τους ζωγραφίστηκε ἡ ντροπή πιό ἔντονα ἀπό τά βάσανα τῆς τιμωρίας πού δοκίμαζαν, πόνεσαν περισσότερο ἀπό τήν ντροπή τους καί ἔριξαν κάτω τό βλέμμα.

Ἐγώ κλαίγοντας τίς ρωτοῦσα τί εἶχαν κάνει στά κρυφά, πού ξέφυγε τήν προσοχή τῶν πολλῶν, καί σέ ποιές κακές πράξεις εἶχαν περιπέσει καί ἔχουν συμμετοχή στίς ἐδῶ τιμωρίες. Ἐκεῖνες εἶπαν: Ἀφοῦ οἱ τιμωρίες μαρτυροῦν καί δείχνουν τίς πράξεις μας, τί χρειάζεται νά μᾶς ρωτᾶς; Καί ποιός λόγος στό ἑξῆς νά τά κρύβουμε; Τήν παρθενία τήν χάσαμε μέ τήν ἀνηθικότητα. Μέ τίς συλλήψεις τολμήσαμε φόνους[56]. Ἐγκράτεια καί νηστεία προσποιούμασταν γιά τά μάτια τῶν ἄλλων, ἐνῶ στά κρυφά κάναμε τά ἀντίθετα. Γιατί ἐπιθυμούσαμε μόνο τή δόξα τῶν ἀνθρώπων καί καμιά σημασία δέν δίναμε σ' αὐτά πού μᾶς ἀπειλοῦνταν νά πάθουμε ἐδῶ. Ἀλλά νά, ὅλα ὅσα εἴχαμε κάνει ἐκεῖ κρυφά ἀπό τούς ἄλλους τά ἀποδεικνύουν τά ἐδῶ κακά.

Νά, ἀπολαμβάνουμε ἀντάξια τίς τιμωρίες γιά τήν ἐκεῖ ἐξαπάτηση. Νά, γιά τήν ἐκεῖ ἀγάπη τῆς δόξας ἐδῶ ἔχουμε τήν ἀνάλογη ντροπή καί γιά ὅλες τίς πράξεις μας δίκαια πληρώνουμε. Δέν θεωροῦμε τόν ἑαυτό μας ἄξιο γιά καμιά βοήθεια ἀπό κανένα τῶν ἐκεῖ φίλων· ἀλλά ἐσύ, φίλη μας,

παρρησία, ὦ φίλη, ἐκ τοῦ βίου σου τοῦ καλοῦ πρὸς αὐτούς, βοήθησον ἡμῖν ἐκ τῶν κατεχόντων δεινῶν ἡμᾶς βασάνων· δεῖξον τὴν περὶ ἡμᾶς στοργὴν καὶ ἀγάπην καὶ μικρὸν κἂν γοῦν ἔλεος αἴτησαι ἡμῖν παρὰ τῶν κολαζόντων.

Ἐγὼ δὲ ἀπεκρινόμην πρὸς αὐτάς· Καὶ ποῦ εἰσιν αἱ τοσαῦται παραινέσεις καὶ συμβουλίαι τοῦ ἐμοῦ ἀδελφοῦ; ποῦ αἱ παρακλήσεις, ποῦ ἡ πολλὴ αὐτοῦ ἐπιμέλεια, ποῦ αἱ συνεχεῖς εὐχαί; οὐδὲν τούτων ἤρκεσεν ὑμῖν, ὦ ἀδελφαί, εἰς τὸ μὴ ἐνταῦθα καταταγῆναι; Νῦν ἔστιν ἀληθῶς εὑρεῖν ὡς πᾶσα συμβουλὴ καὶ ἐπιμέλειαι καὶ εὐχαὶ παρά τινος γενόμεναι, ἐξίτηλοι καὶ ἀνωφελεῖς γίνονται, εἰ μὴ αὐτὸς ἑαυτὸν ὑπήκοον εἰς ταῦτα παράσχοι.

Αἱ δὲ αἰσχυνόμεναι πρῶτον μὲν ἐσιώπων, εἶτα ἔλεγον πάλιν μὴ εἶναι καιρὸν ἐγκλήσεως καὶ ὀνειδισμοῦ, ἀλλὰ παρακλήσεως καὶ βοηθείας· τὰ γὰρ συνέχοντα ἡμᾶς κακὰ ἐλέους χρῄζει καὶ συμπαθείας· εἴ τι οὖν δύνασαι, βοήθησον ἡμῖν σπλαγχνισθεῖσα ἐφ᾿ ἡμᾶς. Ἐγὼ δέ, φησίν, εἴ τι ἂν δυναίμην ποιῆσαι ἀγαθὸν θέλω· αἱ δὲ τοὺς ἐφεστῶτας ἔφασκον ταῖς τιμωρίαις ὑπὲρ αὐτῶν παρακαλεῖν καὶ εἰ μὲν δυνατὸν ταύτης αὐτὰς παντελῶς ἐλευθερῶσαι τῆς κολάσεως, εἰ δὲ μήγε κἂν ἄνεσιν μικρὰν εἰς παραμυθίαν εὑρεῖν τῶν τηλικούτων κακῶν.

Ἐγὼ δὲ προσπίπτουσα μετὰ δακρύων καὶ θρήνων ἱκέτευον αὐτοὺς λέγουσα· Μιμήσασθε τὸν ἑαυτῶν δεσπότην φιλάνθρωπόν τε ὄντα καὶ ἀγαθὸν καὶ τοῦ λοιποῦ τῆς κολάσεως ταύτης ἀναπαύσατε αὐτάς. Οἱ δὲ μετὰ φοβεροῦ τοῦ βλέμματος ἄπρακτον ἀπέπεμπόν με λέγοντες μὴ εἶναι καιρὸν αὐταῖς μετανοίας καὶ ἐξομολογήσεως· τὸν γὰρ ἐπὶ τὸ μετανοῆσαι χρόνον ὑπὸ τοῦ Θεοῦ ἀφορισθέντα αὐταῖς πορνείαις καὶ φόνοις καὶ τρυφῇ καὶ πάσῃ ἀνομίᾳ προσαναλώσασαι, ἀνέσεως ἐνταῦθα τυχεῖν οὐ δύνανται. Μῦθον δὲ τὰ ὧδε ἀγαθὰ ὑπολαμβάνουσαι τότε, πῶς νῦν ζητοῦσιν ἐκείνων τὴν

ἄν τώρα ἔχεις κάποια δύναμη καί θάρρος σ᾿ αὐτούς, γιά τήν ἐνάρετη ζωή σου, βοήθησέ μας στά φοβερά βάσανά μας· δεῖξε τή στοργή καί τήν ἀγάπη πού μᾶς εἶχες καί ζήτησε γιά μᾶς, ἔστω μικρή, συμπόνια ἀπό τούς τιμωρούς.

Ἐγώ τίς ἔλεγα: Καί ποῦ πῆγαν οἱ τόσες προτροπές καί συμβουλές τοῦ ἀδελφοῦ μου; Ποῦ οἱ παρακλήσεις, ποῦ ἡ τόση του φροντίδα, ποῦ οἱ συνεχεῖς εὐχές; Τίποτε ἀπό αὐτά, ἀδελφές, δέν στάθηκε ἱκανό νά σᾶς κάνει νά μήν πάρετε θέση ἐδῶ; Τώρα ἔχουμε ἀληθινά τήν ἀπόδειξη ὅτι, κάθε συμβουλή καί ἡ φροντίδα καί οἱ προσευχές πού γίνονται ἀπό κάποιον, σβήνουν κι εἶναι χωρίς ἀποτέλεσμα, ἐάν ὁ ἴδιος δέν ὑποχρεώσει τόν ἑαυτό του νά τά ἐφαρμόσει.

Ἐκεῖνες σιωποῦσαν στήν ἀρχή ἀπό ντροπή. Ἀλλά ἔπειτα ἔλεγαν πάλι ὅτι δέν εἶναι καιρός γιά κατηγορίες κι ἐλέγχους, ἀλλά γιά παρηγοριά καί βοήθεια. Τά κακά πού μᾶς πιέζουν –ἔλεγαν– ἐπιζητοῦν εὐσπλαχνία καί συμπάθεια. Λοιπόν, ἄν μπορεῖς, βοήθησέ μας δείχνοντάς μας φιλανθρωπία. Ἐγώ –ἀλήθεια– ἄν θά μποροῦσα νά κάνω κάτι καλό, θά τό ἤθελα. Ἐκεῖνες ἔλεγαν νά παρακαλέσω γι᾿ αὐτές τούς ἐπόπτες στίς τιμωρίες, κι ἄν ἦταν δυνατό νά τίς ἐλευθερώσουν τελείως ἀπό αὐτή τήν κόλαση· εἰδάλλως νά βροῦν τουλάχιστον λίγη ἄνεση γιά παρηγοριά στά τόσα κακά.

Ἐγώ τότε ἔπεσα στά πόδια τους καί μέ δάκρυα καί θρήνους τούς παρακαλοῦσα, λέγοντας: Μιμηθεῖτε τόν Κύριό σας, πού εἶναι φιλάνθρωπος καί ἀγαθός, καί στό ἑξῆς ἀπαλλάξτε τις ἀπ᾿ αὐτή τήν κόλαση. Ἐκεῖνοι ὅμως μέ φοβερό τό βλέμμα μέ ξαπέστειλαν ἄπρακτη λέγοντας: Δέν εἶναι γι᾿ αὐτές τώρα καιρός μετανοίας καί ἐξομολογήσεως. Ἀφοῦ τόν χρόνο πού τίς καθορίστηκε ἀπό τόν Θεό γιά μετάνοια τόν δαπάνησαν σέ πορνεῖες καί φόνους καί ἀπόλαυση καί κάθε παρανομία, δέν μποροῦν νά βροῦν ἐδῶ ἀνάπαυση. Τότε θεωροῦσαν μύθο τά ἐδῶ ἀγαθά· πῶς τώρα

μετάληψιν; Δίκαιον αὐταῖς ἐστιν οἵασπερ ἔσπειραν ἐκεῖ πράξεις, τοιούτους θερίσαι τοὺς καρπούς. Πρέπει δὲ αὐταῖς, ὧν ὑπερεῖδον ἀγαθῶν, τούτων ἐνταῦθα μὴ τυχεῖν, ὧν δὲ κατεφρόνησαν κολάσεων, τούτων πειρασθῆναι διὰ τέλους διὰ τὰ μέχρι θανάτου αὐτῶν κακά. Ἄπιθι δέ, ὦ παρθένε, τὰ ὧδε τοῖς ἐκεῖ ἀναγγέλλουσα κακά τε καὶ ἀγαθά, εἴπερ ἄρα μὴ καὶ σὺ ληρεῖν αὐτοῖς πλεῖον πάντων δόξῃς.

Αἱ δὲ κατιδοῦσαι ἄπρακτόν μου τὴν παράκλησιν γεγονυῖαν, θρηνοῦσαι καὶ τρίζουσαι τοὺς ὀδόντας ἔλεγον· οὐδὲν ἀνάξιον τῶν πεπραγμένων ἡμῖν ὑφιστάμεθα· καὶ γὰρ ἡμεῖς τῶν ἐν τῷ κόσμῳ ἐκείνων νουθετούντων ἡμᾶς ἀξίως τῆς παρθενίας ζῆν οὐχ ὑπηκούσαμεν, καὶ καλῶς τὰς παρακλήσεις ἡμῶν ἀπράκτους ἐνταῦθα ἀποφαίνουσιν. Ἀλλ᾽ ἐπειδὴ καταλιμπάνουσα ἡμᾶς ἀπέρχῃ πάλιν ἐπὶ τὸν κόσμον, δεόμεθά σου ἀπάγγειλον ταῦτα πάντα τῇ συνοίκῳ ἡμῶν· καὶ γὰρ καὶ αὐτὴ τὰ ὅμοια σὺν ἡμῖν διεπράξατο, καταγελῶσα μὲν τῶν ἐνταῦθα, μύθους δὲ τὰ λεγόμενα κρίνουσα καθάπερ καὶ ἡμεῖς· ἀπάγγειλον αὐτῇ τὰς ἡμῶν βασάνους, ἵνα μὴ παραπλήσια πράττουσα ἕως τέλους τῶν ὁμοίων κακῶν καὶ αὐτὴ πειραθῇ. Πεῖσον δὲ αὐτὴν ὡς ἔστιν ἀληθῆ πάντα τὰ ὧδε καὶ παρακάλεσον μετανοῆσαι· ἴσως γὰρ ἔσται τις σωτηρία τῇ ταύτης ψυχῇ.

Κύριος δὲ ὁ Θεὸς ἀξιώσοι ἡμᾶς ῥυσθῆναι τῶν κολάσεων, ὧν ἠκούσαμεν, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν αὐτοῦ· ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.


Τέλος τῆς περὶ διορατικῶν πραγματείας.

ζητοῦν νά τά ἔχουν; Εἶναι δίκαιο γι᾽ αὐτές ὅποιες ἀκριβῶς πράξεις ἔσπειραν ἐκεῖ, τέτοιους καρπούς νά θερίσουν. Ἐπιβάλλεται τά ἀγαθά πού περιφρόνησαν ἐκεῖ νά μήν τά ἀπολαύσουν ἐδῶ, καί σέ ὅποιες τιμωρίες δέν ἔδωσαν σημασία, ἀπ᾽ αὐτές νά δοκιμαστοῦν αἰώνια, γιά τά κακά πού ἔκαναν μέχρι τόν θάνατό τους. Πήγαινε, παρθένα, νά ἀναγγείλεις ἐκεῖ κάτω στούς ἀνθρώπους καί τά ἄσχημα καί τά καλά πού ὑπάρχουν ἐδῶ, ἄν βέβαια δέν τούς φανεῖς ἐσύ ὅτι φλυαρεῖς περισσότερο ἀπό ὅλους.

Ἐκεῖνες ὅταν εἶδαν ὅτι ἡ παράκλησή μου δέν ἔφερε ἀποτέλεσμα, θρηνώντας καί τρίζοντας τά δόντια ἔλεγαν: Τίποτε δέν παθαίνουμε πού νά μήν τό ἀξίζουμε γιά ὅσα κάναμε. Ἐμεῖς ἐκείνους πού στόν κόσμο μᾶς συμβούλευαν νά ζοῦμε ἀντάξια μέ τήν παρθενία, δέν τούς ἀκούσαμε· ἐδῶ πολύ σωστά οἱ παρακλήσεις μας ἀποδεικνύονται ἀνώφελες. Ὅμως ἐπειδή μᾶς ἐγκαταλείπεις καί ἐπιστρέφεις στόν κόσμο, σέ παρακαλοῦμε νά παρουσιάσεις ὅλα αὐτά στή συγκάτοικό μας. Κι αὐτή τά ἴδια μέ μᾶς ἔκανε· περιγελοῦσε τά ἐδῶ καί θεωροῦσε φανταστικές διηγήσεις ὅσα λέγονταν, ὅπως ἀκριβῶς κι ἐμεῖς. Μίλησέ της γιά τούς βασανισμούς μας, γιά νά μή δοκιμάσει κι αὐτή ὅμοια κακά, κάνοντας μέχρι τέλους παραπλήσιες μέ τίς δικές μας πράξεις. Νά τήν πείσεις ὅτι ὅλα τά ἐδῶ εἶναι ἀληθινά, καί παρακάλεσέ την νά μετανοήσει· ἴσως θά ὑπάρχει κάποια σωτηρία γιά τήν ψυχή της».

Ὁ Κύριος ὁ Θεός εἴθε νά μᾶς ἀξιώσει νά γλυτώσουμε ἀπό τίς τιμωρίες πού ἀκούσαμε καί νά ἔχουμε τά αἰώνια ἀγαθά του, μέ τήν κοινωνία μας μέ τόν ἴδιο τόν Χριστό, τόν Κύριό μας, στόν ὁποῖο ἀνήκει ἡ δόξα καί ἡ δύναμη τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Τέλος τῆς πραγματείας περί τῶν διορατικῶν.




Πηγάδι στόν κῆπο τῆς μονῆς τῆς ἁγίας Αἰκατερίνης Σινᾶ

ΚΕΦΑΛΑΙΟ
ΙΘ΄

Ἐπειράσθη ποτὲ Ἀβραὰμ ὁ μαθητὴς
τοῦ ἀββᾶ Σισόη ἀπὸ δαίμονος.
Καὶ εἶδεν αὐτὸν ὁ Γέρων ὅτι πέπτωκε.
Καὶ ἀναστὰς ἐξέτεινε τὰς χεῖρας αὐτοῦ
εἰς τὸν οὐρανὸν λέγων·
Ὁ Θεός, θέλεις οὐ θέλεις,
οὐκ ἀφῶ σε, ἐὰν μὴ αὐτὸν θεραπεύσῃς.
Καὶ εὐθέως ἐθεραπεύθη.

(Ἀπόφθ. 22)



Περὶ σημειοφόρων




λεγον περὶ τοῦ ἀββᾶ Ἀμμωνᾶ ὅτι βασιλίσκον ἀπέκτεινεν· ἀπελθὼν γὰρ εἰς τὴν ἔρημον ἀντλῆσαι ὕδωρ ἀπὸ λάκκου καὶ ἰδὼν τὸν βασιλίσκον ἔβαλεν ἑαυτὸν ἐπὶ πρόσωπον λέγων· Κύριε, ἢ ἐγὼ ἔχω ἀποθανεῖν ἢ οὗτος· καὶ εὐθέως ὁ βασιλίσκος ἐν τῇ δυνάμει τοῦ Χριστοῦ διερράγη.

2. Ἀπῆλθέ ποτε ὁ ἀββᾶς Ἀμμωνᾶς παραβαλεῖν τῷ ἀββᾷ Ἀντωνίῳ καὶ ἐπλανήθη τὴν ὁδόν. Καὶ καθίσας ἐκοιμήθη μικρόν· καὶ ἀναστὰς ἐκ τοῦ ὕπνου ηὔξατο τῷ Θεῷ λέγων· Δέομαί σου, Κύριε ὁ Θεός μου, μὴ ἀπολέσῃς τὸ πλάσμα σου. Καὶ ὤφθη αὐτῷ χεὶρ ἀνθρώπου κρεμαμένη ἐκ τοῦ οὐρανοῦ δεικνύουσα αὐτῷ τὴν ὁδόν, ἕως οὗ ἦλθε καὶ ἔστη κατὰ τοῦ σπηλαίου τοῦ ἀββᾶ Ἀντωνίου.

3. Ἦλθέ ποτέ τις ἄρχων εἰς τὸ Πηλούσιον καὶ ἤθελεν ἀπαιτῆσαι ἐπικεφάλαια τοὺς μοναχούς, ὥσπερ τοὺς κοσμικούς. Καὶ συνήχθησαν ὅλοι οἱ ἀδελφοὶ πρὸς τὸν ἀββᾶν Ἀμμωναθὰν περὶ τούτου. Καὶ ἐψηφίσαντο τινὰς τῶν Πατέρων ἀνελθεῖν πρὸς τὸν βασιλέα. Καὶ λέγει αὐτοῖς ὁ ἀββᾶς Ἀμμω-

1. Βλ. Χάρτη σελ. 6-7· στά βόρεια παράλια τῆς Αἰγύπτου.



Περί σημειοφόρων



λεγαν γιά τόν ἀββᾶ Ἀμμωνᾶ ὅτι θανάτωσε ἕνα φαρμακερό φίδι. Καθώς δηλαδή πῆγε στήν ἔρημο γιά νά πάρει νερό ἀπό κάποιο λάκκο καί εἶδε τό φίδι, ἔπεσε κατά πρόσωπο στή γῆ λέγοντας: «Κύριε, ἤ ἐγώ θά πεθάνω ἤ αὐτό». Καί ἀμέσως τό φαρμακερό φίδι μέ τή δύναμη τοῦ Χριστοῦ ἔσκασε.

2. Ξεκίνησε κάποτε ὁ ἀββᾶς Ἀμμωνᾶς μέ σκοπό νά συναντήσει τόν ἀββᾶ Ἀντώνιο καί ἔχασε τόν δρόμο. Κάθισε λοιπόν κάπου καί τόν πῆρε γιά λίγο ὁ ὕπνος. Ὅταν ξύπνησε, προσευχήθηκε στόν Θεό λέγοντας: «Σέ παρακαλῶ, Κύριε καί Θεέ μου, μήν ἐπιτρέψεις νά χαθεῖ τό πλάσμα σου». Καί ἀμέσως τοῦ παρουσιάστηκε ἕνα ἀνθρώπινο χέρι κρεμασμένο ἀπ᾽ τόν οὐρανό πού τοῦ ἔδειχνε τόν δρόμο, ὥσπου ἔφθασε καί στάθηκε ἀπέναντι ἀπό τό σπήλαιο τοῦ ἀββᾶ Ἀντωνίου.

3. Ἦλθε κάποτε ἕνας ἄρχοντας στό Πηλούσιο[1] καί ἤθελε νά ζητήσει κεφαλικό φόρο ἀπ᾽ τούς μοναχούς, ὅπως ἀκριβῶς καί ἀπ᾽ τούς κοσμικούς. Συγκεντρώθηκαν λοιπόν ὅλοι οἱ ἀδελφοί γι᾽ αὐτό τό θέμα στοῦ ἀββᾶ Ἀμμωναθᾶ. Καί πῆραν τήν ἀπόφαση νά πᾶνε στόν βασιλιά κάποιοι ἀπ᾽ τούς Πατέρες. Ἀλλά ὁ ἀββᾶς Ἀμμωναθάς τούς εἶπε: «Δέν

ναθάς· Οὐ χρεία τοῦ σκυλμοῦ τούτου, ἀλλὰ μᾶλλον ἡσυχάσατε εἰς τὰ κελλία ὑμῶν καὶ νηστεύσατε δύο ἑβδομάδας. Καὶ τῇ χάριτι τοῦ Χριστοῦ ἐγὼ μόνος ποιῶ τὸ πρᾶγμα. Καὶ ἀπῆλθον οἱ ἀδελφοὶ εἰς τὰ κελλία ἑαυτῶν καὶ ὁ Γέρων ἡσύχασεν εἰς τὸ ἴδιον κελλίον.

Ὡς οὖν ἐπληρώθησαν δεκατέσσαρες ἡμέραι, ἐλυπήθησαν οἱ ἀδελφοὶ κατὰ τοῦ Γέροντος, ὅτι οὐκ εἶδον αὐτὸν πώποτε κινηθέντα καὶ ἔλεγον· Κατήργησεν ὁ Γέρων τὸ πρᾶγμα ἡμῶν. Τῇ δὲ πέμπτῃ καὶ δεκάτῃ ἡμέρᾳ συνήχθησαν οἱ ἀδελφοὶ κατὰ τὰς συνταγάς, καὶ ὁ Γέρων ἦλθε πρὸς αὐτοὺς φέρων τὴν σάκραν ἀπὸ τοῦ βασιλέως ἐσφραγισμένην. Ἰδόντες δὲ οἱ ἀδελφοὶ ἐξέστησαν λέγοντες· Πότε ταύτην ἤνεγκας, ἀββᾶ; Καὶ λέγει ὁ Γέρων· Πιστεύσατέ μοι, ἀδελφοί, ὅτι ἐν ταύτῃ τῇ νυκτὶ ἀπῆλθον πρὸς τὸν βασιλέα καὶ ἔγραψα τὴν σάκραν ταύτην· καὶ ἐλθὼν εἰς Ἀλεξάνδρειαν ὑπέγραψα αὐτὴν παρὰ τῶν ἀρχόντων καὶ οὕτως ἦλθον πρὸς ὑμᾶς. Ἀκούσαντες δὲ ἐφοβήθησαν καὶ ἔβαλον αὐτῷ μετάνοιαν, καὶ ἠνύσθη αὐτῶν τὸ πρᾶγμα, καὶ οὐκ ἠνώχλησεν αὐτοῖς ὁ ἄρχων.

4. Ἔλεγεν ὁ ἀββᾶς Δουλᾶς, ὁ μαθητὴς τοῦ ἀββᾶ Βησσαρίωνος ὅτι· Ὁδευόντων ποτὲ ἡμῶν εἰς ὄχθαν τῆς θαλάσσης ἐδίψησα καὶ εἶπον τῷ ἀββᾷ Βησσαρίωνι· Ἀββᾶ, διψῶ πάνυ. Καὶ ποιήσας εὐχὴν ὁ Γέρων λέγει μοι· Πίε ἐκ τῆς θαλάσσης. Καὶ ἐγλυκάνθη τὸ ὕδωρ, καὶ ἔπιον. Ἐγὼ δὲ ἤντλησα εἰς τὸ ἀγγεῖον, μή ποτε παρεκεῖ διψήσω. Καὶ ἰδὼν ὁ Γέρων λέγει μοι· Διατί ἤντλησας; Καὶ λέγω αὐτῷ· Συγχώρησόν μοι, μή ποτε παρεκεῖ διψήσω. Καὶ εἶπεν ὁ Γέρων· Ὁ Θεὸς ὧδε καὶ παντὶ Θεός.

χρειάζεται αὐτός ὁ κόπος. Προτιμότερο εἶναι νά μείνετε στά κελιά σας καί νά νηστέψετε δύο ἑβδομάδες. Καί μέ τή χάρη τοῦ Χριστοῦ μόνος μου ἐγώ θά τακτοποιήσω τήν ὑπόθεση». Οἱ ἀδελφοί ἀποσύρθηκαν στά κελιά τους κι ὁ Γέροντας ἀποσύρθηκε στό δικό του κελί.

Ὅταν συμπληρώθηκαν δεκατέσσερες ἡμέρες, στενοχωρέθηκαν οἱ ἀδελφοί γιά τόν Γέροντα, γιατί δέν τόν εἶδαν ποτέ νά κάνει κάποια κίνηση καί ἔλεγαν: «Τή ματαίωσε τήν ὑπόθεσή μας ὁ Γέροντας». Καί τήν δέκατη πέμπτη ἡμέρα, ὅπως εἶχε ὁρισθεῖ, συγκεντρώθηκαν οἱ ἀδελφοί καί παρουσιάζεται ὁ Γέροντας κρατώντας τήν ἀπόφαση σφραγισμένη ἀπ᾽ τόν βασιλιά.

Τήν εἶδαν οἱ ἀδελφοί καί ἀπορώντας εἶπαν: «Πότε τήν ἔφερες, ἀββᾶ;» Καί ἀπάντησε ὁ Γέροντας: «Πιστέψτε με, ἀδελφοί, πώς αὐτή τή νύχτα πῆγα στόν βασιλιά καί πῆρα γραμμένη αὐτή τήν ἀπόφαση. Μετά πῆγα στήν Ἀλεξάνδρεια ὅπου τήν ὑπέγραψαν οἱ ἄρχοντες κι ὕστερα γύρισα σέ σᾶς». Μόλις τ᾽ ἄκουσαν οἱ ἀδελφοί, ἔνιωσαν δέος καί τοῦ ᾽βαλαν μετάνοια. Ἔτσι τακτοποιήθηκε ἡ ὑπόθεσή τους καί δέν τούς ἐνόχλησε ὁ ἄρχοντας.

4. Ἔλεγε ὁ ἀββᾶς Δουλᾶς, ὁ μαθητής τοῦ ἀββᾶ Βησσαρίωνα: Καθώς βαδίζαμε κάποτε στά ἀμμώδη ὑψώματα δίπλα ἀπό τή θάλασσα, δίψασα καί εἶπα στόν ἀββᾶ Βησσαρίωνα: «Ἀββᾶ, διψῶ πολύ». Καί ὁ Γέροντας, ἀφοῦ ἔκαμε εὐχή, μοῦ εἶπε: «Πιές ἀπ᾽ τή θάλασσα». Κι ἔγινε γλυκό τό νερό καί ἤπια. Ὡστόσο ὅμως ἐγώ γέμισα καί τό δοχεῖο μου, μή τυχόν διψάσω παρακάτω. Καί μόλις μέ εἶδε ὁ Γέροντας μοῦ εἶπε: «Γιατί γέμισες νερό;» «Συγχώρησέ με, τοῦ ἀπάντησα, μή τυχόν διψάσω παραπέρα». Καί ἡ ἀπάντηση τοῦ Γέροντα: «Ὁ Θεός εἶναι ἐδῶ ἀλλά καί παντοῦ εἶναι ὁ Θεός».

5. Ἄλλοτε χρείας αὐτῷ γενομένης ἐποίησεν εὐχὴν καὶ διέβη τὸν Χρυσορρόαν πεζῇ καὶ ἀπῆλθεν εἰς τὸ πέραν. Ἐγὼ δὲ θαυμάσας μετενόησα αὐτῷ λέγων· Πῶς ᾐσθάνου τοὺς πόδας σου ἐν τῷ περιπατεῖν σε εἰς τὸ ὕδωρ; Καὶ λέγει ὁ Γέρων· Ἕως τῶν ἀστραγάλων ᾐσθανόμην τοῦ ὕδατος· τὸ δὲ λοιπὸν ἦν στερεόν.

6. Ἄλλοτε πάλιν ὑπαγόντων ἡμῶν πρός τινα Γέροντα ἦλθεν ὁ ἥλιος εἰς τὸ δῦναι. Καὶ εὐξάμενος ὁ Γέρων εἶπε· Δέομαί σου, Κύριε· στήτω ὁ ἥλιος, ἕως οὗ φθάσω εἰς τὸν δοῦλόν σου. Καὶ ἐγένετο οὕτως.

7. Ἠλθέ ποτέ τις δαιμονιζόμενος εἰς τὴν Σκῆτιν. Καὶ ἐγένετο εὐχὴ περὶ αὐτοῦ εἰς τὴν ἐκκλησίαν, καὶ οὐκ ἐξήρχετο ὁ δαίμων· ἦν γὰρ σκληρός. Λέγουσιν οἱ κληρικοί· Τί ἔχομεν ποιῆσαι τῷ δαίμονι τούτῳ; Οὐδεὶς δύναται αὐτὸν ἐκβαλεῖν, εἰ μὴ ὁ ἀββᾶς Βησσαρίων. Καὶ ἐὰν αὐτὸν παρακαλέσωμεν, οὐδὲ εἰς τὴν ἐκκλησίαν ἔρχεται. Τοῦτο οὖν ποιήσωμεν. Ἰδοὺ ἔρχεται πρωὶ πρὸ πάντων εἰς τὴν ἐκκλησίαν. Ποιήσωμεν τὸν πάσχοντα καθευδῆσαι εἰς τὸν τόπον αὐτοῦ. Καὶ ὅτε εἰσέρχεται, στῶμεν εἰς εὐχὴν καὶ εἴπωμεν αὐτῷ· Ἐξύπνισον καὶ τὸν ἀδελφόν, ἀββᾶ. Ἐποίησαν δὲ οὕτω.

Καὶ ἐλθόντος τοῦ Γέροντος πρωὶ ἔστησαν εἰς εὐχὴν καὶ λέγουσιν αὐτῷ· Ἐξύπνισον καὶ τὸν ἀδελφόν, ἀββᾶ. Ὁ δὲ εἶπεν αὐτῷ· Ἀναστὰς ἔξελθε ἔξω. Καὶ εὐθέως ἐξῆλθεν αὐτοῦ ὁ δαίμων, καὶ ἰάθη ὁ ἄνθρωπος ἀπὸ τῆς ὥρας ἐκείνης.

8. Διηγήσαντο οἱ μαθηταὶ τοῦ ἀββᾶ Γελασίου ὅτι ποτὲ ὀψαρίου ἐνεχθέντος αὐτοῖς, τοῦτο τηγανίσας ὁ μάγειρος εἰσ-

5. Ἄλλη φορά, ὅταν τοῦ παρουσιάστηκε ἀνάγκη, ἔκαμε εὐχή καί πέρασε πεζός τόν Χρυσορρόα[2] καί βρέθηκε στήν ἀπέναντι ὄχθη. Κι ἐγώ γεμάτος θαυμασμό τοῦ ᾽βαλα μετάνοια λέγοντας: «Πῶς ἔνιωθες τά πόδια σου, ὅταν περπατοῦσες στό νερό;» Κι εἶπε ὁ Γέροντας: «Μόνο ἕως τούς ἀστραγάλους αἰσθανόμουν τό νερό, τό πιό κάτω ἦταν στερεό».

6. Κάποια ἄλλη φορά πάλι, καθώς πηγαίναμε σέ κάποιον Γέροντα, πῆγε ὁ ἥλιος νά βασιλέψει. Προσευχήθηκε τότε ὁ Γέροντας καί εἶπε: «Σέ παρακαλῶ, Κύριε, ἄς σταθεῖ ὁ ἥλιος ὥσπου νά φτάσω στόν δοῦλο σου». Κι ἔγινε ἔτσι.

7. Κάποτε ἦλθε ἕνας δαιμονισμένος στή Σκήτη. Καί προσευχήθηκαν γι᾽ αὐτόν στήν ἐκκλησία καί δέν ἔφευγε τό δαιμόνιο, γιατί ἦταν δυνατό. Κι εἶπαν οἱ κληρικοί: «Τί νά κάνουμε μ᾽ αὐτόν τόν δαίμονα; Κανένας δέν μπορεῖ νά τόν βγάλει, παρά μονάχα ὁ ἀββᾶς Βησσαρίων. Ἀλλά, ἄν τοῦ τό παρακαλέσουμε, οὔτε πού θά πατήσει στήν ἐκκλησία. Ἄς κάνουμε, λοιπόν, τοῦτο. Νά, ἔρχεται πρωί-πρωί πρίν ἀπ᾽ ὅλους στήν ἐκκλησία. Θά βάλουμε λοιπόν τόν ἀσθενή νά κοιμηθεῖ στή θέση του. Καί μόλις μπεῖ, ν᾽ ἀρχίσουμε τήν ἀκολουθία καί νά τοῦ ποῦμε: Ξύπνησε, ἀββᾶ, καί τόν ἀδελφό». Κι ἔτσι ἔκαναν.

Μόλις ἦρθε τό πρωί ὁ Γέροντας, στάθηκαν γιά προσευχή καί τοῦ εἶπαν: «Ἀββᾶ, ξύπνησε καί τόν ἀδελφό». Κι ἐκεῖνος εἶπε στόν δαιμονισμένο: «Σήκω καί πήγαινε ἔξω». Κι ἀμέσως βγῆκε τό δαιμόνιο ἀπ᾽ αὐτόν καί θεραπεύτηκε ὁ ἄνθρωπος ἀπό κείνη τήν ὥρα.

8. Διηγοῦνταν οἱ μαθηταί τοῦ ἀββᾶ Γελασίου πώς κάποτε τούς ἔφεραν ἕνα ψάρι κι ἀφοῦ τό τηγάνισε ὁ μάγει-

2. Χρυσορρόας: Ποταμός τῆς Συρίας κοντά στήν Δαμασκό.

ἤνεγκε τῷ κελλαρίτῃ. Χρείας δὲ ἐπειγούσης τὸν κελλαρίτην, ἐξῆλθε τοῦ κελλαρίου ἐάσας τὸ ὀψάριον ἐν σκεύει χαμαί, παραγγείλας θρεπταρίῳ μικρῷ τοῦ μακαρίου Γελασίου φυλάσσειν αὐτὸ πρὸς ὥραν, ἕως οὗ ἀνακάμψῃ.

Τὸ δὲ παιδίον λιχνευθὲν ἔβαλεν ἐσθίειν ἀφειδῶς τὸ ὀψάριον. Εἰσελθὼν δὲ ὁ κελλαρίτης καὶ εὑρὼν αὐτὸ ἐσθίον ἀγανακτήσας κατὰ τοῦ παιδὸς χαμαὶ καθημένου ἀπαρατηρήτως τῷ ποδὶ ὤθησεν. Ἐξ ἐνεργείας δέ τινος κατὰ καιρίου κρουσθὲν λιποθυμῆσαν ἀπέθανεν. Ὁ δὲ κελλαρίτης φόβῳ ληφθεὶς ἀνακλίνας τοῦτο ἐν τῇ ἰδίᾳ στρώσει καὶ σκεπάσας, ἀπελθὼν προσέπεσε τοῖς ποσὶ τοῦ ἀββᾶ Γελασίου ἀπαγγέλλων αὐτῷ τὸ γενόμενον.

Ὁ δὲ παραγγείλας αὐτῷ μηδενὶ ἄλλῳ εἰπεῖν ἐκέλευσεν αὐτῷ μετὰ τὸ πάντας ἡσυχάσαι ἑσπέρας εἰσενέγκαι αὐτὸ εἰς τὸ διακονικὸν καὶ θεῖναι ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ἀναχωρῆσαι. Καὶ ἐλθὼν ὁ Γέρων εἰς τὸ διακονικὸν ἔστη εἰς προσευχήν. Καὶ τῇ ὥρᾳ τῆς νυκτερινῆς ψαλμῳδίας συναχθέντων τῶν ἀδελφῶν ἐξῆλθεν ὁ Γέρων ἔχων ἀκολουθοῦν αὐτῷ τὸ μειράκιον μηδενὸς τὸ γενόμενον εἰδότος πλὴν αὐτοῦ καὶ τοῦ κελλαρίτου, ἕως τῆς τελευτῆς αὐτοῦ.

9. Ἔλεγον οἱ Γέροντες τῷ ἀββᾷ Ἠλίᾳ εἰς Αἴγυπτον περὶ τοῦ ἀββᾶ Ἀγάθωνος ὅτι· Καλὸς ἀδελφός ἐστι. Καὶ λέγει αὐτοῖς ὁ Γέρων· Κατὰ τὴν γενεὰν αὐτοῦ καλός ἐστι. Καὶ λέγουσιν αὐτῷ· Κατὰ δὲ τοὺς ἀρχαίους τί; Καὶ ἀποκριθεὶς λέγει· Εἶπον ὑμῖν ὅτι κατὰ τὴν γενεὰν αὐτοῦ καλός ἐστι, κατὰ δὲ

3. Κελαρίτης: Ὁ μοναχός πού εἶχε τήν ἐπίβλεψη καί τή φροντίδα τοῦ κελαριοῦ.

ρας, τό 'δωσε μέσα στόν κελαρίτη[3]. Ἐπειδή ὅμως κάποια ἀνάγκη πίεζε τόν κελαρίτη, βγῆκε ἀπ' τήν ἀποθήκη ἀφήνοντας τό ψάρι καταγῆς μέσα σ' ἕνα σκεῦος. Καί ἔδωσε ἐντολή σ' ἕνα μικρό παιδί πού τό ἀνέτρεφε ὁ μακαριστός Γελάσιος νά τό προσέχει γιά λίγο, ὥσπου νά ἐπιστρέψει ἐκεῖνος.

Τό παιδί ὅμως, σπρωγμένο ἀπό λαιμαργία, ἄρχισε νά τρώει ἀχόρταγα τό ψάρι. Καθώς λοιπόν μπῆκε ὁ κελαρίτης καί τό βρῆκε νά τρώει, ἀπό ἀγανάκτηση, χωρίς νά προσέξει ἔδωσε μιά κλωτσιά στό παιδί πού καθόταν κάτω. Καί ἀπό κάποια κακή ἐνέργεια, ἐπειδή χτυπήθηκε σέ καίριο σημεῖο, ἔχασε τίς αἰσθήσεις του καί ξεψύχησε. Τότε ἀπ' τόν φόβο του ὁ κελαρίτης τό ξάπλωσε στό στρῶμα του καί ἀφοῦ τό σκέπασε, πῆγε κι ἔπεσε στά πόδια τοῦ ἀββᾶ Γελασίου ἀναφέροντάς του τό συμβάν.

Κι ἐκεῖνος, ἀφοῦ τοῦ 'δωσε ἐντολή, νά μήν πεῖ σέ κανέναν ἄλλον τίποτε, τοῦ πρόσταξε, ὅταν ἡσυχάσουν ὅλοι, τό βράδυ, νά τό μεταφέρει στό διακονικό καί νά τό τοποθετήσει μπροστά στήν ἁγία Τράπεζα καί νά φύγει. Πῆγε λοιπόν ὁ Γέροντας στό διακονικό καί ἄρχισε νά προσεύχεται. Καί τήν ὥρα τῆς νυκτερινῆς ἀκολουθίας, ὅταν ἔγινε σύναξη τῶν ἀδελφῶν, βγῆκε ὁ Γέροντας ἔχοντας ἀπό πίσω του τόν νέο χωρίς νά πάρει εἴδηση κανένας τί εἶχε συμβεῖ ἐκτός ἀπό τόν Γέροντα καί τόν κελαρίτη, ἕως τόν θάνατό του.

9. Ἔλεγαν οἱ Γέροντες στόν ἀββᾶ Ἠλία, στήν Αἴγυπτο, γιά τόν ἀββᾶ Ἀγάθωνα πώς εἶναι καλός ἀδελφός. Καί τούς ἀπάντησε ὁ Γέροντας: «Συγκρινόμενος μέ τή γενιά του εἶναι καλός». Μετά τόν ρώτησαν πάλι: «Ὡς πρός τούς πρώτους Γέροντες ποιά εἶναι ἡ θέση του;» Καί τούς ἀποκρίθηκε: «Σᾶς εἶπα πώς ὅσον ἀφορᾶ στή γενιά του εἶναι καλός, ἀλλά ὡς πρός τούς παλιούς Πατέρες, ἔχω γνωρίσει

τοὺς ἀρχαίους ἑώρακα ἄνθρωπον ἐν Σκήτει, ὅτι ἠδύνατο τὸν ἥλιον στῆσαι καθάπερ Ἰησοῦς ὁ τοῦ Ναυῆ. Καὶ ταῦτα ἀκούσαντες ἐθαμβήθησαν καὶ ἐδόξασαν τὸν Θεόν.

10. Διηγήσατο ὁ ἀββᾶς Κασσιανὸς ὅτι· Ἦν τις Γέρων καὶ ὑπηρετεῖτο ὑπὸ ἁγίας παρθένου. Καὶ οἱ ἄνθρωποι ἔλεγον· Οὐκ εἰσὶ καθαροί. Καὶ ἤκουσεν ὁ Γέρων. Ὅταν δὲ ἔμελλε τελευτᾶν, εἶπε τοῖς Πατράσιν· Ὅταν τελευτῶ, φυτεύσατε τὴν ῥάβδον μου εἰς τὸν τάφον μου. Καὶ ἐὰν βλαστήσῃ καὶ ποιήσῃ καρπόν, μάθετε ὅτι καθαρός εἰμι ἀπ᾽ αὐτῆς. Εἰ δὲ μὴ βλαστήσῃ, γινώσκετε ὅτι πέπτωκα μετ᾽ αὐτῆς. Καὶ ἐφυτεύθη ἡ ῥάβδος καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐβλάστησε καὶ ἐποίησε καρπόν. Καὶ πάντες ἐδόξασαν τὸν Θεόν.

11. Γυνή τις ἔχουσα πάθος κατὰ τοῦ μαστοῦ τὸ λεγόμενον καρκῖνον, ἀκούσασα περὶ τοῦ ἀββᾶ Λογγίνου ἐζήτησε συντυχεῖν αὐτῷ. Ἐκάθητο οὖν οὗτος ἐν τῷ Ἐνάτῳ Ἀλεξανδρείας. Ἐπιζητούσης δὲ τῆς γυναικὸς συνέβη τὸν μακάριον ἐκεῖνον συλλέγειν ξύλα παρὰ τὴν θάλασσαν. Καὶ εὑροῦσα αὐτὸν λέγει αὐτῷ· Ἀββᾶ, ποῦ μένει ὁ ἀββᾶς Λογγῖνος, ὁ δοῦλος τοῦ Θεοῦ; μὴ εἰδυῖα ὅτι αὐτός ἐστιν. Ὁ δέ φησι· Τί θέλεις τὸν ἐπιθέτην ἐκεῖνον; Μὴ ἀπέλθῃς πρὸς αὐτόν· ἐπιθέτης γάρ ἐστι. Τί δέ ἐστιν ὃ ἔχεις; Ἡ δὲ γυνὴ ἔδειξε τὸ πάθος. Ὁ δὲ σφραγίσας τὸν τόπον ἀπέλυσεν αὐτὴν εἰπών· Ἄπελθε καὶ ὁ Θεός σε θεραπεύει. Λογγῖνος γὰρ οὐδέν σε δύναται ὠφελῆσαι.

4. Πρβλ. ἀπόφθ. 6. 5. Ἰησ. Ναυῆ 10, 12-14.

6. Ἔνατον: Τόπος μοναστικός πού ἀπεῖχε ἐννέα "σημεῖα" ἀπό τήν Ἀλεξάνδρεια. Τά μοναστήρια πού βρίσκονταν στήν κατεύθυνση αὐτή, τά ὀνόμαζαν ἀπό τήν ἀπόσταση πού ἀπεῖχαν ἀπό τήν Ἀλεξάνδρεια.

"Σημεῖον": ἀπόσταση πού ἰσοῦται μέ ἕνα μίλι. Τό ρωμαϊκό μίλι ἔχει μῆκος

ἄνθρωπο στή Σκήτη πού μποροῦσε νά σταματήσει τόν ἥλιο[4], ὅπως ἀκριβῶς ὁ Ἰησοῦς τοῦ Ναυῆ[5]». Μόλις ἄκουσαν αὐτά θαύμασαν καί δόξασαν τόν Θεό.

10. Διηγήθηκε ὁ ἀββᾶς Κασσιανός ὅτι ὑπῆρχε κάποιος Γέροντας πού τόν ὑπηρετοῦσε ἀφιερωμένη παρθένος καί οἱ ἄνθρωποι ἔλεγαν πώς δέν ζοῦν καθαρή ζωή. Τ᾽ ἄκουσε ὁ Γέροντας καί, ὅταν ἐπρόκειτο νά πεθάνει, εἶπε στούς Πατέρες: «Ὅταν πεθάνω, φυτέψτε τό ραβδί μου στόν τάφο μου· καί ἄν βλαστήσει καί καρποφορήσει, βγάλτε τό συμπέρασμα ὅτι ἤμουν καθαρός ἀπ᾽ αὐτήν· ἐάν ὅμως δέν βλαστήσει, νά ξέρετε ὅτι ἔπεσα μαζί της στήν ἁμαρτία».

Καί φυτέψανε τό ραβδί καί τήν τρίτη ἡμέρα βλάστησε καί καρποφόρησε, ὁπότε δόξασαν ὅλοι τόν Θεό.

11. Κάποια γυναίκα πού ἔπασχε ἀπό καρκίνο τοῦ μαστοῦ, καθώς ἄκουσε σχετικά μέ τόν ἀββᾶ Λογγίνο, ζήτησε νά τόν συναντήσει.

Ἀσκήτευε ἐκεῖνος στό Ἔνατο τῆς Ἀλεξάνδρειας[6]. Καθώς τόν ἀναζητοῦσε ἡ γυναίκα, συμπτωματικά ὁ μακαριστός ἐκεῖνος μάζευε ξύλα στήν ἀκροθαλασσιά. Μόλις τόν συνάντησε τοῦ εἶπε: «Ἀββᾶ, ποῦ μένει ὁ ἀββᾶς Λογγίνος, ὁ δοῦλος τοῦ Θεοῦ;» χωρίς νά βάλει μέ τό νοῦ της ὅτι εἶναι ὁ ἴδιος. Κι ἐκεῖνος τῆς εἶπε: «Τί τόν θέλεις ἐκεῖνον τόν ἀπατεώνα; Καθόλου μήν πᾶς σ᾽ αὐτόν, γιατί εἶναι κατεργάρης. Καί τί εἶναι αὐτό πού ἔχεις;» Ἡ γυναίκα τότε ἔδειξε τό πάθος της κι ἐκεῖνος, ἀφοῦ ἔκαμε τό σημεῖον τοῦ σταυροῦ στό μέρος πού ἔπασχε, τήν ἄφησε νά φύγει λέγοντάς της: «Πήγαινε καί θά σέ θεραπεύσει ὁ Θεός, γιατί ὁ Λογγίνος σέ τίποτε δέν μπορεῖ νά σέ ὠφελήσει».

1535 μέτρα. Βλ. Κατά αἱρέσεων, Ἐπιφανίου Κύπρου «...*ἀντὶ ἑνὸς σημείου, ἤτοι μιλίου*», PG 41, 1036B.

Ἀπῆλθε δὲ ἡ γυνὴ πιστεύσασα τῷ λόγῳ καὶ ἐθεραπεύθη παραχρῆμα. Μετὰ ταῦτα δὲ διηγησαμένη τισὶ τὸ πρᾶγμα καὶ τὰ σημεῖα εἰποῦσα τοῦ Γέροντος μανθάνει ὅτι αὐτός ἐστιν ὁ ἀββᾶς Λογγῖνος.

12. Ἄλλοτε πάλιν φέρουσιν αὐτῷ τινὲς δαιμονιῶντα. Ὁ δέ φησι πρὸς αὐτούς· Ἐγὼ τί ποιῆσαι ὑμῖν ἔχω; ἀλλὰ μᾶλλον ἀπέλθετε πρὸς τὸν ἀββᾶν Ζήνωνα. Εἶτα ὁ ἀββᾶς Ζήνων ἤρξατο ἐπικεῖσθαι τῷ δαίμονι ἐκδιώκων αὐτόν. Καὶ ἤρξατο βοᾶν ὁ δαίμων· Ἄρτι νομίζεις, ἀββᾶ Ζῆνον, ὅτι διὰ σὲ ἐξέρχομαι; Ἰδού, ὁ ἀββᾶς Λογγῖνος ἐκεῖ προσεύχεται κατ' ἐμοῦ ἐντυγχάνων. Καὶ φοβούμενος τὰς εὐχὰς αὐτοῦ ἐξέρχομαι, ἐπεὶ οὐκ ἐδίδουν σοι ἀπόκρισιν.

13. Ἄλλοτε πάλιν γυνή τις πάθος ἔχουσα δυσίατον εἰς τὴν χεῖρα, ἐλθοῦσα μετὰ ἑτέρας γυναικὸς ἔξωθεν τοῦ κελλίου αὐτοῦ εἰς τὸ βορεινὸν θυρίδιον προσέσχεν αὐτῷ καθεζομένῳ καὶ ἐργαζομένῳ. Καὶ ἐπετίμα αὐτῇ λέγων· Ἄπελθε, γύναι. Ἡ δὲ ἐπέμενε προσέχουσα καὶ μὴ λαλοῦσα· ἐφοβεῖτο γάρ. Γνοὺς οὖν ὁ Γέρων καὶ πληροφορηθεὶς ὃ εἶχεν, ἀνέστη καὶ ἔκλεισε πρὸς αὐτὴν τὸ θυρίδιον καὶ εἶπεν· Ἄπελθε, οὐδὲν σαπρὸν ἔχεις. Καὶ ἐθεραπεύθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.

14. Ἄλλοτε πάλιν ἦλθε πρὸς αὐτόν τις παραβαλεῖν αὐτῷ. Καὶ ἔλαβεν αὐτοῦ τὸ κουκούλιον. Καὶ ἐλθὼν πρός τινα πάσχοντα, ὡς ἤγγισε τῇ θύρᾳ εἰσελθεῖν, ἔκραξεν ὁ πάσχων λέγων· Τί ἤνεγκας ὧδε Λογγῖνον διῶξαί με; Καὶ εὐθέως ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον ἀπὸ τῆς ὥρας ἐκείνης.

Ἔφυγε ἡ γυναίκα, ἀφοῦ πίστεψε στόν λόγο του καί θεραπεύτηκε ἀμέσως. Μετά ἀπό αὐτά, ἀφοῦ διηγήθηκε σέ κάποιους τήν ὑπόθεση καί ἀνέφερε τά χαρακτηριστικά τοῦ Γέροντα, διαπίστωσε ὅτι αὐτός ὁ ἴδιος ἦταν ὁ ἀββᾶς Λογγίνος.

12. Ἄλλοτε πάλι τοῦ 'φεραν κάποιοι ἕναν δαιμονισμένο κι ἐκεῖνος τούς εἶπε: «Σάν τί θά μποροῦσα νά σᾶς κάνω, πᾶτε καλύτερα στόν ἀββᾶ Ζήνωνα». Ἀργότερα ὁ ἀββᾶς Ζήνων ἄρχισε νά ἐπιπλήττει τόν δαίμονα προσπαθώντας νά τόν διώξει. Κι ἄρχισε νά φωνάζει τό δαιμόνιο: «Καί τί νομίζεις, ἀββᾶ Ζήνων, ὅτι ἐξαιτίας σου φεύγω; Νά, ἐκεῖ προσεύχεται ὁ ἀββᾶς Λογγίνος, παρακαλώντας τόν Θεό ἐναντίον μου καί ἐπειδή φοβᾶμαι τίς προσευχές του βγαίνω· ἐσένα οὔτε πού σοῦ ἔδινα σημασία».

13. Ἄλλοτε πάλι μιά γυναίκα πού εἶχε στό χέρι της ἀρρώστια πού δέν θεραπευόταν, πῆγε μαζί μέ μιά ἄλλη γυναίκα ἔξω ἀπ' τό κελί του, πρός τό βορεινό παράθυρο καί τόν ἔβλεπε ἐκεῖ πού καθόταν καί ἐργαζόταν. Καί τή μάλωνε λέγοντας: «Φύγε ἀπό δῶ, γυναίκα». Ἀλλ' αὐτή ἔμενε ἐκεῖ κοιτάζοντάς τον δίχως νά μιλάει, γιατί φοβόταν. Κατάλαβε ὅμως ὁ Γέροντας τί εἶχε, ἀπό πληροφορία πού τοῦ 'δωσε ὁ Θεός. Σηκώνεται λοιπόν καί κλείνοντας τό παράθυρο μπροστά της τῆς εἶπε: «Φύγε, δέν ἔχεις τίποτε τό κακό». Καί ἀπό κείνη τή στιγμή θεραπεύτηκε ἡ γυναίκα.

14. Ἄλλοτε πάλι πῆγε σ' αὐτόν κάποιος μέ σκοπό νά τόν συναντήσει. Καί πῆρε τό κουκούλι τοῦ Γέροντα καί καθώς πῆγε σέ κάποιον πού ἔπασχε ἀπό δαιμόνιο, μόλις ἀκούμπησε τήν πόρτα γιά νά μπεῖ, ἔβγαλε κραυγή ὁ δαιμονισμένος λέγοντας: «Τί μοῦ ἔφερες ἐδῶ τόν Λογγίνο γιά νά μέ διώξει;» Καί ἀμέσως, τήν ἴδια στιγμή, βγῆκε τό δαιμόνιο ἀπ' αὐτόν.

15. Ἔλεγεν ὁ ἀββᾶς Σισόης ὅτι ὅτε ἤμην εἰς Σκήτην μετὰ τοῦ ἀββᾶ Μακαρίου, ἀνέβημεν θερίσαι μετ' αὐτοῦ ἑπτὰ ὀνόματα. Καὶ ἰδοὺ μία χήρα καλαμωμένη ἦν ὀπίσω ἡμῶν καὶ οὐκ ἐπαύετο κλαίουσα. Ἐφώνησεν οὖν ὁ Γέρων τὸν κύριον τοῦ χωρίου καὶ εἶπεν αὐτῷ· Τί ἔχει ἡ γραῦς αὕτη ὅτι πάντοτε κλαίει; Καὶ εἶπεν αὐτῷ ὅτι· Ὁ ἀνὴρ αὐτῆς εἶχε παραθήκην τινὸς καὶ ἀπέθανεν ἄφνω καὶ οὐκ εἶπε ποῦ ἔθηκεν αὐτήν. Καὶ θέλει ὁ κύριος τῆς παραθήκης λαβεῖν αὐτὴν καὶ τὰ τέκνα αὐτῆς εἰς δούλους.

Λέγει αὐτῷ ὁ Γέρων· Εἰπὲ αὐτῇ, ἵνα ἔλθη πρὸς ἡμᾶς, ὅπου ἀναπαυόμεθα τὸ καῦμα. Καὶ ἐλθούσης τῆς γυναικὸς εἶπεν αὐτῇ ὁ Γέρων· Τί πάντοτε οὕτω κλαίεις; Καὶ εἶπεν· Ὁ ἀνήρ μου ἀπέθανε λαβὼν παραθήκην τινὸς καὶ οὐκ εἶπεν ἀποθνήσκων ποῦ ἔθηκεν αὐτήν. Καὶ εἶπεν ὁ Γέρων πρὸς αὐτήν· Δεῦρο, δεῖξόν μοι ποῦ ἔθηκας αὐτόν. Καὶ λαβὼν τοὺς ἀδελφοὺς μεθ' ἑαυτοῦ ἐξῆλθε σὺν αὐτῇ. Καὶ ἐλθόντων ἐπὶ τὸν τόπον εἶπεν αὐτῇ ὁ Γέρων· Ἀναχώρησον εἰς τὸν οἶκόν σου.

Καὶ προσευξαμένων αὐτῶν ἐφώνησεν ὁ Γέρων τὸν νεκρὸν λέγων· Ὁ δεῖνα, ποῦ ἔθηκας τὴν ἀλλοτρίαν παραθήκην; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Εἰς τὸν οἶκόν μου κέκρυπται ὑπὸ τὸν πόδα τῆς κλίνης. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Κοιμῶ πάλιν ἕως τῆς ἡμέρας τῆς ἀναστάσεως. Ἰδόντες δὲ οἱ ἀδελφοὶ ἀπὸ τοῦ φόβου ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ. Καὶ εἶπεν αὐτοῖς ὁ Γέρων· Τοῦτο οὐ δι' ἐμὲ γέγονεν, οὐδὲν γάρ εἰμι, ἀλλὰ διὰ τὴν χήραν καὶ τὰ ὀρφανὰ ὁ Θεὸς ἐποίησε τὸ πρᾶγμα τοῦτο. Τοῦτο δέ ἐστι τὸ μέγα, ὅτι ἀναμάρτητον θέλει ὁ Θεὸς τὴν ψυχήν. Καὶ εἴ τι ἂν αἰτήσηται, λαμβάνει.

Ἐλθὼν δὲ ἀνήγγειλε τῇ χήρᾳ ποῦ κεῖται ἡ παραθήκη.

7. Ποσό χρημάτων ἤ ἀντικείμενο ἀξίας (ἐδῶ).

15. Ἔλεγε ὁ ἀββᾶς Σισόης ὅτι ὅταν ἤμουν στή Σκήτη μέ τόν ἀββᾶ Μακάριο, πήγαμε γιά νά θερίσουμε μαζί του ἑφτά ἄτομα. Καί νά μιά χήρα, σταχομαζώχτρα, στεκόταν πίσω μας καί ἔκλαιε χωρίς νά σταματᾶ. Στό μεταξύ φώναξε ὁ Γέροντας τόν νοικοκύρη τοῦ χωραφιοῦ καί τοῦ εἶπε: «Τί τέλος πάντων ἔχει αὐτή ἡ γριά καί συνεχῶς κλαίει;»

«Ὁ ἄνδρας της –τοῦ ἀπάντησε– εἶχε τήν παρακαταθήκη[7] κάποιου, μά ξαφνικά πέθανε καί δέν εἶπε ποῦ τήν ἔβαλε. Καί θέλει ὁ κάτοχος τῆς παρακαταθήκης νά πάρει αὐτήν καί τά παιδιά της γιά δούλους».

Καί τοῦ εἶπε ὁ Γέροντας: «Πές της νά ἔρθει σέ μᾶς ἐκεῖ πού ἀναπαυόμαστε, ὅταν ἔχει καύσωνα». Καί ὅταν πῆγε ἡ γυναίκα, τῆς λέει ὁ Γέροντας: «Γιατί κλαῖς ἔτσι πάντοτε;» Καί ἡ ἀπάντησή της ἦταν ὅτι πέθανε ὁ ἄνδρας της, ἀφοῦ πῆρε τήν παρακαταθήκη κάποιου, καί πεθαίνοντας δέν εἶπε ποῦ τήν ἔβαλε. «Ἔλα δεῖξε μου ποῦ τόν ἔθαψες» τῆς εἶπε ὁ Γέροντας. Καί βγῆκε ἔξω μαζί της παίρνοντας καί τούς ἀδελφούς. Καί ὅταν πῆγαν στόν τάφο, τῆς εἶπε ὁ Γέροντας: «Γύρισε πίσω στό σπίτι σου».

Ἀφοῦ προσευχήθηκαν αὐτοί, φώναξε ὁ Γέροντας στόν νεκρό ἔτσι: «Ἔ, ὁ τάδε, ποῦ ἔβαλες τήν ξένη παρακαταθήκη;» Κι ἐκεῖνος ἀπαντώντας εἶπε: «Εἶναι στό σπίτι μου κάτω ἀπό τό πόδι τοῦ κρεββατιοῦ». Καί τοῦ εἶπε ὁ Γέροντας: «Κοιμήσου πάλι ὥς τήν ἡμέρα τῆς ἀναστάσεως». Οἱ ἀδελφοί, ἀπό τόν φόβο τους ἔπεσαν στά πόδια του. Τότε ὁ Γέροντας τούς εἶπε: «Δέν ἔγινε αὐτό γιά μένα, γιατί ἐγώ δέν εἶμαι τίποτε, ἀλλά γιά τή χήρα καί τά ὀρφανά ἔκαμε ὁ Θεός τό θαῦμα. Τό σημαντικό εἶναι τοῦτο: ὅτι ὁ Θεός θέλει τήν ψυχή ἀναμάρτητη καί τότε ὅ,τι κι ἄν ζητήσει, τό ἔχει».

Ἐπιστρέφοντας εἶπε στή χήρα ποῦ βρίσκεται ἡ παρακαταθήκη κι ἡ χήρα τήν πῆρε καί τήν ἔδωσε στόν κάτοχό

Καὶ λαβοῦσα αὐτὴν ἔδωκε τῷ κυρίῳ αὐτῆς καὶ ἠλευθέρωσε τὰ τέκνα αὐτῆς. Καὶ οἱ ἀκούσαντες ἐδόξασαν τὸν Θεόν.

16. Ἔλεγον περὶ τοῦ ἀββᾶ Μακαρίου ὅτι ἀναβαίνων ἀπὸ Σκήτεως καὶ βαστάζων σπυρίδας, κοπιάσας ἐκαθέσθη καὶ ηὔξατο λέγων· Ὁ Θεός, σὺ οἶδας ὅτι οὐκέτι ἰσχύω. Καὶ εὐθέως εὑρέθη ἐπὶ τὸν ποταμὸν πλησίον τοῦ τόπου οὗ ἀπήρχετο.

17. Εἶχέ τις υἱὸν παραλυτικὸν ἐν Αἰγύπτῳ. Καὶ ἤνεγκεν αὐτὸν εἰς τὸ κελλίον τοῦ ἀββᾶ Μακαρίου. Καὶ ἀφεὶς αὐτὸν παρὰ τὴν θύραν κλαίοντα ἀνεχώρησε μακράν. Παρακύψας οὖν ὁ Γέρων καὶ ἰδὼν τὸ παιδίον κλαῖον λέγει αὐτῷ· Τίς ἤνεγκέ σε ὧδε; Καὶ λέγει τὸ παιδίον· Ὁ πατήρ μου ἔρριψέ με ὧδε καὶ ἀπῆλθε. Λέγει αὐτῷ ὁ Γέρων· Ἀναστὰς κατάλαβε αὐτόν. Καὶ εὐθέως ὑγιάνας ἀνέστη καὶ κατέλαβε τὸν πατέρα αὐτοῦ, καὶ οὕτως ἀπῆλθον εἰς τὸν οἶκον αὐτῶν.

18. Παρερχόμενός ποτε ὁ ἀββᾶς Μίλης διά τινος τόπου εἶδέ τινα μοναχὸν κρατούμενον ὑπό τινων ὡς φόνον ποιήσαντα. Καὶ προσεγγίσας ὁ Γέρων ἐπηρώτησε τὸν ἀδελφόν. Καὶ μαθὼν ὅτι συκοφαντεῖται λέγει πρὸς τοὺς κατέχοντας αὐτόν· Ποῦ ἐστιν ὁ φονευθείς; Καὶ ἔδειξαν αὐτῷ. Καὶ προσεγγίσας τῷ φονευθέντι εἶπε πᾶσι προσεύξασθαι. Αὐτοῦ δὲ ἐκπετάσαντος τὰς χεῖρας πρὸς τὸν Θεὸν ἀνέστη ὁ νεκρός, καὶ εἶπεν αὐτῷ ἐπὶ πάντων· Εἰπὲ ἡμῖν τίς ἐστιν ὁ φονεύσας σε; Ὁ δὲ εἶπεν ὅτι· Εἰσελθὼν εἰς τὴν ἐκκλησίαν δέδωκα χρήματα τῷ πρεσβυτέρῳ. Ὁ δὲ ἀναστὰς ἔσφαξέ με καὶ ἀπενέγκας ἔθηκέ με εἰς τὸ μοναστήριον τοῦ ἀββᾶ. Ἀλλὰ παρα-

της καί ἐλευθέρωσε τά παιδιά της. Κι ὅσοι ἄκουσαν δόξασαν τόν Θεό.

16. Ἔλεγαν γιά τόν ἀββᾶ Μακάριο ὅτι καθώς πῆρε τόν ἀνηφορικό δρόμο ἀπ' τή Σκήτη κρατώντας ζεμπίλια, κουράστηκε καί κάθισε κάπου νά ξεκουραστεῖ καί εἶπε τά ἑξῆς λόγια προσευχῆς: «Θεέ μου, σύ ξέρεις πώς δέν ἀντέχω ἄλλο».

Καί ἀμέσως βρέθηκε στίς ὄχθες τοῦ ποταμοῦ, κοντά στόν τόπο γιά τόν ὁποῖο πήγαινε.

17. Κάποιος στήν Αἴγυπτο εἶχε ἕνα γιό παράλυτο καί τόν ἔφερε στό κελί τοῦ ἀββᾶ Μακαρίου. Τόν ἄφησε κοντά στήν πόρτα νά κλαίει καί ἔφυγε μακριά. Σάν ἔσκυψε ὁ Γέροντας καί εἶδε τό παιδί νά κλαίει, τοῦ εἶπε: «Ποιός σ' ἔφερε ἐδῶ;» «Ὁ πατέρας μου –ἀπάντησε ἐκεῖνο– μ' ἔριξε ἐδῶ κάτω καί ἔφυγε». Τότε τοῦ εἶπε ὁ Γέροντας: «Σήκω νά τόν προλάβεις». Καί ἀμέσως θεραπεύτηκε, σηκώθηκε καί ἔφτασε τόν πατέρα του καί ἔτσι γύρισαν στό σπίτι τους.

18. Περνώντας κάποτε ὁ ἀββᾶς Μίλης μέσα ἀπό κάποιο τόπο εἶδε νά ἔχουν πιάσει κάποιοι ἕναν μοναχό, γιατί τάχα εἶχε διαπράξει φόνο. Πλησίασε ὁ Γέροντας καί ρώτησε τόν ἀδελφό. Ὅταν ἔμαθε ὅτι συκοφαντεῖται, λέει σ' αὐτούς πού τόν εἶχαν πιάσει: «Ποῦ εἶναι ὁ σκοτωμένος;» Καί τοῦ ἔδειξαν. Πλησίασε τόν σκοτωμένο καί εἶπε σ' ὅλους νά προσεύχονται. Καί μόλις ὁ ἴδιος ὁ Γέροντας ὕψωσε τά χέρια του στόν Θεό, ἀναστήθηκε ὁ νεκρός καί τόν ρώτησε ἐνώπιον ὅλων: «Πές μας ποιός σέ σκότωσε;» Κι ἐκεῖνος εἶπε: «Μόλις μπῆκα στήν ἐκκλησία ἔδωσα χρήματα στόν πρεσβύτερο. Τότε ἐκεῖνος μ' ἔσφαξε καί μέ μετέφερε ἐδῶ στό ἀσκητήριο τοῦ ἀββᾶ. Ἀλλά σᾶς παρακαλῶ πάρετε τά

καλῶ ὑμᾶς ληφθῆναι τὰ χρήματα καὶ δοθῆναι τοῖς τέκνοις μου. Τότε εἶπε πρὸς αὐτὸν ὁ Γέρων· Ἄπελθε, κοιμῶ, ἕως ἂν ἔλθῃ ὁ Κύριος καὶ ἐγερεῖ σε.

19. Ἀνέβη ποτὲ ὁ ἀββᾶς Ξανθίας ἀπὸ Σκήτεως εἰς Τερενούθιν. Καὶ ὅπου κατέλυσε διὰ τὸν κόπον τῆς ἀσκήσεως, ἤνεγκαν αὐτῷ ὀλίγον οἶνον. Ἀκούσαντες δέ τινες ἤνεγκαν αὐτῷ δαιμονιζόμενον. Καὶ ἤρξατο ὁ δαίμων λοιδορεῖν τὸν Γέροντα καὶ λέγειν· Πρὸς τὸν οἰνοπότην τοῦτον ἠνέγκατέ με; Καὶ ὁ μὲν Γέρων ταπεινοφρονῶν οὐκ ἤθελεν αὐτὸν ἐκβαλεῖν, διὰ δὲ τὸν ὀνειδισμὸν αὐτοῦ εἶπε· Πιστεύω τῷ Χριστῷ ὅτι οὐ μὴ τελέσω τὸ ποτήριον τοῦτο πίνων, ἕως οὗ ἐξέλθῃς. Καὶ ὡς ἤρξατο ὁ Γέρων πίνειν, ἔκραξεν ὁ δαίμων λέγων· Καίεις με, καίεις με. Καὶ πρὸ τοῦ τελέσαι αὐτὸν τὸ ποτήριον ἐξῆλθεν ὁ δαίμων διὰ τῆς χάριτος τοῦ Θεοῦ.

20. Παρέβαλόν ποτε Γέροντες πολλοὶ τῷ ἀββᾷ Ποιμένι. Καὶ ἰδού τις τῶν τοῦ ἀββᾶ Ποιμένος εἶχε παιδίον. Καὶ τὸ πρόσωπον αὐτοῦ κατ' ἐνέργειαν ἐστράφη ὀπίσω. Καὶ ἰδὼν ὁ πατὴρ αὐτοῦ τὸ πλῆθος τῶν Πατέρων λαβὼν τὸ παιδίον ἔξω τοῦ μοναστηρίου ἐκάθητο κλαίων. Εὐκαίρησε δέ τινι Γέροντι ἐξελθεῖν, καὶ ἰδὼν αὐτὸν εἶπε· Τί κλαίεις, ἄνθρωπε; Ὁ δὲ εἶπε· Συγγενής εἰμι τοῦ ἀββᾶ Ποιμένος. Καὶ ἰδοὺ συνέβη τῷ παιδίῳ τούτῳ ὁ πειρασμὸς οὗτος. Καὶ θέλοντες τῷ Γέροντι προσενεγκεῖν αὐτὸ ἐφοβήθημεν· οὐ γὰρ θέλει ἰδεῖν ἡμᾶς. Καὶ νῦν, ἐὰν μάθῃ ὅτι ὧδέ εἰμι, πέμπει καὶ διώκει με. Ἐγὼ δὲ βλέπων

8. Βλ. Χάρτη σελ. 6-7.

χρήματα καί δῶστε τα στά παιδιά μου». Κι ὁ Γέροντας τοῦ εἶπε: «Γύρισε καί κοιμήσου, ὥσπου νά ἔρθει ὁ Κύριος καί νά σέ ξυπνήσει».

19. Ἀνέβηκε κάποτε ὁ ἀββᾶς Ξανθίας ἀπό τή Σκήτη στήν Τερενούθη[8]. Καί στόν τόπο πού πῆγε νά μείνει, γιά νά τόν ξεκουράσουν ἀπ' τόν κόπο τῆς ἀσκήσεως, τοῦ πρόσφεραν λίγο κρασί. Κάποιοι πού ἄκουσαν τήν ἄφιξή του, τοῦ 'φεραν ἕναν δαιμονισμένο. Κι ἄρχισε ὁ δαίμονας νά κοροϊδεύει τόν Γέροντα καί νά λέει: «Μέ φέρατε σ' αὐτόν τόν μέθυσο;» Καί ἀπό ταπείνωση ὁ Γέροντας δέν ἤθελε νά τόν βγάλει, ἀλλά ἐπειδή κορόιδευε, τοῦ εἶπε: «Πιστεύω στόν Χριστό πώς δέν θά προλάβω νά πιῶ αὐτό τό ποτήρι πού πίνω καί θά ἔχεις βγεῖ».

Καί μόλις ἄρχισε νά πίνει, φώναξε ὁ δαίμονας: «Μέ καῖς, μέ καῖς». Καί προτοῦ τελειώσει τό ποτήρι, βγῆκε ὁ δαίμονας μέ τή χάρη τοῦ Θεοῦ.

20. Ἐπισκέφθηκαν κάποτε πολλοί Γέροντες τόν ἀββᾶ Ποιμένα. Καί νά ἀνάμεσά τους κάποιος ἀπ' τούς συγγενεῖς τοῦ ἀββᾶ Ποιμένα μαζί μέ τό παιδί του. Καί ἀπό ἐνέργεια τοῦ διαβόλου τό πρόσωπο τοῦ παιδιοῦ αὐτοῦ ἦταν στραμμένο πίσω. Μόλις εἶδε ὁ πατέρας τοῦ παιδιοῦ τόσους πολλούς Πατέρες μπροστά του, πῆρε τό παιδί του καί πῆγε καί κάθισε ἔξω ἀπό τό ἀσκητήριο κι ἔκλαιγε.

Καί καθώς κάποιος ἀπ' τούς Πατέρες συνέπεσε νά βγεῖ ἔξω, τόν εἶδε καί τοῦ εἶπε: «Τί ἔχεις καί κλαῖς, ἄνθρωπε;» Καί κεῖνος τοῦ εἶπε: «Εἶμαι συγγενής τοῦ ἀββᾶ Ποιμένα καί συνέβη στό παιδί μου αὐτό τό κακό καί ἐνῶ θέλαμε νά τοῦ τό φέρουμε γιά νά τό θεραπεύσει, φοβηθήκαμε, γιατί δέν θέλει νά μᾶς δεῖ· καί τώρα, ἄν μάθει ὅτι βρίσκομαι ἐδῶ, θά στείλει κάποιον καί θά μέ διώξει. Καί μιά πού εἶδα

τὴν παρουσίαν ὑμῶν ἐτόλμησα ἐλθεῖν. Ὡς θέλεις οὖν, ἀββᾶ, ἐλέησόν με. Καὶ λάβε τὸ παιδίον ἔσω καὶ εὔξασθε περὶ αὐτοῦ.

Καὶ λαβὼν ὁ Γέρων αὐτὸ εἰσῆλθε καὶ ἐχρήσατο φρονίμως καὶ οὐ προσήνεγκεν αὐτὸ εὐθέως τῷ ἀββᾷ Ποιμένι, ἀλλὰ ἀρξάμενος ἀπὸ τῶν μικροτέρων ἀδελφῶν ἔλεγε· Σφραγίσατε τὸ παιδίον. Ποιήσας δὲ πάντας κατὰ ἀκολουθίαν σφραγῖσαι αὐτό, ὕστερον ἤνεγκε τῷ ἀββᾷ Ποιμένι. Ὁ δὲ οὐκ ἤθελεν αὐτὸ ἐγγίσαι. Οἱ δὲ παρεκάλουν αὐτὸν λέγοντες· Ὥσπερ πάντες, καὶ σύ, πάτερ.

Καὶ στενάξας ἀναστὰς ηὔξατο λέγων· Ὁ Θεός, ἴασαι τὸ πλάσμα σου, ἵνα μὴ κατακυριευθῇ ὑπὸ τοῦ ἐχθροῦ. Καὶ σφραγίσας αὐτὸ εὐθέως ἐθεράπευσε, καὶ ἀπέδωκαν τῷ πατρὶ αὐτοῦ ὑγιές.

21. Διηγήσατό τις τῶν Πατέρων περί τινος ἀββᾶ Παύλου ὅτι ἦν ἐκ τῶν κάτω μερῶν τῆς Αἰγύπτου οἰκῶν ἐν Θηβαΐδι, ὅτι οὗτος ἐκράτει ἐν ταῖς χερσὶν αὐτοῦ τοὺς κεράστας καὶ τοὺς σκορπίους καὶ τοὺς ὄφεις, καὶ ἔσχιζεν αὐτοὺς μέσον. Καὶ ἔβαλον αὐτῷ οἱ ἀδελφοὶ μετάνοιαν λέγοντες· Εἰπὲ ἡμῖν, ποίαν ἐργασίαν ἐποίησας, ἵνα λάβῃς τὴν χάριν ταύτην; Ὁ δὲ ἔφη· Συγχωρήσατέ μοι, Πατέρες. Ἐάν τις κτήσηται τὴν καθαρότητα, πάντα ὑποτάσσεται αὐτῷ, ὡς τῷ Ἀδὰμ ὅτε ἦν ἐν παραδείσῳ, πρὶν ἢ παραβῆναι τὴν ἐντολήν.

22. Ἐπειράσθη ποτὲ Ἀβραὰμ ὁ μαθητὴς τοῦ ἀββᾶ Σισόη ἀπὸ δαίμονος. Καὶ εἶδεν αὐτὸν ὁ Γέρων ὅτι πέπτωκε.

πώς ἤρθατε τόσοι πολλοί, τόλμησα νά 'ρθω. Λοιπόν, ἀββᾶ, μ' ὅποιο τρόπο μπορεῖς, ἐλέησέ με· πάρε μέσα τό παιδί καί προσευχηθεῖτε γι' αὐτό».

Καί παίρνοντάς το ὁ Γέροντας ἐνήργησε συνετά καί δέν τό ἔφερε ἀμέσως στόν ἀββᾶ Ποιμένα, ἀλλά κάνοντας ἀρχή ἀπ' τούς μικρότερους ἀδελφούς, ἔλεγε: «Κάνε τό σημεῖο τοῦ σταυροῦ ἐπάνω στό παιδί». Καί ἀφοῦ τούς ἔβαλε ὅλους μέ τή σειρά νά τό σταυρώσουν, τελευταῖα τό 'φερε καί στόν ἀββᾶ Ποιμένα, πού δέν ἤθελε κάν νά τό ἀκουμπήσει. Ἐκεῖνοι ὅμως τόν παρακαλοῦσαν λέγοντας: «Ὅπως ὅλοι, πάτερ, καί σύ εὐλόγησέ το».

Καί ἀφοῦ ἀναστέναξε, σηκώθηκε καί προσευχήθηκε ἔτσι: «Θεέ, θεράπευσε τό πλάσμα σου γιά νά μήν τό καταστρέψει ὁ ἐχθρός». Καί μόλις σταύρωσε τό παιδί, ἀμέσως τό θεράπευσε καί τό ἔδωσαν πίσω στόν πατέρα του γερό.

21. Κάποιος ἀπ' τούς Πατέρες διηγήθηκε σχετικά μέ ἕναν ἀββᾶ Παῦλο ὅτι καταγόταν ἀπ' τά κάτω μέρη τῆς Αἰγύπτου καί ἔμενε στή Θηβαΐδα καί ὅτι ἔπιανε μέ τά χέρια του τούς κεράστες[9] καί τούς σκορπιούς καί τά ἄλλα φίδια καί τά ἔσχιζε στά δύο.

Τοῦ 'βαλαν μετάνοια οἱ ἀδελφοί λέγοντάς του: «Πές μας τί ἄσκηση ἔκανες καί ἀπέκτησες τέτοια χάρη;» «Πατέρες, συγχωρέστε με –εἶπε ἐκεῖνος– ἐάν ὁ ἄνθρωπος αποκτήσει καθαρότητα, ὅλα τοῦ ὑποτάσσονται, ὅπως στόν Ἀδάμ, ὅταν ἦταν μέσα στόν παράδεισο, προτοῦ παραβεῖ τήν ἐντολή».

22. Πείραξε κάποτε ὁ σατανᾶς τόν Ἀβραάμ, τόν μαθητή τοῦ ἀββᾶ Σισόη. Καί εἶδε ὁ Γέροντας πώς εἶχε πέσει. Σή-

9. Κεράστες: φίδια πού φαίνονται σάν νά ἔχουν κέρατα.

Καὶ ἀναστὰς ἐξέτεινε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν λέγων· Ὁ Θεός, θέλεις οὐ θέλεις, οὐκ ἀφῶ σε, ἐὰν μὴ αὐτὸν θεραπεύσῃς. Καὶ εὐθέως ἐθεραπεύθη.

23. Παρέβαλέ ποτε κοσμικὸς ἔχων τὸν υἱὸν αὐτοῦ πρὸς τὸν ἀββᾶν Σισόην, εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου. Καὶ κατὰ τὴν ὁδὸν συνέβη ἀποθανεῖν τὸν υἱὸν αὐτοῦ· καὶ οὐκ ἐταράχθη, ἀλλ' ἔλαβεν αὐτὸν πρὸς τὸν Γέροντα πίστει ἀδιστάκτῳ. Καὶ προσέπεσε μετὰ τοῦ υἱοῦ αὐτοῦ ὡς μετάνοιαν ποιῶν, ὥστε εὐλογηθῆναι παρὰ τοῦ Γέροντος. Καὶ ἀναστὰς ὁ πατὴρ κατέλιπε τὸ παιδίον πρὸς τοὺς πόδας τοῦ Γέροντος καὶ ἐξῆλθεν ἔξω. Ὁ δὲ Γέρων νομίζων ὅτι μετάνοιαν αὐτῷ βάλλει, λέγει αὐτῷ· Ἀνάστα, ἔξελθε ἔξω· οὐ γὰρ ᾔδει ὅτι ἀπέθανε. Καὶ παραχρῆμα ἀνέστη καὶ ἐξῆλθε.

Καὶ ἰδὼν αὐτὸν ὁ πατὴρ αὐτοῦ ἐξέστη. Καὶ εἰσελθὼν προσεκύνησε τῷ Γέροντι καὶ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα. Ἀκούσας δὲ ὁ Γέρων ἐλυπήθη· οὐ γὰρ ἤθελε τοῦτο γενέσθαι. Παρήγγειλε δὲ αὐτῷ ὁ μαθητὴς αὐτοῦ μηδενὶ εἰπεῖν, ἕως τῆς τελευτῆς τοῦ Γέροντος.

24. Ἔλεγον περὶ τοῦ ἐν ἁγίοις Σπυρίδωνος ὅτι θυγάτριον ἦν αὐτῷ παρθένος, τῆς τοῦ πατρὸς εὐλαβείας μετέχουσα, τοὔνομα Εἰρήνη. Ταύτῃ γνώριμός τις πολύτιμον παρέθετο κόσμιον. Ἡ δὲ ἀσφαλέστερον ποιοῦσα γῇ τὴν παραθήκην ἔκρυψε. Μετ' ὀλίγον δὲ τὸν βίον ἀπέλιπεν.

Ἦλθε δὲ μετὰ χρόνον ὁ παραθέμενος. Καὶ μὴ εὑρὼν τὴν παρθένον κατέπλεκε τῷ πατρὶ αὐτῆς τῷ ἀββᾷ Σπυρίδωνι,

κωσε τότε (ὁ Γέροντας) τά χέρια του στόν οὐρανό λέγοντας· «Θεέ μου, θέλεις δέν θέλεις, δέν θά σ' ἀφήσω, ἐάν δέν τόν θεραπεύσεις». Καί ἀμέσως θεραπεύτηκε.

23. Κάποτε ἕνας κοσμικός ἐπισκέφθηκε τόν ἀββᾶ Σισόη, στό ὄρος τοῦ ἀββᾶ Ἀντωνίου, ἔχοντας μαζί του καί τόν γιό του.

Κατά τή διαδρομή, λοιπόν, συνέβη νά πεθάνει ὁ γιός του, ἀλλά δέν ταράχτηκε· μάλιστα τόν ἔφερε στόν Γέροντα μέ ἀκλόνητη πίστη. Καί ἔπεσε μαζί μέ τόν γιό του στά πόδια τοῦ Γέροντα, κάνοντας δῆθεν μετάνοια, γιά νά πάρουν τήν εὐλογία του. Ὕστερα σηκώθηκε ὁ πατέρας, ἄφησε τό παιδί στά πόδια τοῦ Γέροντα καί βγῆκε ἔξω. Ὁ Γέροντας πάλι νομίζοντας πώς τοῦ βάζει τό παιδί μετάνοια, τοῦ λέει: «Σήκω καί πήγαινε ἔξω», γιατί δέν ἤξερε ὅτι πέθανε. Κι ἀμέσως ἀναστήθηκε καί βγῆκε ἔξω.

Ὁ πατέρας εἶδε τόν γιό του καί τά 'χασε. Μπῆκε ἀμέσως, ἔβαλε μετάνοια στόν Γέροντα καί τοῦ ἀνήγγειλε τό γεγονός. Σάν τ' ἄκουσε ὁ Γέροντας λυπήθηκε. Δέν ἤθελε νά γίνει αὐτό. Ἔδωσε ὅμως ἐντολή στόν πατέρα ὁ μαθητής τοῦ Γέροντα νά μήν τό πεῖ σέ κανένα μέχρι τόν θάνατο τοῦ Γέροντα.

24. Ἔλεγαν γιά τόν ἅγιο Σπυρίδωνα* ὅτι εἶχε μία θυγατέρα παρθένο, εὐλαβή σάν τόν πατέρα της, μέ τό ὄνομα Εἰρήνη. Ἕνας γνωστός αὐτῆς τῆς ἔδωσε ἕνα πολύτιμο κόσμημα νά τοῦ τό φυλάξει. Κι αὐτή γιά νά τό ἀσφαλίσει καλύτερα, ἔκρυψε τόν θησαυρό στή γῆ. Μετά ὅμως ἀπό λίγο καιρό ἔφυγε ἀπό τόν κόσμο αὐτό ἡ παρθένος.

Πέρασε κάποιο χρονικό διάστημα καί παρουσιάζεται αὐτός πού εἶχε δώσει τόν θησαυρό. Μή βρίσκοντας τήν θυγατέρα του, τά ἔβαλε μέ τόν πατέρα της, τόν ἀββᾶ Σπυ-

νῦν μὲν ἕλκων, πάλιν δὲ παρακαλῶν. Ἐπειδὴ δὲ συμφορὰν ἐποιεῖτο τὴν τοῦ παραθεμένου ζημίαν, ὁ Γέρων ἐλθὼν ἐπὶ τὸ μνημεῖον τῆς θυγατρὸς ἐπεκαλεῖτο τὸν Θεὸν πρὸ καιροῦ δεῖξαι αὐτῷ τὴν ἐπηγγελμένην ἀνάστασιν· καὶ δὴ τῆς ἐλπίδος οὐ διήμαρτε. Ζῶσα γὰρ αὖθις ἡ παρθένος φαίνεται τῷ πατρὶ καὶ τὸν τόπον σημάνασα, ἔνθα τὸ κόσμιον ἔκειτο, αὖθις ἀπεχώρει. Καὶ λαβὼν τὴν παραθήκην ὁ Γέρων ἔδωκεν αὐτήν.

25. Δύο ἀδελφοὶ ἦσαν γνήσιοι καθεζόμενοι ἐν Σκήτει. Καὶ συνέβη τὸν ἕνα ἀσθενῆσαι. Ἐλθόντος οὖν τοῦ ἀδελφοῦ ἐν τῇ ἐκκλησίᾳ καὶ αἰτησαμένου αὐτοῦ παρὰ τοῦ πρεσβυτέρου προσφοράν, ἀκούσας ὁ πρεσβύτερος λέγει τοῖς ἀδελφοῖς· Ἄγωμεν, ἐπισκεψώμεθα τὸν ἀδελφόν. Ἐλθόντων οὖν καὶ εὐξαμένων ἀνεχώρησαν. Πάλιν οὖν τὴν ἄλλην Κυριακὴν ἐρωτᾷ ὁ πρεσβύτερος πῶς ἔσχεν ὁ ἀδελφός. Ὁ δέ φησιν· Εὖξαι ὑπὲρ αὐτοῦ. Πάλιν οὖν ὁ πρεσβύτερος τοὺς ἀδελφοὺς λαβὼν ἐπορεύθη σὺν αὐτοῖς πρὸς τὸν κάμνοντα ἀδελφόν.

Ἐλθόντων οὖν αὐτῶν, ὡς ἦσαν καθήμενοι, ἔμελλε κοιμᾶσθαι. Τῶν δὲ ἀδελφῶν φιλονικούντων καί τινων λεγόντων ὅτι ἠξιώθη τοῦ Παρακλήτου, ἄλλων δὲ περὶ τούτου ἀμφιβαλλόντων, βλέπων αὐτοὺς ὁ ἀδελφὸς αὐτοῦ ἔφη πρὸς αὐτούς· Τί φιλονικεῖτε πρὸς ἀλλήλους; Θέλετε γνῶναι τίς ἔχει τὴν δύναμιν; Καὶ στραφεὶς ἔφη πρὸς τὸν ἀδελφόν· Ὑπάγεις, ἀδελφέ μου; Ὁ δὲ ἀδελφὸς ἔφη· Ναί, ἀλλ᾽ εὖξαι ὑπὲρ ἐμοῦ. Ὁ δὲ πρὸς αὐτὸν ἔφη· Φύσει, ἀδελφέ, οὐκ ἀφῶ σε ἀπελθεῖν πρὸ ἐμοῦ. Καὶ στραφεὶς πρὸς τοὺς καθημένους ἀδελφοὺς ἔφη·

---

10. Βλ. Βιογρ. σημ. ἁγίου Σπυρίδωνα σελ. 585.

ρίδωνα, ἄλλοτε ἀπειλώντας τον καί ἄλλοτε παρακαλώντας τον.

Καί ἐπειδή ὁ Γέροντας θεωροῦσε ὡς συμφορά τή ζημιά πού ἔπαθε αὐτός πού ἔδωσε τόν θησαυρό, ἦρθε στόν τάφο τῆς θυγατέρας του καί ζητοῦσε ἀπ᾽ τόν Θεό νά τοῦ δείξει πρόωρα τήν ἀνάσταση πού ἔχει ὑποσχεθεῖ. Καί νά πού δέν διαψεύδεται· γιατί ἐμφανίζεται ἀμέσως ζωντανή ἡ παρθένος στόν πατέρα της καί ἀφοῦ τοῦ ἔδειξε τόν τόπο, ὅπου βρισκόταν τό κόσμημα, ἔφυγε πίσω πάλι. Ἔτσι πῆρε ὁ Γέροντας τόν θησαυρό καί τόν ἔδωσε.[10]

25. Δύο ἀδέλφια ἀσκήτευαν στή Σκήτη. Καί ἦρθε καιρός πού ἀρρώστησε ὁ ἕνας. Τότε ὁ ἀδελφός του πῆγε στήν ἐκκλησία καί ζήτησε Θεία Κοινωνία ἀπό τόν ἱερέα· καί καθώς τό πληροφορήθηκε ὁ ἱερέας, εἶπε στούς ἀδελφούς: «Πᾶμε νά ἐπισκεφθοῦμε τόν ἀδελφό». Ἦρθαν, λοιπόν, προσευχήθηκαν κι ἔφυγαν. Τήν ἑπομένη Κυριακή ρωτάει πάλι ὁ ἱερέας πῶς εἶναι ὁ ἀδελφός. Κι ἐκεῖνος τοῦ εἶπε: «Προσευχήσου γι᾽ αὐτόν». Καί γιά δεύτερη φορά ξαναπῆρε ὁ ἱερέας τούς ἀδελφούς καί πῆγαν μαζί στόν ἄρρωστο.

Ὅταν λοιπόν ἔφτασαν, ἐκεῖ πού καθόντουσαν, ἐπρόκειτο νά ἐγκαταλείψει τόν κόσμο ὁ ἀσθενής ἀδελφός. Καί καθώς φιλονικοῦσαν οἱ ἀδελφοί μεταξύ τους –γιατί ἄλλοι ἔλεγαν πώς (ὁ θνήσκων) εἶχε λάβει τό Ἅγιον Πνεῦμα κι ἄλλοι ἀμφέβαλλαν γι᾽ αὐτό– βλέποντάς τους ὁ ὑγιής ἀδελφός τούς εἶπε: «Γιατί φιλονικεῖτε μεταξύ σας; Θέλετε νά μάθετε ποιός ἔχει τή δύναμη;» Στράφηκε τότε πρός τόν ἀδελφό καί τοῦ εἶπε: «Φεύγεις, ἀδελφέ μου;» Κι ὁ ἀδελφός εἶπε: «Ναί, ἀλλά εὐχήσου γιά μένα». Καί ὁ ὑγιής ἀδελφός τοῦ εἶπε: «Πράγματι, ἀδελφέ μου, δέν πρόκειται νά σ᾽ ἀφήσω νά φύγεις πρίν ἀπό μένα». Καί στρέφοντας τό κεφάλι πρός τούς ἀδελφούς, εἶπε: «Δῶστε μου ἕνα ψαθί κι ἕνα μα-

Δότε μοι ψιάθιον καὶ ἐμβρίμιον. Καὶ λαβὼν καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε πρῶτος τὴν ψυχήν, ἔπειτα ὁ ἀσθενῶν.

Καὶ εὐθέως ἀμφοτέρους κηδεύσαντες οἱ Πατέρες ἀπήνεγκαν καὶ ἔθαψαν μετὰ χαρᾶς, ὅτι ἀπειλήφασι τὸ Φῶς τὸ νοητόν.

26. Ἀδελφὸς εἶχε Γέροντα, καὶ ἰδὼν αὐτὸν ὅτι θαυμαστῶς τοὺς νεκροὺς κηδεύει, εἶπε πρὸς αὐτόν· Εἰ κἀμὲ τεθνηκότα οὕτω κηδεύσεις; Ὁ δὲ πρὸς αὐτὸν εἶπεν· Οὕτω κηδεύσω σε, ἄχρις ἂν εἴπῃς· ἀρκεῖ. Μετ᾽ οὐ πολὺ δὲ τέθνηκεν ὁ ἀδελφός, καὶ ὁ λόγος εἰς ἔργον γέγονε. Κηδεύσας γὰρ αὐτὸν εὐσεβῶς ἔφη πρὸς αὐτὸν ἐπὶ πάντων· Καλῶς ἐκηδεύθης, ὦ τέκνον; ἢ ἔτι μικρὸν λείπεται; Καὶ φωνὴν ἀφῆκεν ὁ νεανίσκος· Καλῶς ἔχει, ὦ πάτερ· τὴν γὰρ ἐπαγγελίαν ἐπλήρωσας.

27. Διηγήσαντο οἱ Πατέρες ὅτι ἦν τις κοινοβίου πατήρ. Καὶ συνέβη τὸν τούτου διακονητὴν ὀλιγωρήσαντα ἐξελθεῖν ἐκ τῆς μονῆς καὶ ἀπελθεῖν εἰς ἄλλον τόπον. Ὁ δὲ Γέρων δι᾽ ὅλου σχεδὸν ἀπήει πρὸς αὐτὸν δυσωπῶν αὐτὸν ἵνα ἐπιστραφῇ. Ὁ δὲ οὐκ ἐβούλετο. Τοῦτο δὲ ἐποίησεν ὁ Γέρων ἐπὶ τρία ἔτη. Καὶ οὕτω πεισθεὶς ὁ διακονητὴς ἐπέστρεψεν.

Ἐπιτάσσει οὖν αὐτῷ ὁ Γέρων ἐξελθεῖν καὶ συναγαγεῖν στοιβήν. Καὶ δὴ τοῦτο ποιήσας ὁ διακονητὴς κατ᾽ ἐνέργειαν τοῦ Σατανᾶ τὸν ὀφθαλμὸν ἀπώλεσεν. Ὁ δὲ Γέρων λυπηθεὶς σφόδρα ἄρχεται νουθετεῖν αὐτὸν ὀδυνώμενον· καὶ λέγει αὐτῷ

11. Κηδεύω τόν νεκρό (κῆδος = φροντίδα) σημαίνει φροντίζω γιά τήν ἑτοιμασία τοῦ νεκροῦ (πλύσιμο, ντύσιμο, διευθέτηση στό νεκροκρέββατο), τίς νεκρώσιμες προσευχές καί ἀναγνώσεις, καί τέλος γιά τήν ἐκφορά καί ταφή.

ξιλάρι». Καί μόλις τά πῆρε, ἔγειρε τό κεφάλι του κι ἄφησε πρῶτος τήν ψυχή του καί μετά πέθανε καί ὁ ἀσθενής.

Ἀμέσως οἱ Πατέρες ἑτοίμασαν[11] καί τούς δύο, τούς μετέφεραν καί τούς ἔθαψαν χαρούμενοι, γιατί εἶχαν ἀποκτήσει τό Φῶς τό οὐράνιο.

26. Κάποιος ἀδελφός εἶχε ἕναν Γέροντα πού, ὅταν τόν εἶδε ὅτι κατά θαυμάσιο τρόπο φροντίζει τούς νεκρούς γιά τήν ταφή, τοῦ εἶπε: «Ἄραγε καί ἐμένα σάν πεθάνω, ἔτσι θά μέ φροντίσεις;» Κι ἐκεῖνος τοῦ ἀπάντησε: «Ἔτσι θά σέ φροντίσω μέχρι πού νά πεῖς: φτάνει».

Ὕστερα ἀπό λίγο καιρό πέθανε ὁ ἀδελφός καί ὁ λόγος ἔγινε ἔργο. Γιατί, ἀφοῦ τόν φρόντισε μέ εὐλάβεια, ὕστερα γύρισε πρός τόν νεκρό καί τοῦ εἶπε ἐνώπιον ὅλων: «Καλά κηδεύτηκες, τέκνον, ἢ μήπως σοῦ χρειάζεται ἀκόμη κάτι;» Κι ὁ νέος τότε ἔβγαλε φωνή καί εἶπε: «Καλά εἶναι ὅλα, πάτερ, ἐκπλήρωσες τήν ὑπόσχεση πού ἔδωσες».

27. Διηγήθηκαν οἱ Πατέρες ὅτι κάποιος Γέροντας ἦταν πνευματικός πατέρας κοινοβίου. Καί συνέβη ἀπό ἀκηδία[12] ὁ διακονητής του νά φύγει ἀπ᾽ τό μοναστήρι καί νά πάει σ᾽ ἄλλο τόπο. Ὁ Γέροντάς του σχεδόν ὅλο αὐτό τό χρονικό διάστημα πήγαινε στόν διακονητή του καί τόν παρακαλοῦσε νά γυρίσει πίσω. Ἀλλ᾽ ἐκεῖνος δέν ἤθελε. Ὁ Γέροντας ὅμως συνέχισε αὐτήν τήν τακτική γιά τρία χρόνια, ὥσπου πείσθηκε ὁ διακονητής καί γύρισε πίσω.

Σάν γύρισε τοῦ ᾽δωσε μετά ὁ Γέροντας ἐντολή νά βγεῖ ἔξω καί νά μαζέψει χόρτα γιά σκοῦπες. Καί πράγματι, ὅταν βγῆκε γι᾽ αὐτή τή δουλειά ὁ διακονητής, ἀπό σατανική ἐνέργεια ἔχασε τό μάτι του. Τότε ὁ Γέροντας βαθιά λυπημένος, ἄρχισε νά τόν συμβουλεύει καθώς ἐκεῖνος πονοῦσε,

12. Ἀκηδία: Βλ. Μ. Γερ. τ. Α΄, σελ. 126, ὑποσημ. 109.

ὁ διακονητής· Ἐγώ εἰμι ὁ αἴτιος· διὰ γὰρ τοὺς κόπους οὓς παρέσχον σοι τοῦτο ὑπέμεινα.

Μετὰ χρόνον ἀπαλλάσσεται τῆς ὀδύνης, τοῦ πάθους μείναντος. Καὶ πάλιν ἐπιτάσσει αὐτῷ ὁ Γέρων ἐξελθεῖν καὶ τίλλαι βαΐα. Ἐργαζόμενος οὖν κατ' ἐνέργειαν τοῦ ἐχθροῦ πάλιν ῥαβδίου πηδήσαντος ἀπώλλυ καὶ τὸν ἄλλον ὀφθαλμόν. Ἔρχεται οὖν εἰς τὴν μονὴν καὶ ἡσυχάζει μηδὲν ἔτι ποιῶν. Ὁ δὲ ἀββᾶς πάλιν ἐδυσφόρει. Καὶ ὡς ἦλθεν αὐτοῦ ἡ κλῆσις, προγινώσκει καὶ μεταστέλλεται πάντας τοὺς ἀδελφοὺς καὶ λέγει αὐτοῖς· Ἐγγύς ἐστιν ἡ κλῆσίς μου· βλέπετε ἑαυτούς. Ἄρχεται οὖν ἕκαστος λέγειν· Τίνι ἐᾷς ἡμᾶς, ἀββᾶ; Ὁ δὲ Γέρων ἐσιώπα. Καὶ μεταστέλλεται τὸν τυφλὸν μόνον. Καὶ λέγει αὐτῷ περὶ τῆς κλήσεως. Ὁ δὲ ἐδάκρυσε λέγων· Τίνι με ἐᾷς τὸν τυφλόν; Ὁ δὲ Γέρων λέγει· Εὔξαι, ἵνα σχῶ παρρησίαν ἐνώπιον τοῦ Θεοῦ. Καὶ ἐλπίζω ὅτι τῇ Κυριακῇ ποιεῖς τὴν σύναξιν.

Καὶ κοιμηθέντος αὐτοῦ μετ' ὀλίγας ἡμέρας ἀνέβλεψε καὶ γέγονε τοῦ κοινοβίου πατήρ.

28. Ἀπέστειλέ τις τῶν Γερόντων τὸν μαθητὴν αὐτοῦ ἀντλῆσαι ὕδωρ· ἦν δὲ μακρὰν τὸ φρέαρ ἀπὸ τοῦ κελλίου αὐτῶν. Ὁ δὲ ἐπελάθετο τὸ σχοινίον ἆραι. Καὶ ἐλθὼν ἐπὶ τὸ φρέαρ ἔγνω ὅτι οὐκ ἤνεγκε. Καὶ ποιήσας εὐχὴν ἐφώνησε λέγων· Λάκκε, λάκκε, εἶπεν ὁ ἀββᾶς μου γέμισον τὸ κεράμιον ὕδωρ. Καὶ παραχρῆμα ἀνῆλθε τὸ ὕδωρ ἄνω. Καὶ γεμίσαντος τοῦ ἀδελφοῦ πάλιν ἀποκατεστάθη τὸ ὕδωρ εἰς τὸν τόπον αὐτοῦ.

ὁπότε τοῦ λέει ὁ διακονητής· «Ἐγώ φταίω, γιατί τό ἔπαθα γιά τίς ταλαιπωρίες στίς ὁποῖες σέ ὑπέβαλα».

Ὕστερα ἀπό κάποιο χρονικό διάστημα σταμάτησε ὁ πόνος, ἀλλά τοῦ 'μεινε ἡ ἀναπηρία. Τοῦ δίνει πάλι ὁ Γέροντας ἐντολή νά βγεῖ ἔξω ἀπ' τό μοναστήρι καί νά κόψει φύλλα βαΐων. Πάλι, λοιπόν, πάνω στή δουλειά ἀπό πειρασμό διαβολικό, πετάχτηκε ἕνα κλωναράκι καί χάνει καί τό ἄλλο μάτι του. Γυρίζει, λοιπόν, στό μοναστήρι καί μένει στήν ἡσυχία του χωρίς νά ἐργάζεται πλέον καθόλου.

Κι ὁ ἀββᾶς, πάλι στενοχωριόταν. Καί ὅταν ἦρθε ἡ ὥρα νά φύγει ἀπό τόν κόσμο αὐτόν, τοῦ ἔγινε γνωστό ἐκ τῶν προτέρων καί εἰδοποιεῖ νά ρθοῦν ὅλοι οἱ ἀδελφοί καί τούς λέει: «Εἶναι κοντά ἡ ὥρα μου. Προσέχετε τούς ἑαυτούς σας». Κι ὁ καθένας ἄρχισε νά λέει: «Σέ ποιόν μᾶς ἀφήνεις, ἀββᾶ;» Ὁ Γέροντας ὅμως σιωποῦσε. Στέλνει καί καλεῖ τόν τυφλό μόνο του. Καί τοῦ ἀνακοινώνει γιά τόν θάνατό του. Ὁ τυφλός δάκρυσε λέγοντας: «Σέ ποιόν ἀφήνεις ἐμένα τόν τυφλό;» Κι ὁ Γέροντας τοῦ λέει· «Εὐχήσου νά βρῶ παρρησία στόν Θεό καί ἐλπίζω ὅτι τήν Κυριακή θά κάνεις ἐσύ τή σύναξη».

Καί μόλις κοιμήθηκε ὁ Γέροντας, ὕστερα ἀπό λίγες μέρες ξαναβρῆκε τό φῶς του ὁ διακονητής κι ἔγινε Γέροντας τοῦ κοινοβίου.

28. Κάποιος ἀπ' τούς Γέροντες ἔστειλε τόν μαθητή του νά πάρει νερό. Τό πηγάδι ἦταν μακριά ἀπ' τό κελί τους κι ὁ μαθητής ξέχασε νά πάρει τό σχοινί. Ὅταν πιά ἔφτασε στό πηγάδι, διαπίστωσε ὅτι δέν τό εἶχε πάρει μαζί του. Τότε, ἀφοῦ ἔκαμε εὐχή, φώναξε· «Λάκκε, λάκκε! εἶπε ὁ ἀββᾶς μου νά γεμίσεις τό σταμνί νερό».

Κι ἀμέσως ἀνέβηκε τό νερό ἐπάνω καί ἀφοῦ γέμισε ὁ ἀδελφός τό σταμνί, ξαναγύρισε τό νερό στήν προηγούμενη στάθμη του.

29. Γέρων τις Σκητιώτης ἔμενεν εἰς τὸ ὄρος τοῦ Παϊσίου. Καὶ ἠνέχθη αὐτῷ τις τοῦ παλατίου δαιμονιζόμενος, καὶ ἐθεράπευσεν αὐτόν. Καὶ προσήνεγκεν αὐτῷ θάλιν μεστὸν χρυσοῦ. Ὁ δὲ Γέρων οὐκ ἤθελε δέξασθαι. Ἰδὼν δὲ αὐτὸν λυπούμενον ἐκράτησε τὸ θάλιν κοῦφον. Καὶ λέγει αὐτῷ· Τὸ χρυσίον δὸς τοῖς πτωχοῖς ἀγάπην. Καὶ ἐποίησεν ὁ Γέρων τὸ θαλὶν κολόβιον. Ἦν γὰρ τρίχινον καὶ σκληρόν. Καὶ ἐπὶ πολὺν χρόνον ἐφόρεσεν αὐτό, ἵνα καταφάγῃ τὰς σάρκας αὐτοῦ.

30. Ἔλεγον περί τινος Γέροντος ὅτι ἐκάθητο ἐν τῇ Σκήτει, καὶ ἦλθε πρὸς αὐτὸν δαίμων θέλων εἰσελθεῖν. Καὶ ἔδησεν αὐτὸν ἔξω τῆς ἐκκλησίας. Καὶ πάλιν ἄλλος δαίμων ἦλθε, καὶ τοῦτον ἔδησε. Καὶ προσθεὶς ἕτερος δαίμων ἦλθε καὶ εὗρε δεδεμένους τοὺς δύο καὶ λέγει αὐτοῖς· Τί ἑστήκατε ὧδε ἔξω; Καὶ λέγουσιν αὐτῷ ὅτι· Ἔστι καθήμενος ἔσω καὶ μὴ ἐῶν ἡμᾶς εἰσελθεῖν. Καὶ αὐτὸς τυραννήσας ἐπεχείρησεν εἰσελθεῖν. Ὁ δὲ Γέρων ἔδησε καὶ αὐτόν.

31. Ἔλεγον περί τινος Γέροντος ὅτι ἡ κέλλα αὐτοῦ φωτεινὴ ὑπῆρχε καθάπερ ἡμέρα. Καὶ ὥσπερ ἀνεγίνωσκε καὶ εἰργάζετο ἐν τῇ ἡμέρᾳ, οὕτω καὶ ἐν τῇ νυκτί.

32. Ἀπῆλθέ ποτε Γέρων μετὰ ἀδελφοῦ γεμίσαι ὕδωρ. Καὶ προλαβὼν ὁ ἀδελφὸς εἰς τὸν λάκκον εἶδε δράκοντα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε πάτησον τὴν κεφαλὴν αὐτοῦ. Καὶ φοβηθεὶς οὐκ ἀπῆλθεν. Ἦλθε δὲ ὁ Γέρων, καὶ εἶδεν αὐτὸν τὸ θηρίον καὶ καταισχυνθὲν ἔφυγεν εἰς τὴν ἔρημον.

Τέλος τῆς περὶ σημειοφόρων πραγματείας.

29. Κάποιος Γέροντας Σκητιώτης ἔμενε στό ὄρος τοῦ Παϊσίου, ὅταν τοῦ φέρανε ἕναν δαιμονισμένο ἀπ᾽ τό παλάτι καί τόν θεράπευσε. Τότε ὁ θεραπευμένος πρόσφερε στόν Γέροντα ἕνα σακκούλι γεμάτο χρυσάφι, ἀλλ᾽ ὁ Γέροντας δέν ἤθελε νά τό πάρει. Ἐπειδή ὅμως τόν εἶδε λυπημένο, κράτησε μόνο τό σακκούλι καί τοῦ εἶπε: «Τόν χρυσό δῶσ᾽ το ἐλεημοσύνη στούς φτωχούς».

Κι ἔκανε ὁ Γέροντας τό σακκούλι κολόβιο, γιατί ἦταν τρίχινο καί σκληρό, καί τό φόρεσε γιά πολύ χρονικό διάστημα γιά νά καταφάγει τίς σάρκες του.

30. Ἔλεγαν γιά κάποιο Γέροντα πώς ἀσκήτευε στή Σκήτη, καί ἦλθε σ᾽ αὐτόν ἕνας δαίμονας μέ διάθεση νά μπεῖ μέσα στό κελί του, ἀλλά τόν ἔδεσε ἔξω ἀπό τήν ἐκκλησία. Ἦρθε καί δεύτερος δαίμονας καί τόν ἔδεσε κι αὐτόν. Γιά τρίτη φορά ἦρθε κι ἕνας ἄλλος δαίμονας, βρῆκε δεμένους τούς δύο προηγούμενους καί τούς λέει: «Γιατί ἔχετε σταθεῖ ἐδῶ ἔξω;» Καί τοῦ εἶπαν: «Κάθεται μέσα καί δέν μᾶς ἀφήνει νά μποῦμε». Κι αὐτός ὁ δαίμονας ἐνεργώντας δυναμικά ἐπιχείρησε νά μπεῖ, ἀλλ᾽ ὁ Γέροντας τόν ἔδεσε καί αὐτόν.

31. Ἔλεγαν γιά κάποιον Γέροντα ὅτι τό κελί του ἦταν φωτεινό σάν τήν ἡμέρα. Καί ὅπως διάβαζε καί ἐργαζόταν τήν ἡμέρα, ἔτσι γινόταν καί τή νύχτα.

32. Κάποτε πῆγε ἕνας Γέροντας μαζί μέ κάποιον ἀδελφό νά γεμίσουν νερό. Κι ὁ ἀδελφός καθώς πῆγε πρῶτος στόν λάκκο, εἶδε ἕνα φίδι. Τότε τοῦ εἶπε ὁ Γέροντας· «Πήγαινε καί πάτησε τό κεφάλι του». Ἀλλ᾽ ἀπ᾽ τόν φόβο του δέν πῆγε.

Μετά ἦρθε κι ὁ Γέροντας καί σάν τόν εἶδε τό θηρίο, ἔφυγε καταντροπιασμένο στήν ἔρημο.


Τέλος τῆς πραγματείας περί τῶν θαυματουργῶν Πατέρων.

Ἀπόσπασμα ἀπό τόν χειρόγραφο κώδικα Coislin 108 (11ος αἰ.)

ΚΕΦΑΛΑΙΟ
Κ΄

Εἰπέ τις τῶν Πατέρων ὅτι συνέτυχέ τις
τῷ ἀββᾷ Σιλουανῷ καί,
ἑωρακὼς αὐτοῦ τὸ πρόσωπον
καὶ τὸ σῶμα ὡς ἀγγέλου λάμψαν,
ἔπεσεν ἐπὶ πρόσωπον.
Ἔλεγε δὲ καὶ ἄλλους τινὰς
ἐσχηκέναι τοῦτο τὸ χάρισμα.

(Ἀπόφθ. 15)




Περὶ πολιτείας ἐναρέτου



ὐχομένου ποτὲ τοῦ ἁγίου Ἀντωνίου ἐν τῷ κελλίῳ αὐτοῦ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Ἀντώνιε, οὔπω ἔφθασας εἰς τὸ μέτρον τοῦδε τοῦ σκυτέως τοῦ ἐν Ἀλεξανδρείᾳ. Ἀναστὰς οὖν τὸ πρωὶ καὶ λαβὼν τὴν βαΐνην ῥάβδον ἀπήει πρὸς αὐτόν. Ἐλθὼν οὖν εἰς τὸν τόπον εἰσῆλθε πρὸς αὐτόν. Ἰδὼν δὲ αὐτὸν ἐκεῖνος ἐταράχθη. Λέγει οὖν πρὸς αὐτὸν ὁ Γέρων· Εἰπέ μοι τὰς πράξεις σου. Ὁ δὲ εἶπεν· Οὐκ οἶδα ἐμαυτὸν τί ποτε καλὸν πράξαντα, εἰ μὴ μόνον, ὡς ἀνίσταμαι τὸ πρωὶ καθίσαι εἰς τὸ ἐργόχειρόν μου, λέγω ὅτι πᾶσα ἡ πόλις αὕτη, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, εἰσέρχονται εἰς τὴν Βασιλείαν διὰ τὰς δικαιοσύνας αὐτῶν, ἐγὼ δὲ μόνος κληρονομῶ τὴν κόλασιν διὰ τὰς ἁμαρτίας μου. Καὶ πάλιν, ὀψὲ λέγω τὸν αὐτὸν λόγον πρὶν κοιμηθῶ.

Ἀκούσας δὲ ὁ ἀββᾶς Ἀντώνιος λέγει· Ἐν ἀληθείᾳ, ὡς καλὸς χρυσοχόος καθεζόμενος ἐν τῇ οἰκίᾳ μετὰ ἀναπαύσεως τὴν Βασιλείαν ἐκληρονόμησας. Ἐγὼ δὲ ἀδιάκριτος ὢν ὅλον μου τὸν χρόνον τὴν ἔρημον οἰκῶν οὐ κατέλαβόν σε.

2. Δύο τινὲς τῶν Πατέρων παρεκάλεσαν τὸν Θεόν, ἵνα δείξῃ αὐτοῖς εἰς ποῖον ἔφθασαν μέτρον. Καὶ ἦλθεν αὐτοῖς



Σχετικά μέ τήν ἐνάρετη ζωή



άποια φορά τήν ὥρα πού ὁ ἅγιος Ἀντώνιος προσευχόταν στό κελί του, ἄκουσε μιά φωνή πού τοῦ ἔλεγε: «Ἀντώνιε, δέν ἔφθασες ἀκόμη στό μέτρο τοῦ τάδε τσαγκάρη πού ζεῖ στήν Ἀλεξάνδρεια». Σηκώθηκε τό πρωί, πῆρε τό βαΐτικο ραβδί του καί πῆγε νά τόν βρεῖ. Ἔφθασε σέ κεῖνο τό μέρος καί μπῆκε στό ἐργαστήριό του. Ἐκεῖνος ὅταν τόν εἶδε ταράχτηκε. Τοῦ λέει λοιπόν ὁ Γέροντας: «Μίλησέ μου γιά τίς πράξεις σου». Ὁ τσαγκάρης εἶπε: «Δέν ξέρω νά ἔχω κάνει ποτέ κάτι καλό, παρά μόνο, μόλις σηκωθῶ τό πρωί νά καθήσω στό ἐργόχειρό μου, λέω ὅτι ὁλόκληρη ἡ πόλη αὐτή, ἀπό τόν πιό μικρό μέχρι τόν πιό μεγάλο, μπαίνουν στή Βασιλεία τοῦ Θεοῦ γιά τίς ἐνάρετες πράξεις τους καί ὅτι μόνο ἐγώ κληρονομῶ τήν κόλαση γιά τίς ἁμαρτίες μου. Τό βράδυ πάλι λέω τά ἴδια λόγια, πρίν κοιμηθῶ».

Τ' ἄκουσε αὐτά ὁ ἀββᾶς Ἀντώνιος καί εἶπε: «Ἀληθινά, σάν καλός χρυσοχόος, ἐνῶ κάθεσαι στό σπίτι, ἀναπαυτικά κληρονόμησες τή Βασιλεία τῶν Οὐρανῶν. Ἐγώ ὅλο μου τόν χρόνο τόν περνῶ στήν ἔρημο, ὅμως, καθώς δέν ἔχω διάκριση, δέν σέ ἔφθασα».

2. Δύο Πατέρες παρακάλεσαν τόν Θεό νά τούς δείξει σέ ποιό πνευματικό μέτρο ἔφθασαν. Τούς ἦρθε φωνή πού

φωνὴ λέγουσα ὅτι· Εἰς τήνδε τὴν κώμην τῆς Αἰγύπτου ἔστι τις κοσμικὸς Εὐχάριστος ὀνόματι, καὶ ἡ γυνὴ αὐτοῦ καλεῖται Μαρία. Οὔπω ἤλθετε εἰς τὰ μέτρα αὐτῶν.

Καὶ ἀναστάντες οἱ δύο Γέροντες ἦλθον εἰς τὴν κώμην καὶ ἐρωτήσαντες εὗρον τὸ κελλίον καὶ τὴν γυναῖκα αὐτοῦ. Καὶ λέγουσιν αὐτῇ· Ποῦ ἐστιν ὁ ἀνήρ σου; Ἡ δὲ εἶπε· Ποιμήν ἐστι καὶ βόσκει τὰ πρόβατα. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὸ κελλίον αὐτοῦ. Ὡς δὲ ὀψία ἐγένετο, ἦλθεν ὁ Εὐχάριστος μετὰ τῶν προβάτων. Καὶ ἰδὼν τοὺς Γέροντας ἡτοίμασεν αὐτοῖς τράπεζαν καὶ ἤνεγκεν ὕδωρ νῖψαι τοὺς πόδας αὐτῶν. Καὶ λέγουσιν αὐτῷ οἱ Γέροντες· Οὐ μὴ γευσώμεθά τινος, ἐὰν μὴ ἀναγγείλῃς ἡμῖν τὴν ἐργασίαν σου. Ὁ δὲ Εὐχάριστος μετὰ πάσης ταπεινοφροσύνης εἶπεν· Ἐγὼ ποιμήν εἰμι, καὶ αὕτη ἡ γυνή μου. Οἱ δὲ Γέροντες ἐπέμενον παρακαλοῦντες αὐτόν, καὶ οὐκ ἤθελεν εἰπεῖν.

Καὶ εἶπον αὐτῷ· Ὁ Θεὸς ἔπεμψεν ἡμᾶς πρός σε. Ὡς δὲ ἤκουσε τὸν λόγον τοῦτον, ἐφοβήθη καὶ εἶπεν αὐτοῖς· Ἰδοὺ τὰ πρόβατα ταῦτα ἔχομεν ἀπὸ τῶν γονέων ἡμῶν. Καὶ εἴ τι ἂν εὐοδώσῃ ὁ Κύριος εἰσοδιάσαι ἐξ αὐτῶν, ποιοῦμεν εἰς τρία μέρη· μέρος ἓν τοῖς πτωχοῖς καὶ μέρος ἓν εἰς τὴν φιλοξενίαν· καὶ τὸ τρίτον μέρος εἰς τὴν χρείαν ἡμῶν. Ἀφ' οὗ δὲ ἔλαβον τὴν γυναῖκά μου, παρθένος ἐστί. Καὶ ἕκαστος ἡμῶν καθ' ἑαυτὸν καθεύδει. Τὴν δὲ νύκτα φοροῦμεν σάκκους, τὴν δὲ ἡμέραν τὰ ἱμάτια ἡμῶν. Καὶ ἕως ἄρτι ἀνθρώπων οὐδεὶς ταῦτα ἔγνωκε.

Καὶ ἀκούσαντες ἐθαύμασαν καὶ ἀνεχώρησαν δοξάζοντες τὸν Θεόν.

3. Ἦλθέ ποτε ὁ ἀββᾶς Μακάριος ὁ Αἰγύπτιος ἀπὸ Σκήτεως εἰς τὸ ὄρος τῆς Νιτρίας, εἰς τὴν προσφορὰν τοῦ ἀββᾶ

1. Ἐννοεῖ τήν πνευματική ἐργασία.

2. Σάκκος: ἔνδυμα τραχύ ὑφασμένο ἀπό τρίχες αἰγός, πού φοροῦσαν οἱ

ἔλεγε: «Στό τάδε χωριό τῆς Αἰγύπτου ὑπάρχει κάποιος κοσμικός πού ὀνομάζεται Εὐχάριστος καί ἡ γυναίκα του Μαρία. Δέν ἤρθατε ἀκόμη στά μέτρα τους».

Οἱ δύο Γέροντες σηκώθηκαν καί ἦρθαν στό χωριό. Ἔψαξαν καί βρῆκαν τό καλύβι καί τή γυναίκα του. Τή ρωτοῦν: «Ποῦ εἶναι ὁ ἄνδρας σου;» «Εἶναι βοσκός –ἀπάντησε ἐκείνη– καί βόσκει τά πρόβατα». Καί τούς ὁδήγησε μέσα στό καλυβάκι του. Τό βράδυ ἦρθε ὁ Εὐχάριστος μέ τά πρόβατα. Ὅταν εἶδε τούς Γέροντες, τούς ἑτοίμασε τραπέζι κι ἔφερε νερό νά τούς πλύνει τά πόδια. Τοῦ λένε οἱ Γέροντες: «Δέν θά πάρουμε τίποτε, ἄν δέν μᾶς ἀναφέρεις τήν ἐργασία σου[1]». Ὁ Εὐχάριστος πολύ ταπεινά εἶπε: «Εἶμαι βοσκός κι αὐτή εἶναι ἡ γυναίκα μου». Οἱ Γέροντες ἐπέμεναν παρακαλώντας τον, ἀλλά αὐτός δέν ἤθελε νά μιλήσει.

Τοῦ λένε τότε: «Ὁ Θεός μᾶς ἔστειλε σέ σένα». Ὅταν τό ἄκουσε αὐτό, ἔνιωσε φόβο καί τούς εἶπε: «Νά, τά πρόβατα αὐτά τά κληρονομήσαμε ἀπό τούς γονεῖς μας. Ὅ,τι τυχόν εἰσόδημα μέ τήν εὐλογία τοῦ Κυρίου ἔχουμε ἀπ' αὐτά τό κάνουμε τρία μέρη· ἕνα μέρος γιά τούς φτωχούς, ἕνα γιά τή φιλοξενία καί τό τρίτο γιά τίς δικές μας ἀνάγκες. Ἡ γυναίκα μου ἀπό τότε πού τήν πῆρα εἶναι παρθένα. Καθένας μας κοιμᾶται μόνος του. Τή νύχτα φορᾶμε σάκκους[2], ἐνῶ τή μέρα τά ροῦχα μας. Καί ὥς τώρα κανείς δέν τά ἔμαθε αὐτά».

Σάν τά ἄκουσαν οἱ Γέροντες θαύμασαν καί ἀναχώρησαν δοξάζοντας τόν Θεό.

3. Κάποτε ὁ ἀββᾶς Μακάριος ἦρθε ἀπό τή Σκήτη στό ὄρος τῆς Νιτρίας στή σύναξη (πανήγυρη) τοῦ ἀββᾶ Παμ-

μοναχοί, κυρίως, γιά ἄσκηση. Τόν σάκκο χρησιμοποιοῦσαν καί οἱ Ἰουδαῖοι σέ ἔνδειξη πένθους.

Παμβώ. Καὶ λέγουσιν αὐτῷ οἱ Γέροντες· Εἰπὲ ῥῆμα τοῖς ἀδελφοῖς, πάτερ. Ὁ δὲ εἶπεν· Ἐγὼ οὔπω γέγονα μοναχός, ἀλλ' εἶδον μοναχούς. Καθημένῳ γάρ μοι ποτὲ ἐν τῷ κελλίῳ εἰς Σκῆτιν ὤχλησάν μοι οἱ λογισμοὶ λέγοντες· Ἄπελθε εἰς τὴν ἔρημον καὶ ἴδε τί βλέπεις ἐκεῖ. Καὶ ἔμεινα πολεμῶν τῷ λογισμῷ πέντε ἔτη λέγων μήπως ἀπὸ δαιμόνων ἐστί. Καὶ ὡς ἐπέμενεν ὁ λογισμός, ἀπῆλθον εἰς τὴν ἔρημον.

Καὶ εὗρον ἐκεῖ λίμνην ὑδάτων καὶ νῆσον ἐν μέσῳ αὐτῆς. Καὶ ἦλθον τὰ κτήνη τῆς ἐρήμου πιεῖν ἐξ αὐτῆς. Καὶ εἶδον ἐν μέσῳ αὐτῶν δύο ἀνθρώπους γυμνούς, καὶ ἐδειλίασε τὸ σῶμά μου. Ἐνόμισα γὰρ ὅτι πνεύματά εἰσιν. Αὐτοὶ δέ με ὡς εἶδον δειλιῶντα ἐλάλησαν πρός με· Μὴ φοβοῦ· καὶ ἡμεῖς ἄνθρωποί ἐσμεν. Καὶ εἶπον αὐτοῖς· Πόθεν ἐστὲ καὶ πῶς ἤλθετε εἰς τὴν ἔρημον ταύτην; Οἱ δὲ εἶπον· Ἀπὸ κοινοβίου ἐσμέν· καὶ γέγονεν ἡμῖν συμφωνία καὶ ἐξήλθομεν ὧδε ἰδοὺ τεσσαράκοντα ἔτη. Καὶ ὁ μὲν εἷς ὑπάρχει Αἰγύπτιος, ὁ δὲ ἕτερος Λιβυκός.

Καὶ ἐπηρώτησάν με καὶ αὐτοὶ λέγοντες· Πῶς ὁ κόσμος, καὶ εἰ ἔρχεται τὸ ὕδωρ κατὰ καιρὸν αὐτοῦ, καὶ εἰ ἔχει ὁ κόσμος τὴν εὐθηνίαν αὐτοῦ. Καὶ εἶπον αὐτοῖς· Ναί. Κἀγὼ αὐτοὺς ἠρώτησα· Πῶς δύναμαι γενέσθαι μοναχός; Καὶ λέγουσί μοι· Ἐὰν μὴ ἀποτάξηταί τις πᾶσι τοῖς τοῦ κόσμου, οὐ δύναται γενέσθαι μοναχός. Καὶ εἶπον αὐτοῖς· Ἐγὼ ἀσθενής εἰμι καὶ οὐ δύναμαι ὡς ὑμεῖς. Καὶ εἶπόν μοι καὶ αὐτοί· Καὶ ἐὰν οὐ δύνασαι ὡς ἡμεῖς, κάθου εἰς τὸ κελλίον σου καὶ κλαῖε τὰς ἁμαρτίας σου.

Καὶ ἠρώτησα αὐτούς· Ὅτε γίνεται χειμών, οὐ ῥιγᾶτε; Καὶ ὅτε γίνεται καῦμα, οὐ καίεται τὰ σώματα ὑμῶν; Οἱ δὲ εἶπον· Ὁ Θεὸς ἐποίησεν ἡμῖν τὴν οἰκονομίαν ταύτην, καὶ οὔτε τῷ χειμῶνι ῥιγῶμεν οὔτε ἐν τῷ θέρει τὸ καῦμα ἡμᾶς ἀδικεῖ.

---

3. Πρέπει νά ἐννοεῖ ἐδῶ τά νερά τοῦ ποταμοῦ Νείλου, στά ὁποῖα καί

βώ. Τοῦ λένε οἱ Γέροντες: «Πάτερ, πές ἕνα λόγο στούς ἀδελφούς». Ἐκεῖνος εἶπε: «Ἐγώ δέν ἔχω γίνει ἀκόμη μοναχός ἀλλά εἶδα μοναχούς. Κάποτε ἐνῶ ἔμενα στό κελί μου στή Σκήτη, μέ ἐνόχλησαν οἱ λογισμοί: Πήγαινε στήν ἔρημο καί πρόσεξε τί θά δεῖς ἐκεῖ. Πέντε χρόνια πολεμοῦσα τόν λογισμό αὐτόν, μέ τή σκέψη μήπως εἶναι ἀπό τούς δαίμονες. Καθώς ὅμως ἐπέμενε ὁ λογισμός, βγῆκα στήν ἔρημο.

Ἐκεῖ βρῆκα μιά λίμνη μ' ἕνα νησί στή μέση. Τά ζῶα τῆς ἐρήμου ἦρθαν νά πιοῦν νερό ἀπ' αὐτήν. Ἀνάμεσά τους βλέπω δυό ἀνθρώπους γυμνούς. Δείλιασα ὁλόκληρος, γιατί νόμισα ὅτι εἶναι πνεύματα. Αὐτοί μόλις μέ εἶδαν φοβισμένο, μοῦ φώναξαν: "Μή φοβᾶσαι· κι ἐμεῖς εἴμαστε ἄνθρωποι". Τούς ρώτησα: "Ἀπό ποῦ εἴσαστε καί πῶς ἤρθατε σ' αὐτή τήν ἔρημο;" "Ἀπό κοινόβιο εἴμαστε –ἀπάντησαν– ἀλλά συμφωνήσαμε μεταξύ μας καί ἤρθαμε ἐδῶ, νά, σαράντα χρόνια τώρα. Ὁ ἕνας εἶναι Αἰγύπτιος, ὁ ἄλλος ἀπό τή Λιβύη".

Μέ ρώτησαν καί κεῖνοι πῶς εἶναι ὁ κόσμος κι ἄν ἔρχεται τό νερό[3] στήν ἐποχή του κι ἄν οἱ ἄνθρωποι ἔχουν ἀφθονία ἀγαθῶν. "Ναί" τούς εἶπα καί τούς ρώτησα κι ἐγώ: "Πῶς μπορῶ νά γίνω μοναχός;" Καί μοῦ ἀπαντοῦν: "Ἄν κανείς δέν ἀπαρνηθεῖ ὅλα τά τοῦ κόσμου, δέν μπορεῖ νά γίνει μοναχός". "Ἐγώ εἶμαι ἀδύναμος –τούς εἶπα– καί δέν μπορῶ νά κάνω ὅπως ἐσεῖς". "Ἄν δέν μπορεῖς –μοῦ λένε– σάν ἐμᾶς, τότε νά κάθεσαι στό κελί σου καί νά κλαῖς τίς ἁμαρτίες σου".

Ἔπειτα τούς ρώτησα: "Ὅταν ἔρχεται κακοκαιρία δέν κρυώνετε; Καί ὅταν εἶναι καύσωνας, δέν καίγονται τά σώματά σας;" "Ὁ Θεός –ἀπάντησαν– οἰκονόμησε τά πράγματα γιά μᾶς ἔτσι, πού οὔτε στό κρύο τρέμουμε οὔτε τό καλοκαίρι ὁ καύσωνας μᾶς βλάπτει"».

ὀφείλαν τή μεγάλη παραγωγή καί ἀφθονία τῶν γεωργικῶν προϊόντων στήν Αἴγυπτο.

Διὰ τοῦτο εἶπον ὑμῖν ὅτι οὔπω γέγονα μοναχός, ἀλλ᾽ εἶδον μοναχούς. Συγχωρήσατέ μοι, ἀδελφοί.

4. Διηγήσατο ὁ ἀββᾶς Βιτίμιος ὅτι ἔλεγεν ὁ ἀββᾶς Μακάριος· Καθημένου μού ποτε ἐν Σκήτει κατέβησαν δύο νεώτεροι ξενικοὶ ἐκεῖ. Καὶ ὁ μὲν εἷς εἶχε γένειον, ὁ δὲ ἄλλος ἀρχὴν βάλλων γενείου. Καὶ ἦλθον πρός με λέγοντες· Ποῦ ἐστιν ἡ κέλλα τοῦ ἀββᾶ Μακαρίου; Κἀγὼ εἶπον· Τί θέλετε αὐτόν; Καὶ λέγουσιν· Ἀκούοντες τὰ περὶ αὐτοῦ καὶ τῆς Σκήτεως ἤλθομεν ἰδεῖν αὐτόν. Λέγω αὐτοῖς· Ἐγώ εἰμι. Καὶ ἔβαλον μετάνοιαν λέγοντες· Ὧδε θέλομεν μεῖναι. Ἐγὼ δὲ βλέπων αὐτοὺς τρυφεροὺς καὶ ὡς ἀπὸ πλούτου λέγω αὐτοῖς· Οὐ δύνασθε καθίσαι ὧδε. Καὶ λέγει ὁ μειζότερος· Ἐὰν μὴ δυνάμεθα καθίσαι ὧδε, ὑπάγομεν ἀλλαχοῦ.

Λέγω τῷ λογισμῷ μου· Διατί διώκω αὐτούς, καὶ σκανδαλίζονται; Ὁ κόπος ποιεῖ αὐτοὺς δι᾽ ἑαυτῶν φυγεῖν. Καὶ λέγω αὐτοῖς· Δεῦτε, ποιήσατε ἑαυτοῖς κελλίον, εἰ δύνασθε. Καὶ λέγουσι· Δεῖξον ἡμῖν τόπον, καὶ ποιοῦμεν. Ἔδωκε δὲ αὐτοῖς ὁ Γέρων πέλεκυν καὶ ἀναβολίδιον μεστὸν ψωμίων καὶ ἅλας. Ἔδειξε δὲ αὐτοῖς καὶ πέτραν σκληρὰν λέγων· Λατομήσατε ὧδε καὶ φέρετε ξύλα ἐκ τοῦ Ἕλους. Καὶ στεγάσαντες καθίσατε.

Ἐνόμιζον δὲ ἐγώ, φησίν, ὅτι μέλλουσι διὰ τὸν κόπον ἀναχωρεῖν. Ἠρώτων δέ με· Τί ἐργάζονται ὧδε; Λέγω αὐτοῖς· Τὴν σειράν. Καὶ λαμβάνω βαΐα ἐκ τοῦ Ἕλους καὶ δεικνύω αὐτοῖς τὴν ἀρχὴν τῆς σειρᾶς καὶ πῶς ῥάπτειν δεῖ. Καὶ εἶπον· Ποιεῖτε σπυρίδια καὶ παρέχετε τοῖς φύλαξι, καὶ φέρουσιν ὑμῖν ψωμία.

Λοιπὸν οὖν ἐγὼ ἀνεχώρησα, αὐτοὶ δὲ μεθ᾽ ὑπομονῆς πάντα ἐποίησαν ὅσα εἶπον αὐτοῖς καὶ οὐ παρέβαλόν μοι ἐπὶ

4. Σειρά: Βλ. κεφ. ΙΕ΄, ἀπόφθ. 65, ὑποσημ. 45, σελ. 58.

Ὁ ἀββᾶς συμπλήρωσε: «Γι᾽ αὐτό, ἀδελφοί, σᾶς εἶπα ὅτι δέν ἔχω γίνει ἀκόμη μοναχός ἀλλά γνώρισα μοναχούς. Συγχωρῆστε με, ἀδελφοί».

4. Ὁ ἀββᾶς Βιτίμιος διηγήθηκε ὅτι ὁ ἀββᾶς Μακάριος εἶπε τά παρακάτω: «Κάποτε ὅταν ζοῦσα στή Σκήτη, ἦρθαν ἐκεῖ δύο νεαροί ἀπό ξένη χώρα. Ὁ ἕνας εἶχε γένια. Ὁ ἄλλος μόλις ἔβγαζε. Μέ πλησίασαν καί μοῦ λένε: "Ποῦ βρίσκεται τό κελί τοῦ ἀββᾶ Μακαρίου;" "Τί τόν θέλετε;" τούς ρώτησα. Καί εἶπαν: "Ἀκοῦμε γι᾽ αὐτόν καί γιά τή Σκήτη κι ἤρθαμε νά τόν γνωρίσουμε". "Ἐγώ εἶμαι" τούς λέω. Ἔβαλαν μετάνοια λέγοντας: "Θέλουμε νά μείνουμε ἐδῶ". Ἐγώ ἐπειδή τούς εἶδα σάν καλομαθημένους καί ἀπό πλούσια οἰκογένεια, τούς εἶπα: "Δέν μπορεῖτε νά μείνετε ἐδῶ". Καί λέει ὁ μεγαλύτερος: "Ἄν δέν μποροῦμε νά μείνουμε ἐδῶ, πηγαίνουμε ἀλλοῦ".

Λέω στόν λογισμό μου: "Γιατί τούς διώχνω καί σκανδαλίζονται; Ὁ κόπος θά τούς κάνει νά φύγουν ἀπό μόνοι τους". Τούς εἶπα λοιπόν: "Ἐλᾶτε, κάντε, ἄν μπορεῖτε, ἕνα κελί γιά τόν ἑαυτό σας". "Δεῖξε μας –ἀποκρίθηκαν– ἕναν τόπο καί θά κάνουμε". Ὁ Γέροντας τούς ἔδωσε ἕνα τσεκούρι κι ἕναν ντουρβά γεμάτο μέ ψωμί καθώς καί ἁλάτι. Τούς ἔδειξε καί ἕνα βράχο σκληρό. Τούς λέει: "Κόψτε πέτρες ἐδῶ, κουβαλῆστε ξύλα ἀπό τό Ἕλος, σκεπάστε μέ στέγη τό καλύβι καί μείνετε μέσα".

Νόμιζα ἐγώ –λέει– ὅτι ἐξαιτίας τοῦ κόπου θά φύγουν. Καί μέ ρωτοῦν: "Τί ἐργόχειρο ἐργάζονται ἐδῶ;" "Τή σειρά[4]" τούς εἶπα. Παίρνω λοιπόν βάϊα ἀπό τόν βάλτο, τούς δείχνω τήν ἀρχή τῆς σειρᾶς καί πῶς πρέπει νά κάνουν τή ραφή. Καί τούς εἶπα: "Θά κάνετε μικρά καλάθια, θά τά δίνετε στούς ἐπιστάτες κι ἐκεῖνοι θά σᾶς φέρνουν ψωμιά".

Ἐγώ ἔφυγα. Αὐτοί μέ ὑπομονή ἔκαναν ὅλα ὅσα τούς εἶπα, καί δέν ἦρθαν νά μέ δοῦν τρία χρόνια. Παρέμεινα

τρία ἔτη. Καὶ ἔμεινα πολεμῶν τοῖς λογισμοῖς λέγων· Τίς ἄρα ἔσται ἡ ἐργασία αὐτῶν; ὅτι οὐκ ἦλθον ἐρωτῆσαι λογισμόν. Οἱ ἀπὸ μήκοθεν ἔρχονται πρός με, καὶ οὗτοι οἱ ἐγγὺς οὐκ ἦλθον, οὔτε δὲ πρὸς ἄλλον ὑπῆγον, εἰ μὴ μόνον εἰς τὴν ἐκκλησίαν σιωπῶντες λαβεῖν τὴν προσφοράν. Καὶ εὐξάμην τῷ Θεῷ νηστεύσας τὴν ἑβδομάδα, ἵνα δείξῃ μοι τὴν ἐργασίαν αὐτῶν. Ἀναστὰς δὲ μετὰ τὴν ἑβδομάδα ἀπῆλθον πρὸς αὐτοὺς ἰδεῖν πῶς κάθηνται. Καὶ κρούσαντός μου ἀνέῳξαν καὶ ἠσπάσαντό με σιωπῶντες. Καὶ ποιήσας εὐχὴν ἐκάθισα. Νεύσας δὲ ὁ μείζων τῷ μικροτέρῳ ἐξελθεῖν ἐκάθισε πλέκειν τὴν σειρὰν λαλήσας μηδέν.

Καὶ τῇ ὥρᾳ τῆς ἐνάτης ἔκρουσε, καὶ ἦλθεν ὁ νεώτερος καὶ ἐποίησε μικρὸν ἕψημα καὶ παρέθηκε τράπεζαν νεύσαντος αὐτῷ τοῦ μειζοτέρου. Καὶ ἔθηκεν εἰς αὐτὴν τρεῖς παξαμάδας· καὶ ἔστη σιωπῶν. Ἐγὼ δὲ εἶπον· Ἐγείρεσθε, φάγωμεν. Καὶ ἀναστάντες ἐφάγομεν. Καὶ ἤνεγκε τὸ βαυκάλιον, καὶ ἐπίομεν.

Ὡς δὲ ἐγένετο ἑσπέρα, λέγουσί μοι· Ὑπάγεις; Ἐγὼ δὲ εἶπον· Οὐχί, ἀλλ' ὧδε κοιμῶμαι. Καὶ ἔθηκάν μοι ψιαθίον παρὰ μέρος. Καὶ ἦραν τὰς ζώνας αὐτῶν καὶ τοὺς ἀναλάβους. Καὶ ἔθηκαν ἑαυτοὺς ὁμοῦ εἰς τὸ ψιαθίον ἔμπροσθέν μου. Ὡς δὲ ἔθηκαν ἑαυτούς, εὐξάμην τῷ Θεῷ, ἵνα μοι ἀποκαλύψῃ τὴν ἐργασίαν αὐτῶν.

Καὶ ἀνεῴχθη ἡ στέγη, καὶ ἐγένετο φῶς ὡς ἡμέρα. Αὐτοὶ δὲ οὐκ ἐθεώρουν τὸ φῶς. Καὶ ὡς ἐνόμιζον ὅτι κοιμῶμαι, νύσσει ὁ μείζων τὸν μικρότερον εἰς τὴν πλευράν, καὶ ἐγείρονται καὶ ζωννύουσιν ἑαυτοὺς καὶ ἐκτείνουσι τὰς χεῖρας αὐτῶν εἰς τὸν οὐρανόν. Καὶ ἐθεώρουν αὐτούς, αὐτοὶ δὲ οὐκ ἐθεώρουν με. Καὶ εἶδον τοὺς δαίμονας ὥσπερ μυίας ἐρχομένους ἐπὶ τὸν μικρότερον. Καὶ οἱ μὲν ἤρχοντο καθίσαι εἰς τὸ

5. Ἀνάλαβος: εἶναι τό πολυσταύρι πού φοροῦν οἱ μοναχοί ἀπό τούς

πολεμώντας μέ τούς λογισμούς: "Ἄραγε ποιά θά εἶναι ἡ ἐργασία τους; Γιατί δέν ἦρθαν νά ρωτήσουν σχετικά μέ τούς λογισμούς. Οἱ ἀπό μακριά ἔρχονται σ' ἐμένα καί αὐτοί πού εἶναι κοντά δέν ἔρχονται. Οὔτε σέ ἄλλον πῆγαν, παρά μόνον ἔρχονται στήν ἐκκλησία σιωπηλά νά κοινωνήσουν". Κάνοντας νηστεία μιά ἑβδομάδα προσευχήθηκα στόν Θεό νά μοῦ φανερώσει τήν ἐργασία τους. Μέ τό τέλος τῆς ἑβδομάδας σηκώθηκα καί πῆγα νά δῶ ποιά εἶναι ἡ μοναχική τους ζωή. Σάν χτύπησα μοῦ ἄνοιξαν καί μέ χαιρέτησαν σιωπηλοί. Ἔκανα εὐχή καί κάθισα. Ὁ μεγαλύτερος, ἀφοῦ ἔκανε νόημα στόν μικρότερο νά βγεῖ, κάθισε νά πλέκει τή σειρά, χωρίς νά μιλάει καθόλου.

Κατά τίς τρεῖς τό μεσημέρι χτύπησε. Ἦρθε ὁ νεώτερος, ἔκανε λίγο βρασμένο φαγητό, ἑτοίμασε τραπέζι ὕστερα ἀπό νεῦμα πού τοῦ ἔκανε ὁ μεγαλύτερος κι ἔβαλε ἐπάνω τρία παξιμάδια. Ἔπειτα στάθηκε σιωπώντας. Ἐγώ εἶπα: "Σηκωθεῖτε νά φᾶμε". Σηκωθήκαμε καί φάγαμε. Ἔφερε καί τό κανάτι μέ τό νερό καί ἤπιαμε.

Ὅταν βράδιασε, μέ ρωτοῦν: "Θά φύγεις;" "Ὄχι –ἀπάντησα– ἐδῶ θά κοιμηθῶ". Μοῦ ἔστρωσαν παράμερα ἕνα ψαθί. Ἔβγαλαν τίς ζῶνες τους καί τούς ἀναλάβους[5] καί ξάπλωσαν μαζί στήν ψάθα, πού ἔβαλαν μπροστά μου. Ὅταν πλάγιασαν, προσευχήθηκα στόν Θεό νά μοῦ ἀποκαλύψει τήν ἐργασία τους.

Ἄνοιξε τότε ἡ στέγη κι ἔγινε φῶς σάν νά 'ταν μέρα. Αὐτοί δέν ἔβλεπαν τό φῶς. Καθώς νόμιζαν ὅτι κοιμᾶμαι, χτυπάει ἁπαλά ὁ μεγαλύτερος τόν μικρότερο στό πλευρό. Σηκώνονται καί φοροῦν τίς ζῶνες κι ἁπλώνουν τά χέρια στόν οὐρανό. Τούς ἔβλεπα, αὐτοί ὅμως δέν μ' ἔβλεπαν. Εἶδα τούς δαίμονες σάν μύγες νά ἔρχονται στόν μικρότερο. Ἄλλοι

ὤμους σταυροειδῶς.

στόμα αὐτοῦ, οἱ δὲ εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ. Καὶ εἶδον ἄγγελον Κυρίου κατέχοντα ῥομφαίαν πυρὸς καὶ περιχαρακοῦντα αὐτὸν καὶ διώκοντα τοὺς δαίμονας ἀπ᾽ αὐτοῦ. Τῷ δὲ μειζοτέρῳ οὐκ ἠδύναντο προσεγγίσαι.

Καὶ ὡς περὶ τὴν πρωίαν ἔθηκαν ἑαυτούς. Κἀγὼ ἐποίησα ἐμαυτὸν ὅτι διυπνίσθην, καὶ αὐτοὶ ὡσαύτως. Εἶπε δέ μοι ὁ μείζων τὸν λόγον τοῦτον μόνον· Θέλεις βάλωμεν τοὺς δώδεκα ψαλμούς; Λέγω· Ναί. Ψάλλει ὁ μικρότερος πέντε ψαλμοὺς ἀπὸ ἓξ στίχων καὶ ἓν ἀλληλούϊα. Καὶ κατὰ στίχον ἐξήρχετο λαμπὰς πυρὸς ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἀνέβαινεν εἰς τὸν οὐρανόν. Ὡσαύτως καὶ ὁ μείζων, ὅτε ἤνοιγε τὸ στόμα αὐτοῦ ψάλλων, ὡς σχοινίον πυρὸς ἐξήρχετο καὶ ἔφθανεν ἕως τοῦ οὐρανοῦ. Κἀγὼ εἶπον μικρὸν ἀπὸ στήθους.

Καὶ ἐξελθὼν λέγω· Εὔξασθε περὶ ἐμοῦ. Αὐτοὶ δὲ ἔβαλον μετάνοιαν σιωπῶντες. Ἔμαθον οὖν ὅτι ὁ μείζων τέλειός ἐστι, τῷ δὲ μικροτέρῳ ἀκμὴν πολεμεῖ ὁ ἐχθρός. Μετὰ δὲ μικρὰς ἡμέρας ἐκοιμήθη ὁ μείζων ἀδελφὸς καὶ τῇ τρίτῃ ἡμέρᾳ ὁ μικρότερος. Καὶ ὅτε παρέβαλλόν τινες τῶν Πατέρων πρὸς τὸν ἀββᾶν Μακάριον, ἐλάμβανεν αὐτοὺς εἰς τὴν κέλλαν αὐτῶν λέγων· Δεῦτε, ἴδετε τὸ μαρτύριον τῶν μικρῶν ξένων.

5. Εὐχομένου ποτὲ τοῦ ἀββᾶ Μακαρίου ἐν τῷ κελλίῳ αὐτοῦ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Μακάριε, οὔπω ἔφθασας εἰς τὰ μέτρα τῶνδε τῶν γυναικῶν τῆσδε τῆς πόλεως. Ἀναστὰς δὲ πρωὶ ὁ Γέρων καὶ λαβὼν τὴν βαΐνην ῥάβδον ἤρξατο τὴν ὁδοιπορίαν ποιεῖσθαι ἐπὶ τὴν πόλιν.

Φθάσας οὖν ἐν αὐτῇ καὶ γνοὺς τὸν τόπον ἔκρουσε πρὸς τὴν θύραν. Ἐξελθοῦσα δὲ ἡ μία ἐδέξατο αὐτὸν εἰς τὸν οἶκον. Καθεσθέντος δὲ αὐτοῦ μικρὸν ἦλθε καὶ ἡ ἄλλη. Καὶ

πήγαιναν στό στόμα του καί ἄλλοι στά μάτια του. Εἶδα καί ἄγγελο Κυρίου μέ πύρινη ρομφαία στό χέρι νά τόν περιφρουρεῖ καί νά ἀπομακρύνει ἀπ᾽ αὐτόν τούς δαίμονες. Στόν μεγαλύτερο δέν μποροῦσαν νά πλησιάσουν.


Σχεδόν κατά τά ξημερώματα ἔγειραν στήν ψάθα. Ἐγώ προσποιήθηκα ὅτι μόλις εἶχα ξυπνήσει· τό ἴδιο ἔκαναν κι αὐτοί. Μοῦ λέει ὁ μεγαλύτερος αὐτό μόνο: "Θέλεις νά ψάλουμε τούς δώδεκα ψαλμούς;" Λέω: "Ναί". Ψάλλει ὁ μικρότερος πέντε ψαλμούς ἀπό ἕξι στίχους καί ἕνα "ἀλληλούια". Σέ κάθε στίχο πύρινη λαμπάδα ἔβγαινε ἀπό τό στόμα του κι ἀνέβαινε στόν οὐρανό. Τό ἴδιο κι ὅταν ὁ μεγαλύτερος ἄνοιγε τό στόμα του νά ψάλλει, ἔβγαινε σάν σχοινί ἀπό φωτιά κι ἔφθανε μέχρι τόν οὐρανό. Εἶπα κι ἐγώ κάτι λίγα ἀπό στήθους.

Ὅταν ἔφευγα, εἶπα: "Εὐχηθεῖτε γιά μένα". Αὐτοί ἔβαλαν μετάνοια σιωπηλοί. Πληροφορήθηκα λοιπόν ὅτι ὁ μεγαλύτερος εἶναι τέλειος, ἐνῶ τόν μικρότερο ἀκόμη τόν πολεμάει ὁ ἐχθρός. Ὕστερα ἀπό λίγες μέρες κοιμήθηκε ὁ μεγαλύτερος ἀδελφός καί τήν τρίτη μέρα ὁ μικρότερος».

Καί κάθε φορά πού πήγαιναν Πατέρες στόν ἀββᾶ Μακάριο, τούς ἔπαιρνε καί τούς πήγαινε στό κελί αὐτῶν καί τούς ἔλεγε: «Ἐλᾶτε νά δεῖτε τόν τόπο τοῦ μαρτυρίου τῶν νεαρῶν ξένων».

5. Κάποτε τήν ὥρα πού προσευχόταν ὁ ἀββᾶς Μακάριος στό κελί του, ἄκουσε μιά φωνή πού ἔλεγε: «Μακάριε, δέν ἔφθασες ἀκόμη στά μέτρα τῶν τάδε γυναικῶν αὐτῆς ἐδῶ τῆς πόλης». Τό πρωί ὁ Γέροντας σηκώθηκε, πῆρε τό βαΐτικο ραβδί του κι ἄρχισε νά ὁδοιπορεῖ γιά τήν πόλη.

Ὅταν ἔφτασε στήν πόλη καί βρῆκε τό σπίτι, χτύπησε τήν πόρτα. Βγῆκε ἡ μία καί τόν ὑποδέχτηκε στό σπίτι. Ἀφοῦ κάθισε γιά λίγο, ἦρθε καί ἡ ἄλλη. Τίς κάλεσε, κι ἐκεῖνες ἦρθαν



Ἡ Δαμασκός

«...ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ, καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ» (Πράξ. 9, 3)

ἐκάλεσεν αὐτάς. Αἱ δὲ ἐλθοῦσαι ἐκάθισαν σὺν αὐτῷ. Καὶ λέγει πρὸς αὐτὰς ὁ Γέρων· Δι᾽ ὑμᾶς τὴν πορείαν καὶ τὸν τοσοῦτον κάματον ὑπέμεινα ἐκ τῆς ἐρήμου παραγενόμενος. Εἴπατε οὖν μοι τὴν ἐργασίαν ὑμῶν, πῶς ἐστιν.

Αἱ δὲ λέγουσιν αὐτῷ· Πίστευσον ἡμῖν, πάτερ· οὐκ ἐσμὲν ἐκτὸς τῆς κοίτης τοῦ ἀνδρὸς ἑκάστη ἡμῶν τῇ ἡμέρᾳ ταύτῃ. Ποίαν οὖν ἐργασίαν ζητεῖς παρ᾽ ἡμῶν; Μετανοήσας οὖν αὐτοῖς ὁ Γέρων παρεκάλει λέγων· Φανερώσατέ μοι τὴν πρᾶξιν ἑαυτῶν. Τότε λέγουσιν αὐτῷ· Ἡμεῖς κατὰ τὸν κόσμον ξέναι ἐσμὲν ἀλλήλαις. Ἔτυχε δὲ ἡμᾶς ζευχθῆναι δύο ἀδελφοῖς σαρκικοῖς. Καὶ ἰδοὺ δεκαπέντε ἔτη σήμερον ἐν τῇ οἰκίᾳ ταύτῃ οἰκοῦμεν καὶ οὐκ οἴδαμεν εἴ ποτε μάχην ἐποιήσαμεν ἢ αἰσχρὸν λόγον ἐλαλήσαμεν. Ἦλθε δὲ εἰς τὸν λογισμὸν ἡμῶν τοὺς μὲν ἄνδρας καταλιπεῖν, εἰσελθεῖν δὲ εἰς τὸ τῶν παρθένων τάγμα. Καὶ πολλὰ παρακληθέντες παρ᾽ ἡμῶν οἱ ἄνδρες ἀπολῦσαι ἡμᾶς οὐκ ἐπείσθησαν. Ἀποτυχοῦσαι οὖν τοῦ σκοποῦ τούτου ἐθέμεθα διαθήκην μεταξὺ ἡμῶν καὶ τοῦ Θεοῦ, ὥστε μέχρι θανάτου μὴ λαλῆσαι διὰ στόματος ἡμῶν λόγον κοσμικόν.

Ἀκούσας δὲ ὁ ἀββᾶς Μακάριος εἶπεν· Ἐν ἀληθείᾳ οὐκ ἔστι παρθένος ἢ ὕπανδρος ἢ μοναχὸς ἢ κοσμικός, ἀλλ᾽ ὁ Θεὸς προαίρεσιν ζητεῖ καὶ τὸ Ἅγιον Πνεῦμα πᾶσι παρέχει.

6. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν διὰ τὸν ἀββᾶν Παμβὼ ὅτι εἶπε περὶ αὐτοῦ ὁ ἀββᾶς Ἀντώνιος ὅτι ἐκ τοῦ φοβεῖσθαι τὸν Θεὸν ἐποίησε τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖν ἐν αὐτῷ.

7. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι· Πολλοὶ τῶν Πατέρων ἡμῶν ἐγένοντο ἀνδρεῖοι εἰς τὴν ἄσκησιν, εἰς δὲ τὴν λεπτότητα τῶν λογισμῶν εἷς εἷς.

καί κάθισαν μαζί του. Τίς λέει ὁ Γέροντας: «Γιά σᾶς ἔκανα τόση πορεία καί ὑπέμεινα τόσο κόπο, ὥσπου νά φτάσω ἀπό τήν ἔρημο. Πέστε μου λοιπόν τήν ἐργασία σας· ποιά εἶναι;»

«Πάτερ –τοῦ λένε– πίστεψέ μας· δέν εἴμαστε ἡ καθεμιά μας ἔξω ἀπό τήν κλίνη τοῦ ἄνδρα της μέχρι σήμερα. Ποιά ἐργασία λοιπόν ζητᾶς ἀπό μᾶς;» Ὁ Γέροντας ἔβαλε μετάνοια καί τίς παρακαλοῦσε: «Φανερῶστε μου τό ἔργο σας». Τότε τοῦ λένε: «Ἐμεῖς κατά κόσμον εἴμαστε ξένες μεταξύ μας. Ἔτυχε ὅμως νά παντρευτοῦμε δύο ἀδελφούς κατά σάρκα. Καί νά, ἐδῶ καί δεκαπέντε χρόνια ὥς σήμερα κατοικοῦμε σ᾽ αὐτό τό σπίτι καί δέν ξέρουμε νά φιλονικήσαμε ποτέ ἤ νά ἀναφερθήκαμε σέ αἰσχρά πράγματα. Μάλιστα, ἦρθε στόν λογισμό μας νά ἀφήσουμε τούς ἄνδρες μας καί νά μποῦμε στό τάγμα τῶν μοναχῶν. Πολύ παρακαλέσαμε τούς ἄνδρες μας νά μᾶς ἐπιτρέψουν νά φύγουμε, ἀλλά δέν τούς πείσαμε. Ἔτσι, ἀφοῦ δέν πετύχαμε αὐτόν τόν σκοπό, κάναμε συμφωνία μεταξύ μας καί μέ τόν Θεό, μέχρι τόν θάνατό μας νά μή βγεῖ ἀπό τό στόμα μας κανένας κοσμικός λόγος».

Ὅταν τ᾽ ἄκουσε αὐτά ὁ ἀββᾶς Μακάριος, εἶπε: «Ἀληθινά· δέν ὑπάρχει παρθένα ἤ παντρεμένη ἤ μοναχός ἤ κοσμικός· ὁ Θεός τήν πρόθεση ζητάει καί δίνει τό Ἅγιο Πνεῦμα σέ ὅλους».

6. Ὁ ἀββᾶς Ποιμήν εἶπε ὅτι ὁ ἀββᾶς Ἀντώνιος εἶχε πεῖ γιά τόν ἀββᾶ Παμβώ ὅτι ἀπό τόν φόβο τοῦ Θεοῦ, πού εἶχε, ἔκανε τό Πνεῦμα τοῦ Θεοῦ νά κατοικεῖ μέσα του.

7. Εἶπε ὁ ἀββᾶς Ποιμήν: «Πολλοί ἀπό τούς Πατέρες μας ἔγιναν ἀνδρεῖοι στήν ἄσκηση, ἀλλά στή λεπτότητα[6] τῶν λογισμῶν ἐλάχιστοι».

6. Λεπτότης λογ.: Μέ τήν ἔννοια τῆς ἀκριβοῦς διακρίσεως τῶν λογισμῶν.

8. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι· Τρεῖς σωματικὰς πράξεις εἴδομεν τοῦ ἀββᾶ Παμβώ, ἀσιτίαν ἕως ὀψὲ καθ' ἑκάστην ἡμέραν καὶ σιωπὴν καὶ ἐργόχειρον.

9. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ποιμένος ὅτι, εἰ ἐκάθηντό τινες Γέροντες ἔμπροσθεν αὐτοῦ καὶ ἐλάλουν περὶ Γερόντων ἢ ὠνόμαζον τὸν ἀββᾶν Σισόην, ἔλεγεν· Ἄφετε περὶ τοῦ ἀββᾶ Σισόη· οὐ γὰρ ἔρχεται εἰς μέτρον διηγήματος τὰ περὶ αὐτοῦ.

10. Ἔλεγον περὶ τοῦ ἀββᾶ Παμβὼ ὅτι, ὡς ἔλαβε Μωυσῆς τὴν εἰκόνα τῆς δόξης τοῦ Ἀδάμ, ὅτε ἐδοξάσθη τὸ πρόσωπον αὐτοῦ, οὕτω καὶ τοῦ ἀββᾶ Παμβὼ ὡς ἀστραπὴ ἔλαμπε τὸ πρόσωπον, καὶ ἦν ὡς βασιλεὺς καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ. Τῆς αὐτῆς ἐργασίας ἦν καὶ ὁ ἀββᾶς Σιλουανὸς καὶ ὁ ἀββᾶς Σισόης.

11. Μέλλοντος τοῦ ἀββᾶ Ῥωμανοῦ τελευτᾶν συνήγοντο πρὸς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες αὐτῷ· Πῶς ὀφείλομεν διοικηθῆναι; Ὁ δὲ Γέρων εἶπεν· Οὐδέποτε οἶδα εἰπών τινι ὑμῶν ποιῆσαί τί ποτε, εἰ μὴ πρότερον ἔπεισα τὸν λογισμὸν μὴ ὀργισθῆναι, ἐὰν μὴ ποιήσῃ ὃ εἶπον γενέσθαι. Καὶ οὕτως ὅλον τὸν χρόνον ἡμῶν ᾠκήσαμεν μετ' εἰρήνης.

12. Ἐκάθητό ποτε ὁ ἀββᾶς Σισόης εἰς τὸ ὄρος τοῦ ἀββᾶ Ἀντωνίου. Καὶ χρονίσαντος τοῦ διακονητοῦ αὐτοῦ ἐλθεῖν πρὸς αὐτόν, ἕως μηνῶν δέκα οὐκ εἶδεν ἄνθρωπον. Περιπατῶν δὲ ἐν τῷ ὄρει εὑρίσκει Φαρανίτην ἀγρεύοντα ἄγρια

7. Ἐξ. 34, 29-30 καί 34, 34-35. Πρβλ. Λουκ. 9, 29-32.

8. Ὁ ἴδιος εἶπε: «Τρεῖς σωματικές πράξεις εἴδαμε στόν ἀββᾶ Παμβώ: Ἀσιτία κάθε μέρα ὥς τό βράδυ, σιωπή καί ἐργόχειρο».

9. Ἔλεγαν γιά τόν ἀββᾶ Ποιμένα ὅτι ἄν κάθονταν μπροστά του κάποιοι Γέροντες καί μιλοῦσαν γιά ἀββάδες ἤ ἀνέφεραν τό ὄνομα τοῦ ἀββᾶ Σισόη, τούς ἔλεγε: «Ἀφῆστε τόν ἀββᾶ Σισόη· τά σχετικά μ' αὐτόν ξεπερνοῦν κάθε διήγηση».

10. Ἔλεγαν γιά τόν ἀββᾶ Παμβώ ὅτι ὅπως ὁ Μωυσῆς, ὅταν ἔλαμψε μέ τό Φῶς τοῦ Θεοῦ, τό πρόσωπό του[7] πῆρε τήν εἰκόνα τῆς δόξας τοῦ Ἀδάμ πρίν ἀπό τήν πτώση, ἔτσι καί τό πρόσωπο τοῦ ἀββᾶ Παμβώ ἔλαμπε σάν ἀστραπή, καί ὁ ἴδιος ἦταν σάν βασιλιάς καθισμένος στόν θρόνο του. Τῶν ἴδιων μέτρων ἦταν καί ὁ ἀββᾶς Σιλουανός καί ὁ ἀββᾶς Σισόης.

11. Ὅταν ἦταν νά πεθάνει ὁ ἀββᾶς Ρωμανός, συγκεντρώθηκαν γύρω του οἱ μαθηταί του καί τόν ρωτοῦσαν: «Πῶς πρέπει νά διοικηθοῦμε;» Ὁ Γέροντας ἀπάντησε: «Ποτέ δέν θυμᾶμαι νά εἶπα σέ κάποιον ἀπό σᾶς νά κάνει κάτι, παρά ἀφοῦ πιό μπροστά ἔπειθα τόν λογισμό μου νά μήν ὀργισθῶ, ἄν δέν τό κάνει αὐτό πού εἶχα πεῖ νά γίνει. Μ' αὐτόν τόν τρόπο ὅλο μας τόν καιρό ζήσαμε εἰρηνικά».

12. Κάποτε ὁ ἀββᾶς Σισόης μόναζε στό ὄρος τοῦ ἀββᾶ Ἀντωνίου. Ὁ διακονητής του καθυστέρησε νά ἔρθει σ' αὐτόν κι ἔτσι δέν εἶχε δεῖ ἄνθρωπο γιά δέκα περίπου μῆνες. Μιά μέρα, καθώς περπατοῦσε στό ὄρος, συναντάει ἕναν Φαρανίτη[8] πού κυνηγοῦσε ἄγρια ζῶα. Τόν ρωτάει ὁ Γέρον-

8. Κάτοικος τῆς Φαράν Αἰγύπτου.

ζῶα. Καὶ λέγει αὐτῷ ὁ Γέρων· Πόθεν ἔρχῃ καὶ πόσον χρόνον ἔχεις ὧδε; Ὁ δὲ ἔφη· Φύσει, ἀββᾶ, ἔχω ἕνδεκα μῆνας ἐν τῷ ὄρει τούτῳ καὶ οὐκ εἶδον ἄνθρωπον, εἰ μὴ σέ.

Ἀκούσας δὲ ὁ Γέρων ταῦτα εἰσελθὼν εἰς τὸ κελλίον ἔτυπτεν ἑαυτὸν λέγων· Ἰδού, Σισόη, ἐνόμισάς τί ποτε πεποιηκέναι καὶ οὐδὲ ὡς ὁ κοσμικὸς οὗτος ἀκμὴν πεποίηκας.

13. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σισόη ὅτι, ὅτε ἔμελλε τελευτᾶν, καθημένων τῶν Πατέρων πρὸς αὐτόν, ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος. Καὶ λέγει αὐτοῖς· Ἰδού, ὁ ἀββᾶς Ἀντώνιος ἦλθε. Καὶ μετὰ μικρὸν λέγει· Ἰδού, ὁ χορὸς τῶν προφητῶν ἦλθε. Καὶ πάλιν τὸ πρόσωπον αὐτοῦ περισσῶς ἔλαμψε. Καὶ εἶπεν· Ἰδού, ὁ χορὸς τῶν ἀποστόλων ἦλθε. Καὶ ἐδιπλασίασε το πρόσωπον αὐτοῦ πάλιν. Καὶ ἰδοὺ αὐτὸς ὡς μετά τινων λαλῶν.

Καὶ ἐδεήθησαν αὐτοῦ οἱ Γέροντες λέγοντες· Μετὰ τίνος ὁμιλεῖς, πάτερ; Ὁ δὲ ἔφη· Ἰδού, ἄγγελοι ἦλθον λαβεῖν με. Καὶ παρακαλῶ, ἵνα ἀφεθῶ μετανοῆσαι μικρόν. Καὶ λέγουσιν αὐτῷ οἱ Γέροντες· Οὐ χρείαν ἔχεις μετανοῆσαι, πάτερ. Εἶπε δὲ αὐτοῖς ὁ Γέρων· Φύσει, οὐκ οἶδα ἐμαυτὸν ὅτι ἔβαλον ἀρχήν. Καὶ ἔμαθον πάντες ὅτι τέλειός ἐστι.

Καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ ἐφοβήθησαν πάντες. Καὶ λέγει αὐτοῖς· Βλέπετε, ὁ Κύριος ἦλθε καὶ λέγει· Φέρετέ μοι τὸ σκεῦος τῆς ἐρήμου. Καὶ εὐθέως παρέδωκε τὸ πνεῦμα, καὶ ἐγένετο ὡς ἀστραπή, καὶ ἐπλήσθη ὅλος ὁ οἶκος εὐωδίας.

14. Ὁ αὐτὸς ἀββᾶς Σισόης καθήμενος εἰς τὸ κελλίον πάντοτε τὴν θύραν ἔκλειεν. Εἰ ἠρώτησέ τις τὸν ἀββᾶν Σισόην περὶ τοῦ ἀββᾶ Παμβώ, ἔλεγε· Παμβὼ μέγας, μέγας ἦν ἐν τοῖς ἔργοις αὐτοῦ.

τας: «Ἀπό ποῦ ἔρχεσαι καί πόσο καιρό ἔχεις ἐδῶ;» Ἀπάντησε: «Ἀββᾶ, ἀλήθεια ἔχω ἕντεκα μῆνες σ' αὐτό τό βουνό καί δέν εἶδα ἄνθρωπο ἐκτός ἀπό σένα».

Ὅταν τ' ἄκουσε αὐτό ὁ Γέροντας, μπῆκε στό κελί του, χτυποῦσε τό στῆθος του κι ἔλεγε: «Ὁρίστε, Σισόη· νόμισες ὅτι τέλος πάντων κάτι ἔχεις κάνει, ἀλλά ἀκόμη δέν ἔχεις καταφέρει οὔτε ὅ,τι αὐτός ὁ κοσμικός».

13. Διηγοῦνταν γιά τόν ἀββᾶ Σισόη ὅτι τήν ὥρα τοῦ θανάτου του, ἐνῶ κάθονταν ὁλόγυρά του οἱ Πατέρες, τό πρόσωπό του ἔλαμψε σάν τόν ἥλιο. Καί τούς λέει: «Νά, ἦρθε ὁ ἀββᾶς Ἀντώνιος». Ὕστερα ἀπό λίγο λέει: «Νά, ἦρθε ἡ χορεία τῶν προφητῶν». Πάλι τό πρόσωπό του ἔλαμψε περίσσια. Εἶπε: «Νά, ἦρθε ὁ χορός τῶν Ἀποστόλων». Κι ἔγινε δυό φορές λαμπρότερο τό πρόσωπό του καί φαινόταν σάν νά μιλοῦσε ὁ ἴδιος μέ κάποιους.

Οἱ Γέροντες τόν παρακάλεσαν: «Μέ ποιόν μιλᾶς, πάτερ;» «Νά –εἶπε ἐκεῖνος– ἄγγελοι ἦρθαν νά μέ πάρουν καί παρακαλῶ νά παραμείνω, γιά νά μετανοήσω λίγο». Τοῦ λένε τότε οἱ Γέροντες: «Πάτερ, δέν ἔχεις ἀνάγκη νά μετανοήσεις». Κι ὁ Γέροντας τούς εἶπε: «Ἀλήθεια λέω· δέν βλέπω στόν ἑαυτό μου νά ἔχω βάλει ἀρχή». Καί κατάλαβαν ὅλοι ὅτι ἔφθασε στήν τελειότητα.

Τό πρόσωπό του ἔλαμψε πάλι ὅπως ὁ ἥλιος καί ὅλοι φοβήθηκαν. Τούς λέει: «Βλέπετε· ὁ Κύριος ἦρθε καί λέει: Φέρτε σέ μένα τό σκεῦος τῆς ἐρήμου». Ἀμέσως παρέδωσε τό πνεῦμα, καί φάνηκε σάν νά ἄστραψε, καί ὅλο τό κελί γέμισε μέ εὐωδία.

14. Ὁ ἴδιος ὁ ἀββᾶς Σισόης ὅταν ἔμενε στό κελί του, πάντοτε ἔκλεινε τήν πόρτα. Κάθε φορά πού τόν ρωτοῦσε κάποιος γιά τόν ἀββᾶ Παμβώ, ἔλεγε: «Μέγας ὁ Παμβώ· μέγας ἦταν στά ἔργα του».

15. Εἰπέ τις τῶν Πατέρων ὅτι συνέτυχέ τις τῷ ἀββᾷ Σιλουανῷ· καὶ ἑωρακὼς αὐτοῦ τὸ πρόσωπον καὶ τὸ σῶμα ὡς ἀγγέλου λάμψαν ἔπεσεν ἐπὶ πρόσωπον. Ἔλεγε δὲ καὶ ἄλλους τινὰς ἐσχηκέναι τοῦτο τὸ χάρισμα.

16. Ἔλεγον περὶ τοῦ ἀββᾶ Σαρματᾶ ὅτι πολλάκις ἐλάμβανε τεσσαράκοντα ἡμέρας τῇ βουλῇ τοῦ ἀββᾶ Ποιμένος, καὶ ὡς οὐδὲν ἐπληροῦντο αἱ ἡμέραι ἐνώπιον αὐτοῦ. Ἦλθεν οὖν ὁ ἀββᾶς Ποιμὴν πρὸς αὐτὸν καὶ λέγει αὐτῷ· Εἰπέ μοι τί ἑώρακας ποιῶν τὸν τοσοῦτον κόπον. Ὁ δὲ πρὸς αὐτὸν ἔλεγεν· Οὐδὲν πλέον. Λέγει πρὸς αὐτὸν ὁ ἀββᾶς Ποιμήν· Οὐκ ἀφῶ σε, ἐὰν μή μοι εἴπῃς. Ὁ δὲ εἶπεν· Ἓν μόνον εἶδον, ὅτι ἐὰν εἴπω τῷ ὕπνῳ ὕπαγε, ὑπάγει· καὶ ἐὰν εἴπω ἐλθέ, ἔρχεται.

17. Ἔλεγεν ὁ ἀββᾶς Ματώης περὶ τοῦ ἀββᾶ Τιθόη ὅτι· Οὐχ εὑρίσκει ἄνθρωπος ἀνοῖξαι τὸ στόμα αὐτοῦ ἔν τινι πράγματι εἰς αὐτόν, ἀλλ' ὥσπερ τὸ καθαρὸν χρυσίον ἵσταται ἐν ζυγῷ, οὕτω καὶ ὁ ἀββᾶς Τιθόης.

18. Εἶπεν ὁ ἀββᾶς Φιλόρωμος ὅτι· Ἀφ' οὗ ἀνεγεννήθην δι' ὕδατος καὶ Πνεύματος μέχρι τῆς σήμερον, ἄρτον ἀλλότριον δωρεὰν οὐκ ἔφαγον, ἀλλ' ἐκ τῶν ἰδίων πόνων διακόσια νομίσματα ἐκ τοῦ ἔργου τῶν χειρῶν μου δέδωκα λελωβημένοις. Ἦν γὰρ καλλιγράφος πάνυ εὐφυής, ὃς τοῦ γράφειν οὐκ ἀνεχώρησεν ὀγδοηκοστόν που ἄγων ἔτος τῆς ἡλικίας καὶ μηδέποτε ἀποστὰς κατὰ νοῦν τοῦ Θεοῦ.

19. Εἶπεν ὁ ἀββᾶς Ψενθαῖσιος καὶ ὁ ἀββᾶς Σοῦρος καὶ Ψώιος ὅτι· Ἀκούοντες τῶν λόγων τοῦ πατρὸς ἡμῶν Παχωμίου μεγάλως ὠφελούμεθα εἰς ζῆλον ἀγαθῶν ἔργων διεγειρόμενοι. Ὁρῶντες δὲ αὐτοῦ καὶ σιωπῶντος τὴν πρᾶξιν λόγον οὖσαν, ἐθαυμάζομεν πρὸς ἀλλήλους λέγοντες ὅτι· ἐνομίζομεν

15. Ἕνας ἀπό τούς Πατέρες εἶπε ὅτι κάποιος συνάντησε τόν ἀββᾶ Σιλουανό καί ὅταν εἶδε τό πρόσωπό του καί τό σῶμα του ὅτι ἔλαμψε σάν ἀγγέλου, ἔπεσε μέ τό πρόσωπο στή γῆ. Ἔλεγε ἐπίσης ὅτι καί μερικοί ἄλλοι ἔχουν αὐτό τό χάρισμα.

16. Ἔλεγαν γιά τόν ἀββᾶ Σαρματᾶ ὅτι πολλές φορές ἔκανε ἄσκηση ἐπί σαράντα ἡμέρες σύμφωνα μέ τή γνώμη τοῦ ἀββᾶ Ποιμένα, καί περνοῦσαν οἱ μέρες σάν ἕνα τίποτε γι' αὐτόν. Ἦρθε ὁ ἀββᾶς Ποιμήν καί τοῦ λέει: «Πές μου τί ἔχεις κερδίσει κάνοντας τόσο κόπο». Ἐκεῖνος ἔλεγε: «Τίποτε περισσότερο». Τοῦ λέει πάλι ὁ ἀββᾶς: «Δέν θά σ' ἀφήσω, ἄν δέν μοῦ πεῖς». Ἐκεῖνος εἶπε: «Ἕνα μόνο εἶδα, ὅτι ἄν πῶ στόν ὕπνο "πήγαινε", πηγαίνει. Καί ἄν πῶ "ἔλα", ἔρχεται».

17. Ὁ ἀββᾶς Ματώης ἔλεγε γιά τόν ἀββᾶ Τιθόη: «Δέν μπορεῖ νά ἀνοίξει ἄνθρωπος τό στόμα του καί νά πεῖ κάτι σέ βάρος του, ἀλλά ὅπως τό καθαρό χρυσάφι στέκεται στή ζυγαριά μέ ἀκρίβεια, ἔτσι καί ὁ ἀββᾶς Τιθόης».

18. Ὁ ἀββᾶς Φιλόρωμος εἶπε: «Ἀπό τή στιγμή πού βαφτίστηκα μέχρι σήμερα δέν ἔφαγα δωρεάν ξένο ψωμί, ἀλλά ἐπίσης ἀπό τόν προσωπικό μου κόπο, δηλαδή ἀπό τό ἔργο τῶν χεριῶν μου ἔχω δώσει διακόσια νομίσματα σέ λεπρούς».

Ἦταν καλλιγράφος πολύ ἐπιδέξιος, πού δέν σταμάτησε νά ἀντιγράφει παρά τά ὀγδόντα του σχεδόν χρόνια, καί χωρίς ποτέ νά ἀπομακρύνει τόν νοῦ του ἀπό τόν Θεό.

19. Εἶπε ὁ ἀββᾶς Ψενθαῖσιος καί ὁ ἀββᾶς Σοῦρος καί Ψώιος: «Καθώς ἀκούγαμε τά λόγια τοῦ Πατέρα μας Παχωμίου, εἴχαμε μεγάλη ὠφέλεια, γιατί παρακινούμασταν σέ ζῆλο γιά καλά ἔργα. Ἀλλά βλέποντας τή ζωή του νά μᾶς μιλάει κι ὅταν σιωποῦσε, θαυμάζαμε καί λέγαμε μεταξύ μας:

πάντας τοὺς ἁγίους οὕτω πεποιῆσθαι ὑπὸ τοῦ Θεοῦ ἐκ κοιλίας μητρὸς αὐτῶν, ἁγίους καὶ ἀτρέπτους καὶ οὐχὶ αὐτεξουσίους, καὶ τοὺς ἁμαρτωλοὺς μὴ δυναμένους ζῆν εὐσεβῶς διὰ τὸ οὕτω κτισθῆναι αὐτούς. Ἄρτι δὲ βλέπομεν τὴν ἀγαθότητα τοῦ Θεοῦ φανερῶς ἐπὶ τοῦ πατρὸς ἡμῶν τούτου, ὅτι ἐξ Ἑλλήνων γονέων ὢν τοσοῦτον θεοσεβὴς γέγονε καὶ πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ ἐνδεδυμένος ἐστίν.

Οὐκοῦν καὶ ἡμεῖς δυνάμεθα καὶ πάντες ἀκολουθῆσαι αὐτῷ, ἀνθ' ὧν ἀκολουθεῖ τοῖς ἁγίοις. Ἄρα τὸ γεγραμμένον τοῦτό ἐστι· Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. Συναποθάνωμεν οὖν καὶ συζήσωμεν τῷ ἀνθρώπῳ τούτῳ, ὅτι ὀρθῶς ὁδηγεῖ ἡμᾶς πρὸς τὸν Θεόν.

20. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ὢρ ὅτι οὔτε ἐψεύσατό ποτε οὔτε ὤμοσεν οὔτε κατηράσατο ἄνθρωπον οὔτε ἐκτὸς ἀνάγκης ἐλάλησεν.

21. Ἔλεγεν ὁ αὐτὸς ἀββᾶς Ὢρ τῷ μαθητῇ αὐτοῦ Παύλῳ· Βλέπε, μηδέποτε ἀλλότριον λόγον ἐνέγκης εἰς τὸ κελλίον τοῦτο.

22. Ἔλεγον περὶ τοῦ ἀββᾶ Ὢρ καὶ τοῦ ἀββᾶ Θεοδώρου ὅτι ἦσαν βάλλοντες ἀρχὰς ἀγαθὰς καὶ εὐχαριστοῦντες τῷ Θεῷ διαπαντός.

23. Ἦν τις ἀναχωρητὴς βοσκόμενος μετὰ τῶν βουβάλων καὶ εὔξατο τῷ Θεῷ λέγων· Κύριε, τί ὑστερῶ δίδαξόν με.

9. Ματθ. 11, 28.

Εἴχαμε τή γνώμη πώς ὅλοι οἱ ἅγιοι ἀκόμη ἀπό τά σπλάχνα τῆς μητέρας τους ἔχουν πλαστεῖ ἀπό τόν Θεό ἔτσι, δηλαδή νά εἶναι ἅγιοι, ἀμετάτρεπτοι καί ὅτι δέν καθορίζουν αὐτοί τή ζωή τους. Ἀλλά λέγαμε πώς καί οἱ ἁμαρτωλοί δέν μποροῦν νά ζοῦν μέ εὐσέβεια, γιατί κι αὐτοί ἔτσι εἶναι πλασμένοι. Τώρα ὅμως βλέπουμε καθαρά τήν ἀγαθότητα τοῦ Θεοῦ σ' αὐτόν τόν πατέρα μας· γιατί, μολονότι κατάγεται ἀπό εἰδωλολάτρες γονεῖς, τόσο θεοσεβής ἔχει γίνει καί ἔχει ταυτίσει τή ζωή του μέ ὅλες τίς ἐντολές τοῦ Θεοῦ.

Λοιπόν κι ἐμεῖς καί ὅλοι μποροῦμε νά τόν ἀκολουθήσουμε ὅπως κι ἐκεῖνος ἀκολουθεῖ τούς ἁγίους. Ἄρα, ἰσχύει ἐδῶ αὐτό πού λέει ἡ Γραφή: "Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς[9]". Κι ἐμεῖς ἄς πεθάνουμε κι ἄς ζήσουμε μαζί μ' αὐτόν τόν ἄνθρωπο, γιατί μέ ὀρθό τρόπο μᾶς ὁδηγεῖ στόν Θεό».

20. Ἔλεγαν γιά τόν ἀββᾶ Ὢρ ὅτι οὔτε ποτέ εἶπε ψέματα οὔτε ὁρκίστηκε οὔτε ἔδωσε κατάρα σέ ἄνθρωπο οὔτε μίλησε χωρίς νά ὑπάρχει ἀνάγκη.

21. Ὁ ἴδιος ὁ ἀββᾶς Ὢρ ἔλεγε στόν μαθητή του Παῦλο: «Πρόσεχε νά μή φέρεις ποτέ σ' αὐτό τό κελί ἀνάρμοστα λόγια».

22. Ἔλεγαν γιά τόν ἀββᾶ Ὢρ καί τόν ἀββᾶ Θεόδωρο ὅτι συνήθιζαν ἀδιάκοπα νά βάζουν ἀρχή γιά κάθε καλό καί νά εὐχαριστοῦν τόν Θεό.

23. Ὑπῆρχε ἕνας ἀναχωρητής πού ζοῦσε στό ὕπαιθρο μαζί μέ τούς βούβαλους[10]. Μιά μέρα προσευχήθηκε στόν

10. Βούβαλος: Εἶδος εὔσωμης ἀντιλόπης, ἀγριόγιδα τῆς Ἀφρικῆς, πού μοιάζει μέ μεγάλο βόδι (Liddell-Scott).

Καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Ὕπαγε εἰς τόδε τὸ κοινόβιον καί, εἴ τι ἐπιτάσσουσί σοι, ποίησον. Εἰσελθὼν δὲ εἰς τὸ κοινόβιον ἔμεινε καὶ οὐκ ᾔδει τὴν ὑπηρεσίαν τῶν ἀδελφῶν. Καὶ ἔλεγον αὐτῷ· Ποίησον τοῦτο, ἰδιῶτα. Καί· Ποίησον ἐκεῖνο, σαλὲ γέρον. Καὶ θλιβόμενος εὔξατο πρὸς τὸν Θεὸν λέγων· Κύριε, οὐκ οἶδα τὴν ὑπηρεσίαν τῶν ἀνθρώπων. Πέμψον με πάλιν πρὸς τοὺς βουβάλους. Καὶ ἀπελύθη ὑπὸ τοῦ Θεοῦ πάλιν ἀπελθεῖν εἰς χωρίον βοσκηθῆναι μετὰ τῶν βουβάλων.

24. Εἶπε Γέρων ὅτι· Ἦν τις Γέρων καθεζόμενος ἐν τῇ ἐρήμῳ πολλοῖς ἔτεσι δουλεύων τῷ Θεῷ καὶ λέγων· Κύριε, πληροφόρησόν με, εἰ εὐηρέστησά σοι. Καὶ ὁρᾷ ἄγγελον λέγοντα αὐτῷ· Οὔπω ἐγένου κατὰ τὸν λαχανὰν τὸν ἐν τῷδε τῷ τόπῳ. Ὁ δὲ Γέρων θαυμάσας εἶπεν ἐν ἑαυτῷ· Ἀπέρχομαι εἰς τὴν πόλιν ἰδεῖν αὐτὸν τί ἆρά ἐστιν ὃ εἰργάσατο, ὥστε ὑπερβῆναι τὴν ἐργασίαν καὶ τὸν πόνον τῶν τοσούτων ἐτῶν μου.

Ἀνῆλθεν οὖν ὁ Γέρων καὶ ἦλθεν εἰς τὸν τόπον ὅπου ἤκουσε παρὰ τοῦ ἀγγέλου. Καὶ εὗρε τὸν ἄνθρωπον καθεζόμενον καὶ πωλοῦντα λάχανα. Καὶ ἐκαθέζετο μετ᾽ αὐτοῦ τὸ ὑπόλοιπον τῆς ἡμέρας. Καὶ ὡς κατέλυσεν ὁ ἄνθρωπος, λέγει αὐτῷ ὁ Γέρων· Δύνῃ, ἀδελφέ, δέξασθαί με ἐν τῷ κελλίῳ σου τὴν νύκτα ταύτην; Περιχαρὴς δὲ γενόμενος ὑπεδέξατο αὐτόν. Ἀνελθὼν οὖν ἐν τῷ κελλίῳ καὶ τοῦ ἀνθρώπου εὐτρεπίσαντος τὰ πρὸς ἀνάπαυσιν τοῦ Γέροντος λέγει αὐτῷ ὁ Γέρων· Ποίησον ἀγάπην, ἀδελφέ, εἰπέ μοι τὴν πολιτείαν σου. Τοῦ δὲ ἀνθρώπου μὴ βουλομένου ἐξειπεῖν, ἐπὶ πολὺ ὁ Γέρων ἐπέμενε παρακαλῶν.

Δυσωπηθεὶς δὲ ὁ ἄνθρωπος εἶπεν ὅτι· Κατ᾽ ὀψὲ ἐσθίω τὸ δι᾽ ὅλου. Καὶ ὡς καταλύω, τὸ τῆς τροφῆς μου μόνον ἐπαί-

Θεό: «Κύριε, φανέρωσέ μου σέ τί ὑστερῶ». Ἄκουσε φωνή πού ἔλεγε: «Πήγαινε στό τάδε κοινόβιο καί ὅ,τι ἐντολή σοῦ δίνουν νά τήν ἐκτελεῖς». Πῆγε στό κοινόβιο καί ἔμεινε, ἀλλά δέν ἤξερε τό ἔργο τῶν ἀδελφῶν. Τοῦ ἔλεγαν λοιπόν: «Κάνε αὐτό, ἀδέξιε. Κάνε τό ἄλλο, σαλέ γέροντα». Ἔνιωσε θλίψη καί εἶπε στήν προσευχή του στόν Θεό: «Κύριε, δέν γνωρίζω τόν τρόπο πού ἐργάζονται οἱ ἄνθρωποι· στεῖλε με πάλι στούς βούβαλους». Καί πῆρε ἄδεια ἀπό τόν Θεό πάλι νά γυρίσει στό λιβάδι καί νά ζεῖ μαζί μέ τούς βούβαλους.

24. Ἕνας Γέροντας εἶπε: Ὑπῆρχε κάποιος Γέροντας πού ζοῦσε ὡς ἀσκητής στήν ἔρημο, ὑπηρετώντας γιά πολλά χρόνια τόν Θεό. Καί ἔλεγε: «Κύριε, πληροφόρησέ με ἄν ἔχω εὐαρεστήσει σέ Σένα». Καί βλέπει ἕναν ἄγγελο νά τοῦ λέει: «Δέν ἔγινες ἀκόμη σάν τόν μανάβη πού ζεῖ στόν τάδε τόπο». Ὁ Γέροντας ἀπόρησε καί εἶπε ἀπό μέσα του: «Θά πάω στήν πόλη νά τόν γνωρίσω· τί εἶναι ἄραγε αὐτό πού ἔκανε, ὥστε νά ξεπεράσει τήν ἐργασία καί τόν κόπο μου τόσων χρόνων».

Ἀνέβηκε καί ἦρθε στόν τόπο πού πληροφορήθηκε ἀπό τόν ἄγγελο. Βρῆκε τόν ἄνθρωπο νά κάθεται καί νά πουλάει κηπουρικά. Κάθισε κοντά του τήν ὑπόλοιπη μέρα. Ὅταν ὁ ἄνθρωπος τελείωσε τή δουλειά του, τοῦ λέει ὁ Γέροντας: «Ἀδελφέ, μπορεῖς νά μέ φιλοξενήσεις στό σπίτι σου αὐτήν τή νύχτα;» Γεμάτος χαρά τόν δέχτηκε. Ὅταν ἀνέβηκε στό σπίτι καί ὁ ἄνθρωπος ἑτοίμασε τά σχετικά μέ τήν φιλοξενία τοῦ Γέροντα, τοῦ λέει ὁ Γέροντας: «Δεῖξε ἀγάπη, ἀδελφέ, καί φανέρωσέ μου τόν τρόπο τῆς ζωῆς σου». Ἐπειδή ὁ ἄνθρωπος δέν ἤθελε νά μιλήσει, ὁ Γέροντας ἐπέμενε πολλή ὥρα παρακαλώντας τον.

Τελικά ὑποχώρησε ὁ ἄνθρωπος καί εἶπε: «Μία φορά μόνο τρώω ὅλο-ὅλο, τό βράδυ. Καί ὅταν βλέπω τά ἔσοδά

ρω καὶ τὸ λοιπὸν παρέχω τοῖς δεομένοις. Καὶ ἐάν τινας τῶν δούλων τοῦ Θεοῦ ὑποδέξωμαι, αὐτοῖς ἀναλίσκω αὐτό. Καὶ ὡς ἀνίσταμαι τὸ πρωΐ, πρὶν καθίσω εἰς τὸ ἐργόχειρόν μου, λέγω ὅτι ἡ πόλις αὕτη ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν εἰσέρχονται εἰς τὴν Βασιλείαν διὰ τὰς δικαιοσύνας αὐτῶν, ἐγὼ δὲ μόνον κληρονομῶ τὴν κόλασιν διὰ τὰς ἁμαρτίας μου. Καὶ πάλιν ὀψὲ λέγω τὸν αὐτὸν λόγον πρὶν κοιμηθῶ.

Ἀκούσας δὲ ὁ Γέρων εἶπεν αὐτῷ· Καλὴ μὲν ἡ ἐργασία αὕτη, οὐκ ἀξία δὲ ὑπερβαλεῖν τοὺς πόνους μου τῶν τοσούτων ἐτῶν. Μελλόντων δὲ αὐτῶν γεύσασθαι ἀκούσας ὁ Γέρων εἰς τὴν ὁδόν τινων ᾄσματα λεγόντων –ἦν γὰρ τὸ κελλίον τοῦ λαχανᾶ ἐν ἐπισήμῳ τόπῳ– λέγει αὐτῷ· Ἀδελφέ, οὕτω βουλόμενος κατὰ Θεὸν ζῆν πῶς μένεις ἐν τῷ τόπῳ τούτῳ; Ἄρτι οὐ ταράσσῃ, ὅτε ἀκούεις τὰ ᾄσματα ταῦτα; Λέγει αὐτῷ ὁ ἄνθρωπος· Λέγω σοι, ἀββᾶ, ὅτι οὐδέποτε ἐταράχθην ἢ ἐσκανδαλίσθην. Ἀκούσας δὲ ὁ Γέρων λέγει· Τί οὖν λογίζῃ ἐν τῇ καρδίᾳ σου, ὅτε ταῦτα ἀκούεις; Καὶ εἶπε· Λογίζομαι ὅτι πάντες εἰς τὴν Βασιλείαν ἀπέρχονται.

Ἀκούσας δὲ ὁ Γέρων ἐθαύμασε καὶ εἶπεν ὅτι· Αὕτη ἐστὶν ἡ ἐργασία ἡ ὑπερβᾶσα τῶν τοσούτων ἐτῶν μου τὸν κόπον. Καὶ βαλὼν μετάνοιαν εἶπε· Συγχώρησόν μοι, ἀδελφέ, οὔπω ἔφθασα εἰς τὸ μέτρον τοῦτο. Καὶ μὴ γευσάμενος ἀνεχώρησε πάλιν εἰς τὴν ἔρημον.

25. Διηγήσατό τις τῶν Πατέρων ὅτι· Δύο πραγματευταὶ ἦσαν φίλοι Ἀπαμεῖς ἐπὶ ξένης πραγματευόμενοι, ὁ εἷς πλού-

11. Ἀπάμεια: Πρόκειται γιά τήν ἐπί τοῦ Ὀρόντου ποταμοῦ (ἀρχαία) πρωτεύουσα τῆς συριακῆς ἐπαρχίας Ἀπαμηνῆς, στά νότια τῆς Ἀντιόχειας. Ἡ

μου τό βράδυ, παίρνω μόνο τό ἀπαραίτητο γιά τή συντήρησή μου. Τό ὑπόλοιπο τό δίνω σ᾽ αὐτούς πού ἔχουν ἀνάγκη. Καί ἄν φιλοξενήσω κάποιους δούλους τοῦ Θεοῦ, γι᾽ αὐτούς τό ξοδεύω. Τό πρωί μόλις σηκωθῶ, πρίν καθήσω στό ἐργόχειρό μου, λέω ὅτι ἡ πόλη αὐτή ἀπό τόν πιό μικρό μέχρι τόν πιό μεγάλο μπαίνουν στή Βασιλεία τοῦ Θεοῦ γιά τίς ἀρετές τους, ἐνῶ ἐγώ μόνον κληρονομῶ τήν κόλαση γιά τίς ἁμαρτίες μου. Τό βράδυ πάλι λέω τό ἴδιο, πρίν κοιμηθῶ».

Ὅταν τ᾽ ἄκουσε αὐτά ὁ Γέροντας, σκέφτηκε: «Καλή βέβαια εἶναι ἡ ἐργασία αὐτή, ἀλλά ὄχι καί ἄξια νά ξεπερνάει τούς κόπους πού ἔκανα τόσα χρόνια».

Ἐνῶ ἦταν ἡ ὥρα νά φᾶνε, ὁ Γέροντας ἄκουσε κάποιους νά τραγουδᾶνε στόν δρόμο –τό σπίτι τοῦ λαχανοπώλη βρισκόταν σέ κεντρικό μέρος. Τοῦ λέει ὁ Γέροντας: «Ἀδελφέ, ἀφοῦ θέλεις μέ τόση ἀκρίβεια νά ζεῖς σύμφωνα μέ τό τί θέλει ὁ Θεός, πῶς μπορεῖς καί μένεις σ᾽ αὐτόν τόν τόπο; Τώρα δέν ταράζεσαι, ὅταν ἀκοῦς αὐτά τά τραγούδια;» Τοῦ λέει ὁ ἄνθρωπος: «Ἀββᾶ, σοῦ λέω ὅτι οὐδέποτε ταράχθηκα ἤ σκανδαλίσθηκα». Σάν τ᾽ ἄκουσε αὐτό ὁ Γέροντας ρώτησε: «Τί σκέφτεσαι μέσα στήν καρδιά σου, ὅταν τ᾽ ἀκοῦς αὐτά;» Ἀπάντησε: «Συλλογίζομαι ὅτι ὅλοι πηγαίνουν στή Βασιλεία τοῦ Θεοῦ».

Στά λόγια αὐτά θαύμασε ὁ Γέροντας καί εἶπε: «Αὐτή εἶναι ἡ ἐργασία πού ξεπέρασε τόν τόσων χρόνων κόπο μου». Ἔβαλε μετάνοια καί εἶπε: «Συγχώρεσέ με, ἀδελφέ. Δέν ἔφτασα ἀκόμη σ᾽ αὐτό τό μέτρο». Καί χωρίς νά καθίσει γιά φαγητό, ἔφυγε πάλι γιά τήν ἔρημο.

25. Κάποιος ἀπό τούς Πατέρες διηγήθηκε τό ἑξῆς: «Δύο ἔμποροι ἀπό τήν Ἀπάμεια[11], πού ἐμπορεύονταν σέ

Ἀπάμεια ἦταν ἕδρα περίφημων σχολῶν φιλοσοφίας καί ἐξελίχθηκε σέ σημαντικό χριστιανικό κέντρο. Ἀπό τόν 2ο αἰώνα ἦταν ἕδρα Ἐπισκοπῆς.

σιος καὶ ὁ ἄλλος σύμμετρος. Εἶχε δὲ ὁ πλούσιος γυναῖκα ὡραιοτάτην καὶ σώφρονα, ὡς τὰ πράγματα ἔδειξε. Τελευτήσας οὖν ὁ ἀνὴρ αὐτῆς, καὶ ἰδὼν ὁ ἄλλος τὴν σεμνότητα αὐτῆς ἠθέλησε λαβεῖν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα. Εὐλαβεῖτο δὲ εἰπεῖν αὐτῇ, μήπως οὐκ ἀνέξεται. Ἐκείνη δὲ συνετὴ οὖσα ἐννόησε καὶ λέγει αὐτῷ· Κύρι Συμεών (οὕτω γὰρ ἐλέγετο), βλέπω σε λογισμοὺς ἔχοντα· ἀλλ᾽ εἰπέ μοι ὃ ἔχεις, καὶ πληροφορῶ σε.

Ὁ δὲ τὸ μὲν πρῶτον εὐλαβεῖτο εἰπεῖν, ὕστερον δὲ ὡμολόγησεν αὐτῇ καὶ παρεκάλεσεν αὐτήν, ὅπως λάβῃ αὐτὴν εἰς γυναῖκα. Λέγει αὐτῷ ἐκείνη· Ἐὰν ποιήσῃς ὃ ἐπιτάσσω σοι, ἀνέχομαι. Λέγει αὐτῇ· Εἴ τι ἂν ἐπιτάξῃς μοι, ἐγὼ ποιῶ. Λέγει αὐτῷ ἐκείνη· Κάτελθε σὺ εἰς τὸ ἐργαστήριόν σου καὶ νήστευσον, ἕως ἂν καλέσω σε, ἐμοῦ ἐν ἀληθείᾳ μηδὲν γενομένης, ἕως ἂν καλέσω σε. Ὁ δὲ συνέθετο.

Οὐκ ἔδωκε δὲ ὅρον πότε καλέσει αὐτόν, ἐκεῖνος δὲ ἐνόμιζεν ὅτι αὐτῇ τῇ ἡμέρᾳ καλεῖ αὐτόν. Παρῆλθεν οὖν μία ἡμέρα, δευτέρα, τρίτη, καὶ οὐκ ἐκάλεσεν αὐτόν. Καὶ ἐνεκαρτέρησεν εἴτε διὰ τὸν πρὸς αὐτὴν πόθον εἴτε τοῦ Θεοῦ ταῦτα οἰκονομήσαντος καὶ παρασχόντος ὑπομονήν, τοῦ εἰδότος ποῦ μέλλει καλεῖν αὐτόν. Ἐγένετο γὰρ μετὰ ταῦτα σκεῦος ἐκλογῆς.

Τῇ δὲ τετάρτῃ ἡμέρᾳ πέμπει πρὸς αὐτόν. Ἐκεῖνος δὲ παρ᾽ ὀλίγον ἐξέλιπε καὶ μὴ δυνάμενος τοῖς ποσὶν ἀνελθεῖν ἀπὸ ταλαιπωρίας βασταζόμενος ἀνῆλθεν. Ἐκείνη δὲ λοιπὸν ἑτοιμάζει τράπεζαν καὶ στρώννυσι κλίνην. Καὶ λέγει αὐτῷ· Ἰδοὺ ἡ τράπεζα καὶ ἡ κλίνη· ὅπου κελεύεις, ὁρμῶμεν. Λέγει αὐτῇ· Δέομαί σου, ἐλέησόν με καὶ δός μοι μικρὸν φαγεῖν, ὅτι ἐκλείπω· οὐδὲ γὰρ εἰ ἐστὶ γυνὴ ἐπίσταμαι ἐκ τῆς συνεχούσης με ἐκλείψεως. Τότε λέγει αὐτῷ ἐκείνη· Ἰδού, ὅτε ἐπείνασας καὶ ἐμοῦ καὶ πάσης γυναικὸς καὶ ἡδονῆς προετίμησας

ξένη χώρα, ἦταν φίλοι. Ὁ ἕνας ἦταν πλούσιος· ὁ ἄλλος μέ μέτρια περιουσία. Ὁ πλούσιος εἶχε γυναίκα πολύ ὄμορφη καί ἐγκρατή, ὅπως ἀπέδειξαν τά πράγματα. Πέθανε ὁ ἄνδρας της, καί ὁ ἄλλος βλέποντας τή σεμνότητά της θέλησε νά τήν πάρει γυναίκα του, ὅμως ντρεπόταν νά τῆς τό πεῖ μήπως δέν δεχθεῖ. Ἐκείνη καθώς ἦταν μυαλωμένη, τό κατάλαβε. Τοῦ λέει: «Κύρ Συμεών –ἔτσι ὀνομαζόταν– σέ βλέπω ὅτι ἔχεις λογισμούς· πές μου αὐτό πού σέ ἀπασχολεῖ, κι ἐγώ θά σέ πληροφορήσω».

Αὐτός στήν ἀρχή δίσταζε νά μιλήσει, ὕστερα ὅμως τῆς τό ὁμολόγησε καί τήν παρακάλεσε νά τήν κάνει γυναίκα του. Ἐκείνη τοῦ λέει: «Ἄν κάνεις ὅ,τι σοῦ παραγγείλω, δέχομαι». Τῆς λέει: «Ὅ,τι κι ἄν μέ προστάξεις, θά τό κάνω». Τοῦ λέει: «Κατέβα κάτω στό ἐργαστήριό σου καί μεῖνε νηστικός, ὥσπου νά σέ καλέσω· κι ἐγώ –ἀλήθεια σοῦ λέω– δέν θά γευθῶ τίποτε, ὥσπου νά σέ φωνάξω». Αὐτός συμφώνησε.

Δέν τοῦ ἔδωσε προθεσμία πότε θά τόν καλέσει. Ἐκεῖνος εἶχε τήν ἐντύπωση ὅτι τήν ἴδια μέρα θά τόν φωνάξει. Πέρασε μιά μέρα, δεύτερη, τρίτη καί δέν τόν κάλεσε. Ἔκανε ὑπομονή εἴτε ἐξαιτίας τοῦ πόθου του γι᾽ αὐτήν εἴτε γιατί ὁ Θεός, πού ἤξερε ποῦ ἐπρόκειτο νά τόν προσκαλέσει, οἰκονόμησε ἔτσι τά πράγματα καί τοῦ ἔδωσε ὑπομονή. Γιατί ὕστερα ἀπ᾽ αὐτά ἔγινε σκεῦος ἐκλογῆς.

Τήν τετάρτη μέρα τοῦ στέλνει εἰδοποίηση. Ἐκεῖνος ἀκόμη λίγο θά πέθαινε, καί μή μπορώντας ἀπό τήν ἐξάντληση ν᾽ ἀνεβεῖ μέ τά πόδια, τόν βαστοῦσαν κι ἀνέβηκε. Ἐκείνη ἑτοιμάζει τραπέζι καί στρώνει κρεββάτι. Τοῦ λέει: «Νά τό τραπέζι καί ἡ κλίνη· ὅπου ὁρίζεις ἄς πᾶμε». Τῆς λέει: «Σέ παρακαλῶ· δεῖξε ἀγάπη καί δός μου κάτι νά φάω, γιατί χάνομαι· κι οὔτε πού ξέρω ἄν ὑπάρχει γυναίκα ἀπό τήν ἀδυναμία μου». Τότε τοῦ λέει: «Νά, ὅταν πείνασες, προτίμησες τό φαγητό καί ἀπό μένα καί ἀπό κάθε γυναίκα κι

τὸ φαγεῖν. Ὅταν οὖν ἔχῃς λογισμοὺς τοιούτους τούτῳ τῷ φαρμάκῳ χρῶ καὶ ἀπαλλάσσει παντὸς λογισμοῦ ἀτόπου. Πείσθητί μοι γάρ, ὅτι μετὰ τὸν ἄνδρα μου οὔτε σοὶ οὔτε ἄλλῳ συνάπτομαι, ἀλλὰ τῇ σκέπῃ τοῦ Χριστοῦ οὕτως ἐλπίζω μεῖναι χήρα.

Τότε κατανυγεὶς καὶ θαυμάσας τὴν σύνεσιν καὶ τὴν σωφροσύνην αὐτῆς λέγει αὐτῇ· Ἐπειδὴ εὐδόκησεν ὁ Κύριος ἐπισκέψασθαι τοῦ σῶσαί με διὰ τῆς συνέσεώς σου, τί συμβουλεύεις μοι ποιῆσαι; Ἐκείνη δὲ μὴ θαρροῦσα τῇ νεότητι καὶ τῷ κάλλει, εὐλαβηθεῖσα μή ποτέ τινι καιρῷ καὶ αὐτὴ τὸ αὐτὸ πάθοι, λέγει αὐτῷ· Νομίζω ὅτι οὐδένα ἀγαπᾷς διὰ τὸν Θεὸν λοιπὸν πλέον ἐμοῦ. Λέγει αὐτῇ· Οὕτως ἔχει. Εἶπε δὲ αὐτῷ· Κἀγὼ ἐν ἀληθείᾳ διὰ τὸν Θεὸν ἀγαπῶ σε· ἀλλ᾽ ἐπειδὴ φωνὴ δεσποτική ἐστιν ἡ λέγουσα· Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφούς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής, μακρύνωμεν ἑαυτοὺς ἀπ᾽ ἀλλήλων, ἵνα καί σοι λογίσηται ὁ Κύριος ὅτι ἀπετάξω δι᾽ αὐτὸν τῇ γυναικί σου, κἀμοὶ ὅτι ἀπεταξάμην τῷ ἀνδρί μου. Ἰδοὺ οὖν μοναστήριόν ἐστιν εἰς τὴν χώραν ἡμῶν ἐγκλείστων εἰς Ἀπάμειαν. Εἰ ὅλως ἐπιποθεῖς σωθῆναι, ἐκεῖ ἀπόταξαι καὶ εὐαρεστεῖς ἐν ἀληθείᾳ τῷ Θεῷ.

Εὐθέως οὖν ἀπαλλάξας ἑαυτὸν τῶν πραγμάτων ὥρμησεν εἰς ἐκεῖνο τὸ μοναστήριον καὶ ἔμεινεν ἐκεῖ ἕως οὗ ἀνεπάη. Καὶ γέγονε δόκιμος καθαρὸν ἔχων τὸν νοῦν καὶ βλέπων πράγματα εὔθετα καὶ θεωρῶν αὐτὰ πνευματικῶς. Ταῦτα δὲ πάντα αὐτὸς ὁ ἀββᾶς Συμεὼν ἐξηγήσατο τῷ διηγησαμένῳ.

ἀπό τήν ἡδονή. Ὅταν λοιπόν ἔχεις τέτοιους λογισμούς, αὐτό τό φάρμακο νά χρησιμοποιεῖς, καί θά γλυτώνεις ἀπό κάθε ἄπρεπο λογισμό. Πίστεψέ με· μετά τόν ἄνδρα μου οὔτε ἐσένα οὔτε ἄλλον παίρνω, ἀλλά κάτω ἀπό τή σκέπη τοῦ Χριστοῦ ἐλπίζω νά μείνω χήρα».

Τότε γεμάτος κατάνυξη καί θαυμασμό γιά τή σύνεση καί τή σωφροσύνη της, τῆς λέει: «Ἐπειδή ὁ Κύριος εὐδόκησε νά μέ ἐπισκεφθεῖ, γιά νά μέ σώσει μέ τή φρόνησή σου, τί μέ συμβουλεύεις νά κάνω;» Ἐκείνη, καθώς δέν εἶχε θάρρος ἀπό τή νεότητα καί τήν ὀμορφιά της, καί νιώθοντας φόβο μήπως κάποτε σέ κάποια ὥρα πάθει καί αὐτή τό ἴδιο, τοῦ λέει: «Νομίζω ὅτι κανέναν, ἐν ὀνόματι τοῦ Θεοῦ, δέν ἀγαπᾶς περισσότερο ἀπό μένα». Τῆς λέει: «Ἔτσι εἶναι». Τοῦ λέει: «Κι ἐγώ, τοῦ λέει, στ᾽ ἀλήθεια, στό ὄνομα τοῦ Θεοῦ σ᾽ ἀγαπῶ· ἀλλά ἐπειδή εἶναι τοῦ Κυρίου ἡ φωνή πού λέει: "Ὅποιος ἔρχεται σέ μένα καί δέν μισεῖ τόν πατέρα του καί τή μητέρα καί τή γυναίκα καί τά τέκνα καί τ᾽ ἀδέλφια, ἀκόμη καί τήν ψυχή του δέν μπορεῖ νά εἶναι μαθητής μου"[12], γι᾽ αὐτό ἄς ἀπομακρυνθοῦμε ὁ ἕνας ἀπό τόν ἄλλο, γιά νά ὑπολογίσει καί σέ σένα ὁ Κύριος ὅτι γιά Ἐκεῖνον ἀπαρνήθηκες τή γυναίκα σου καί σέ μένα ὅτι ἀπαρνήθηκα τόν ἄνδρα μου. Νά, στή χώρα μας ὑπάρχει μοναστήρι ἐγκλείστων, στήν Ἀπάμεια. Ἄν ἀληθινά ποθεῖς νά σωθεῖς, ἐκεῖ νά κάνεις τήν ἀπάρνηση τοῦ κόσμου καί θά εὐαρεστήσεις ἀληθινά στόν Θεό».

Ἀμέσως ἀπαλλάχτηκε ἀπό ὅλες τίς δεσμεύσεις κι ἔτρεξε σ᾽ ἐκεῖνο τό μοναστήρι. Ἐκεῖ ἔμεινε μέχρι τήν κοίμησή του. Ἔγινε ἄξιος, ἔχοντας καθαρό νοῦ, βλέποντας πράγματα ἁρμόζοντα καί φθάνοντας στήν πνευματική τους θεωρία. Αὐτά ὅλα τά ἐξιστόρησε ὁ ἴδιος ὁ ἀββᾶς Συμεών στόν Γέροντα, πού μᾶς τά διηγήθηκε.

12. Λουκ. 14, 26.

26. Διηγήσατό τις τῶν ἀναχωρητῶν τοῖς ἀδελφοῖς ἐν Ῥαϊθοῦ, ὅπου τὰ ἑβδομήκοντα στελέχη τῶν φοινίκων, ἔνθα παρέβαλε Μωυσῆς μετὰ τοῦ λαοῦ, ὅτε ἐξῆλθεν ἐκ τῆς Αἰγύπτου. Καὶ ἔλεγεν οὕτως· Ἐλογισάμην ποτὲ εἰσελθεῖν εἰς τὴν ἐσωτέραν ἔρημον, εἴ πως εὕρω τινὰ ἐνδότερόν μου δουλεύοντα τῷ Θεῷ. Καὶ ὁδεύσας νυχθήμερα τέσσαρα εὗρον σπήλαιον. Καὶ προσεγγίσας βλέπω ἔσω καὶ θεωρῶ συγκαθήμενον ἄνθρωπον καὶ κρούω κατὰ τὸ ἔθος τῶν μοναχῶν πρὸς τὸ ἐξελθεῖν αὐτὸν ἀσπάσασθαί με. Ὁ δὲ οὐκ ἐκινεῖτο· ἦν γὰρ ἀναπεπαυμένος.

Ἐγὼ δὲ μηδὲν μελήσας εἰσέρχομαι καὶ κρατῶ αὐτὸν τοῦ ὤμου. Καὶ εὐθέως ἐλύθη καὶ ἐγένετο κόνις. Ἔτι δὲ προσεσχηκὼς ὁρῶ κολόβιον κρεμάμενον. Ὡς δὲ καὶ τοῦτο ἐκράτησα, διελύθη καὶ ἐγένετο εἰς οὐδέν. Ὡς δὲ διηπόρουν, ἐξῆλθον ἐκεῖθεν καὶ εὗρον ἕτερον σπήλαιον καὶ ἴχνη ἀνδρός. Εὔθυμος οὖν γενόμενος προσεγγίζω τῷ σπηλαίῳ. Ὡς δὲ πάλιν ἔκρουσα καὶ οὐδείς μοι ἐπήκουσεν, εἰσελθὼν οὐδένα εὗρον. Στὰς δὲ ἔξωθεν τοῦ σπηλαίου ἔλεγον ἐν ἑαυτῷ ὅτι δεῖ τὸν δοῦλον τοῦ Θεοῦ ἐλθεῖν, ὅπου δ' ἂν εἴη.

Ὡς δὲ ἡμέρα λοιπὸν ἐγένετο, ὁρῶ βουβάλους ἐρχομένους καὶ τὸν δοῦλον τοῦ Θεοῦ γυμνόν, ταῖς θριξὶν αὐτοῦ σκέποντα τὰ ἀσχήμονα μέλη τοῦ σώματος. Ὡς δὲ προσήγγισέ μοι, νομίσας με πνεῦμα εἶναι ἔστη εἰς προσευχήν. Ἦν γάρ, ὡς ἔλεγεν ὕστερον, πολλὰ πειρασθεὶς ὑπὸ τῶν πνευμάτων. Ἐγὼ δὲ νοήσας τοῦτο ἔλεγον αὐτῷ· Ἄνθρωπός εἰμι, δοῦλε τοῦ Θεοῦ. Ὅρα τὰ ἴχνη μου καὶ ψηλάφησόν με, ὅτι σὰρξ καὶ αἷμά εἰμι. Ὡς δὲ μετὰ τὸ Ἀμὴν προσέσχε μοι, παρεκλήθη.

Καὶ λαβών με ἐν τῷ σπηλαίῳ ἠρώτα· Πῶς ἐνταῦθα παρεγένου; Ἐγὼ δὲ εἶπον· Χάριν τοῦ ἐπιζητῆσαι τοὺς δούλους

13. Ραϊθώ: Βλ. Μ. Γερ. τ. Α', σελ. 82, ὑποσημ. 67.
14. Ἔξ. 15, 27.
15. Κολόβιον: πανωφόρι μοναχοῦ ἀμάνικο.
16. Βλ. σελ. 483, ὑποσημ. 10.

26. Ἕνας ἀναχωρητής διηγήθηκε στούς ἀδελφούς τῆς Ραϊθοῦ[13], ὅπου βρίσκονται τά ἑβδομήντα φοινικόδεντρα –στόν τόπο πού ἔφτασε ὁ Μωυσῆς μέ τόν λαό, ὅταν βγῆκε ἀπό τήν Αἴγυπτο[14]– καί εἶπε τά παρακάτω: «Κάποτε σκέφτηκα νά πάω στήν πιό βαθιά ἔρημο, μήπως βρῶ κανέναν πού νά ὑπηρετεῖ τόν Θεό σέ τόπο πιό ἀπομακρυσμένο ἀπό μένα. Περπάτησα τέσσερα μερόνυχτα καί βρῆκα μιά σπηλιά. Πλησιάζω καί παρατηρῶ. Βλέπω μέσα ἕναν ἄνθρωπο καθισμένο. Χτυπῶ ὅπως συνηθίζουν οἱ μοναχοί, γιά νά βγεῖ νά μέ χαιρετίσει. Αὐτός ὅμως δέν κουνιόταν· ἦταν πεθαμένος.

Ἐγώ χωρίς καθόλου νά νοιαστῶ, μπαίνω καί τόν πιάνω ἀπό τόν ὦμο. Ἀμέσως διαλύθηκε· ἔγινε σκόνη. Προσέχω ἀκόμη καλύτερα καί βλέπω κρεμασμένο ἕνα κολόβιο[15]. Μόλις τό ἔπιασα κι αὐτό, διαλύθηκε καί δέν ἔμεινε τίποτε. Καθώς βρισκόμουν σέ ἀπορία, βγῆκα ἀπό κεῖ καί βρίσκω ἕνα ἄλλο σπήλαιο μέ ἴχνη ἀπό ἀνδρικά πόδια. Χάρηκα. Πλησιάζω τή σπηλιά. Πάλι χτύπησα, ἀλλά κανείς δέν μ' ἄκουσε. Μπαίνω μέσα καί δέν βρίσκω κανένα. Στάθηκα ἔξω ἀπό τή σπηλιά καί σκεφτόμουν ὅτι ὁ δοῦλος τοῦ Θεοῦ πρέπει νά ρθεῖ, ὅπου κι ἄν εἶναι.

Ὅταν ξημέρωσε, βλέπω νά ἔρχονται βούβαλοι[16] καί τόν δοῦλο τοῦ Θεοῦ γυμνό, πού 'χε σκεπασμένα μέ τά μαλλιά τῆς κεφαλῆς τά ἀσχήμονα μέλη τοῦ σώματός του. Ὅταν μέ πλησίασε, μέ πέρασε γιά πνεῦμα, γι' αὐτό ἄρχισε τήν προσευχή· εἶχε δοκιμάσει πολλούς πειρασμούς ἀπό τούς δαίμονες, ὅπως ἔλεγε ἀργότερα. Ἐγώ τό κατάλαβα καί τοῦ λέω: "Δοῦλε τοῦ Θεοῦ, ἄνθρωπος εἶμαι· κοίταξε τά χνάρια μου καί ψηλάφησέ με, γιατί εἶμαι σάρκα καί αἷμα". Ὅταν μετά τό Ἀμήν μέ κοίταξε, παρηγορήθηκε.

Μέ πῆρε στή σπηλιά καί μέ ρωτοῦσε: "Πῶς ἦρθες ἐδῶ;" "Γιά νά ἀναζητήσω –τοῦ εἶπα– τούς δούλους τοῦ Θεοῦ,

τοῦ Θεοῦ ἦλθον εἰς τὴν ἔρημον ταύτην. Καὶ οὐκ ἐστέρησέ με ὁ Θεὸς τῆς ἐπιθυμίας μου. Κἀγὼ δὲ ἠρώτησα αὐτὸν λέγων· Ἐνταῦθα οὖν καὶ αὐτὸς πῶς παρεγένου; καὶ πόσον χρόνον ἔχεις; καὶ πῶς τρέφῃ; καὶ πῶς γυμνὸς ὢν σὺ δέῃ ἐνδυμάτων; Ὁ δὲ ἔφη· Ἐγὼ ἐν κοινοβίῳ τῆς Θηβαΐδος ἤμην ἔργον ἔχων τὸ λινυφικόν. Ὑπεισῆλθε δέ μοι λογισμὸς λέγων· Ἔξελθε καὶ καθ' ἑαυτὸν καθέζου· καὶ δύνασαι ἡσυχάζειν καὶ φιλοξενεῖν καὶ πλείονα μισθὸν κτήσασθαι ἀπὸ τοῦ πόρου τοῦ ἔργου σου. Ὡς δὲ συνεθέμην τῷ λογισμῷ, καὶ δὴ τὸ ἔργον διήνυον. Οἰκοδομήσας γὰρ μοναστήριον ἔσχον τοὺς ἐπιτάσσοντας. Πολλὰ δὲ πορίζων τὰ συναγόμενα ἠγωνιζόμην πτωχοῖς καὶ ξένοις διανέμειν.

Ὁ δὲ ἐχθρὸς ἡμῶν διάβολος φθονήσας ὡς ἀεὶ καὶ τότε τῇ μελλούσῃ ἀνταποδόσει γίνεσθαι εἰς ἐμὲ ὑπὲρ ὃ ἔσπευδον τοὺς κόπους μου τῷ Θεῷ ἀνατίθεσθαι, ἰδὼν μίαν παρθενεύουσαν ἐπιτάξασάν μοι εἴδη καὶ ταῦτα ποιήσαντός μου καὶ δεδωκότος, ὑποβάλει αὐτῇ πάλιν ἐπιτάξαι μοι ἄλλα. Ὡς δὲ λοιπὸν συνήθεια ἐγένετο, καὶ ἡ παρρησία περισσοτέρα. Τέλος καὶ ἀφὴ χειρῶν καὶ γέλως καὶ συναλισμός. Καὶ ὠδινήσαντες ἐτέκομεν τὴν ἁμαρτίαν.

Ὡς δὲ ἔμεινα ἐν τῷ πτώματι μετὰ ταῦτα ἓξ μῆνας, ἐλογισάμην ὅτι κἂν σήμερον κἂν αὔριον θανάτῳ ὑποβληθεὶς τὴν αἰώνιον ἕξω κόλασιν. Εἰ γὰρ γυναῖκά τις ἀνθρώπου φθείρας κολάσει καὶ τιμωρίᾳ ὑποβάλλεται, πόσων τιμωριῶν ἄξιος ὁ τὴν δούλην τοῦ Θεοῦ διαφθείρας; Καὶ οὕτω πρὸς τὴν ἔρημον ταύτην λαθραίως δραμών, ἐάσας πάντα τῇ γυναικὶ καὶ ἐλθὼν ἐνταῦθα, εὗρον τὸ σπήλαιον τοῦτο καὶ τὴν πηγὴν καὶ τὸν φοίνικα φέροντά μοι δώδεκα σπαθία τοῦ ἐνιαυτοῦ φοινίκων. Κατὰ μῆνα δὲ φέρει ἓν σπαθίον, ὅπερ ἀρκεῖ μοι τὰς τριάκοντα ἡμέρας, μετὰ δὲ τοῦτο ἀκμάζει τὸ δεύτερον.

17. Παρρησία: Βλ. Μ. Γερ. τ. Γ', σελ. 24, ὑποσημ. 7.

ἦρθα σ' αὐτή τήν ἔρημο, καί ὁ Θεός ἱκανοποίησε τήν ἐπιθυμία μου". "Κι ἐσύ πῶς ἔφτασες ἐδῶ; –τόν ρώτησα ἐγώ– Πόσον καιρό εἶσαι; Πῶς τρέφεσαι; Πῶς εἶσαι γυμνός καί δέν ἔχεις ἀνάγκη ἀπό ροῦχα;" "Ἤμουν σέ κοινόβιο τῆς Θηβαΐδας –ἀπάντησε– καί ἐργόχειρο εἶχα νά ὑφαίνω λινά. Μπῆκε ὅμως μέσα μου ὁ λογισμός: Φύγε καί ἀσκήτεψε μόνος· ἔτσι μπορεῖς νά ζεῖς ἡσυχαστικά καί νά φιλοξενεῖς καί ν' ἀποκτήσεις περισσότερα ἀπό τά ἔσοδα τοῦ ἐργοχείρου σου. Δέχτηκα τόν λογισμό καί καταπιάστηκα μέ τό ἔργο. Ἔχτισα μοναστήρι καί εἶχα πελάτες, πού ἔδιναν παραγγελίες. Πολλά ἦταν αὐτά πού συγκέντρωνα ἀπό τά ἔσοδα κι ἀγωνιζόμουν νά τά μοιράζω σέ φτωχούς καί ξένους.

Ὅμως ὁ ἐχθρός μας διάβολος φθόνησε καί τότε, ὅπως πάντοτε, τήν μελλοντική ἀνταμοιβή πού ἐπρόκειτο νά μοῦ δοθεῖ, γιά χάρη τοῦ ὁποίου καί ἔσπευδα νά ἀφιερώνω τούς κόπους μου στόν Θεό. Κι ὅταν εἶδε ὅτι μία μοναχή μοῦ παρήγγειλε εἴδη καί τά ἔκανα αὐτά καί τῆς τά ἔδωσα, τῆς βάζει τήν ἐπιθυμία πάλι νά μοῦ παραγγείλει ἄλλα. Ἔτσι λοιπόν δημιουργήθηκε μιά οἰκειότητα καί ἡ παρρησία[17] αὐξήθηκε. Τέλος καί ἀκούμπημα χεριῶν καί γέλια καί συντροφιά καί πέσαμε στήν ἁμαρτία.

Μετά ἀπ' αὐτά, ἀφοῦ ἔμεινα στήν πτώση μου αὐτή ἕξι μῆνες, σκέφτηκα ὅτι εἴτε σήμερα εἴτε αὔριο πεθαίνω καί θά 'χω τήν αἰώνια κόλαση. Γιατί ἄν κάποιος πού διέφθειρε τή γυναίκα κάποιου κολάζεται καί τιμωρεῖται, γιά πόσες τιμωρίες εἶναι ἄξιος ἐκεῖνος πού ἀτίμασε τή δούλη τοῦ Θεοῦ; Μ' αὐτές τίς σκέψεις πέρασα κρυφά σ' αὐτήν τήν ἔρημο, ἀφοῦ ὅλα τά ἄφησα στή γυναίκα. Ἦρθα ἐδῶ καί βρῆκα αὐτήν τή σπηλιά καί τήν πηγή καί τόν φοίνικα πού μοῦ δίνει δώδεκα τσαμπιά χουρμάδες τόν χρόνο. Κάθε μήνα δίνει ἕνα τσαμπί, πού μοῦ φτάνει γιά τίς τριάντα μέρες· ἔπειτα ἀπ' αὐτό ὡριμάζει τό δεύτερο. Ὕστερα ἀπό πολύ καιρό με-

Μετὰ χρόνον οὖν πολὺν ηὔξησαν αἱ τρίχες μου· καὶ φθαρέντων μου τῶν ἱματίων ἐν αὐταῖς ὃ πρέπει τοῦ σώματος περιβάλλομαι μέρος.

Ὡς δὲ πάλιν ἠρώτων αὐτὸν εἰ ἐν ταῖς ἀρχαῖς ἐδυσχέρανεν ἐκεῖσε, ἔφη· Ἐν ταῖς ἀρχαῖς πάνυ ἐθλίβην, ὥστε με χαμαὶ κεῖσθαι ἀπὸ τοῦ ἥπατος καὶ μὴ δύνασθαι ἑστῶτα σύναξιν ἐπιτελεῖν, ἀλλὰ κείμενόν με βοᾶν πρὸς τὸν Ὕψιστον. Ἐν δὲ τῷ σπηλαίῳ ὄντος μου ἐν ἀθυμίᾳ πολλῇ καὶ πόνῳ, ὥστε με λοιπὸν μηδὲ ἐξιέναι δύνασθαι, θεωρῶ ἄνδρα εἰσελθόντα καὶ πλησίον μου στάντα καὶ λέγοντά μοι· Τί πάσχεις; Ἐγὼ δὲ παραυτα ἐνδυναμωθεὶς μικρὸν ἔφην· Τὸ ἧπαρ πάσχω. Ὡς δὲ ἔδειξα αὐτῷ τὸν τόπον, τοὺς δακτύλους αὐτοῦ εἰς ὀρθὸν συζεύξας διχοτομεῖ τὸν τόπον ὥσπερ ξίφει καὶ ἐκσπάσας τὸ ἧπαρ ἔδειξέ μοι τὰ τραύματα. Καὶ τῇ χειρὶ ξέσας ἐν ῥάκει τὰς σχάρας ἐξέβαλε. Καὶ πάλιν θεὶς τὸ ἧπαρ, τῇ χειρὶ τὸν τόπον ἀπήλειψε καὶ εἶπέ μοι· Ἰδοὺ ὑγιὴς γέγονας· δούλευε τῷ δεσπότῃ Χριστῷ καθὼς πρέπει. Καὶ ἔκτοτε ὑγιὴς γέγονα. Καὶ λοιπὸν ἀκόπως διατρίβω ἐνταῦθα.

Πολλὰ δὲ παρεκάλεσα αὐτόν, ὥστε με διατρίψαι ἐν τῷ προτέρῳ σπηλαίῳ· καὶ εἶπέ μοι μὴ δύνασθαί με ὑπενεγκεῖν τὰς τῶν δαιμόνων ὁρμάς. Κἀγὼ δὲ αὐτὸ τοῦτο διακριθεὶς παρεκάλουν εὐξάμενον ἀπολῦσαί με. Καὶ εὐξάμενος ἀπέλυσέ με. Καὶ ταῦτα διηγησάμην ὑμῖν ὠφελείας χάριν.

27. Ἔλεγε πάλιν ἄλλος Γέρων, ὃς ἠξιώθη τῆς ἐπισκοπῆς

γάλωσαν τά μαλλιά μου καί καθώς ἔλιωσαν τά ροῦχα μου, μέ τά μαλλιά σκεπάζω τό μέρος τοῦ σώματος πού πρέπει".

Τόν ρώτησα πάλι ἄν στίς ἀρχές συνάντησε δυσκολίες στή ζωή αὐτή. "Ἀρχικά –εἶπε– πάρα πολύ παιδεύτηκα. Ἔφτασα στό σημεῖο νά κοίτομαι καταγῆς ἀπό πόνο στό συκώτι καί νά μήν μπορῶ νά σταθῶ ὄρθιος, προκειμένου νά κάνω προσευχή, ἀλλά ξαπλωμένος κραύγαζα στόν Ὕψιστο. Μιά μέρα ἐνῶ ἤμουν στή σπηλιά μέ μεγάλη θλίψη καί τόσο πόνο, πού νά μήν μπορῶ πιά νά βγαίνω ἔξω, βλέπω ἕναν ἄνδρα νά μπαίνει μέσα, νά στέκεται κοντά μου καί νά μοῦ λέει: Ἀπό τί πάσχεις; Ἐγώ ἀμέσως δυνάμωσα λίγο καί τοῦ εἶπα: Τό συκώτι μου πονάει. Μόλις τοῦ ἔδειξα τό μέρος, ἕνωσε τά δάχτυλά του σέ ἴσια γραμμή καί σχίζει τό μέρος αὐτό σάν μέ ξίφος. Ἀφοῦ τράβηξε τό συκώτι, μοῦ ἔδειξε τίς πληγές του καί ἀφοῦ ἔξυσε μέ τό χέρι, ἔβγαλε τό κακάδι κομματιασμένο. Ἔπειτα ἔβαλε πάλι τό συκώτι στή θέση του καί μέ τό χέρι ἐξαφάνισε τό σημάδι. Μοῦ λέει: Νά, ἔχεις γίνει καλά· νά ὑπηρετεῖς τόν Δεσπότη Χριστό ὅπως πρέπει. Ἀπό κεῖ καί πέρα εἶμαι γερός, καί τόν ὑπόλοιπο καιρό ζῶ ἐδῶ χωρίς κόπους".

Τόν παρακάλεσα πολύ νά μείνω στήν προηγούμενή του σπηλιά, ἀλλά μοῦ εἶπε ὅτι δέν θά μπορέσω νά ὑποφέρω τίς ἐπιθέσεις τῶν δαιμόνων. Κι ἐγώ φοβήθηκα αὐτό, ἔτσι τόν παρακάλεσα νά κάνει εὐχή καί νά μ' ἀφήσει νά φύγω. Ἔκανε εὐχή καί ἔφυγα. Αὐτά σᾶς τά διηγήθηκα γιά ὠφέλειά σας».

27. Ἕνας ἄλλος πάλι Γέροντας, πού εἶχε ἀξιωθεῖ νά γίνει ἐπίσκοπος τῆς πόλης Ὀξύρρυγχος[18], ἔλεγε ὅτι τάχα τοῦ

18. Ὀξύρρυγχος: Ἀρχαία πόλη στό δυτικό ἄκρο τῆς κοιλάδας τοῦ Νείλου. Βλ. Μ. Γερ. τ. Γ΄, σελ. 432, ὑποσημ. 41.

πόλεως Ὀξυρρύγχου, ὡς περὶ ἑτέρου τινὸς αὐτὸ διηγησαμένου. Ἦν δὲ αὐτὸς ὁ τοῦτο πεποιηκώς.

Ἔδοξέ μοι ποτὲ εἰς τὴν ἔρημον τὴν ἐσωτέραν τὴν κατ᾽ ὄασιν εἰσελθεῖν, ἔνθα τὸ τῶν Μαζίκων γένος, καὶ ἰδεῖν εἴ που εὕρω τινὰ πτωχὸν δουλεύοντα τῷ Θεῷ. Καὶ δὴ λαβὼν ὀλίγα παξαμάτια καὶ ὡς ἡμερῶν τεσσάρων ὕδωρ τὴν πορείαν ἐποιούμην. Ὡς δὲ διῆλθον αἱ τέσσαρες ἡμέραι τῶν τροφῶν ἀναλωθεισῶν διηπόρουν τί πράξω. Καὶ θαρρήσας ἐξέδωκα ἐμαυτὸν καὶ διώδευσα ἄλλας τέσσαρας ἡμέρας μείνας ἄσιτος. Τῆς δὲ ἀσιτίας καὶ τοῦ κόπου τῆς ὁδοῦ τὴν τάσιν τοῦ σώματος μηκέτι φέροντος εἰς λιποθυμίαν ἦλθον. Καὶ δὴ ἐκείμην χαμαί.

Ἐλθὼν δέ τις τῷ δακτύλῳ αὐτοῦ ἥψατο τῶν χειλέων μου καθάπερ ἰατρὸς τῇ μήλῃ τῶν ὀφθαλμῶν παρατρέχων καὶ εὐθέως ἐνεδυναμώθην ὥστε νομίσαι μήτε ὡδευκέναι μήτε λιμῶξαι. Ὡς οὖν εἶδον τὴν δύναμιν ταύτην ἐπελθοῦσάν μοι ἀναστὰς διώδευον τὴν ἔρημον. Ὡς δὲ διῆλθον ἄλλαι τέσσαρες ἡμέραι, πάλιν ἠτόνησα καὶ ἐξέτεινα τὰς χεῖράς μου εἰς τὸν οὐρανόν. Καὶ ἰδού, ὁ ἀνὴρ ὁ τὸ πρότερον ἐνδυναμώσας με καὶ πάλιν τῷ δακτύλῳ αὐτοῦ χρίσας τὰ χείλη μου ἐστερέωσέ με.

Διῆλθον δὲ ἡμέραι δεκαεπτά. Καὶ μετὰ ταύτας εὑρίσκω καλύβην καὶ ὕδωρ καὶ φοίνικα καὶ ἄνδρα στήκοντα, οὗ αἱ τρίχες τῆς κεφαλῆς ἦσαν ἔνδυμα αὐτῷ. Πεπολιωμέναι πᾶσαι ὑπῆρχον, καὶ φοβερὸς δὲ ἦν τῇ ὄψει. Ὡς δὲ ἐθεάσατό με ἔστη εἰς προσευχήν. Καὶ τελέσας τὸ Ἀμὴν ἔγνω εἶναί με ἄνθρωπον. Κρατήσας οὖν τῆς χειρός μου ἠρώτα λέγων· Πῶς ἐνταῦθα παραγέγονας; Καὶ εἰ ἔτι συνέστηκε πάντα τὰ ἐν τῷ κόσμῳ, καὶ εἰ ἐπικρατοῦσιν ἔτι οἱ διωγμοί. Ἐγὼ δὲ εἶπον· Χά-

διηγήθηκε κάποιος ἄλλος, ἐνῶ ὁ ἴδιος ἦταν πού τό εἶχε κάνει αὐτό.

«Κάποτε μοῦ φάνηκε καλό νά μπῶ στήν βαθύτερη ἔρημο περνώντας τήν ὄαση, ὅπου ζεῖ ἡ φυλή τῶν Μαζίκων, καί νά ἐρευνήσω μήπως κάπου βρῶ κάποιον φτωχό πού νά ὑπηρετεῖ τόν Θεό. Πῆρα λοιπόν λίγα παξιμάδια καί νερό γιά τέσσερις μέρες κι ἄρχισα τήν πορεία. Ὅταν πέρασαν οἱ τέσσερις μέρες καί ξοδεύτηκαν οἱ τροφές, προβληματιζόμουν τί θά κάνω. Βρῆκα ὅμως κουράγιο καί παρακίνησα τόν ἑαυτό μου καί ὁδοιπόρησα ἄλλες τέσσερις μέρες, μένοντας νηστικός. Καθώς ὅμως τό σῶμα δέν ἄντεχε ἄλλο τήν πίεση τῆς ἀσιτίας καί τοῦ κόπου τῆς ὁδοιπορίας, λιγοθύμησα· ἤμουν λοιπόν πεσμένος κατά γῆς.

Ξαφνικά ἦρθε κάποιος κι ἄγγιξε μέ τό δάχτυλο τά χείλη μου, ἔτσι ὅπως ὁ γιατρός πού μόλις καί ἐγγίζει μέ τό ἐργαλεῖο τά μάτια. Ἀμέσως δυνάμωσα, ὥστε νά μοῦ φαίνεται πώς οὔτε εἶχα διανύσει ἀπόσταση οὔτε πεινοῦσα. Μόλις ἀντιλήφθηκα αὐτή τή δύναμη πάνω μου, σηκώθηκα καί περπατοῦσα στήν ἔρημο. Ἀφοῦ πέρασαν ἄλλες τέσσερις μέρες, πάλι ἔνιωσα ἀδυναμία, κι ἅπλωσα τά χέρια στόν οὐρανό. Καί νά, ἐμφανίστηκε ὁ ἄνδρας πού μέ εἶχε δυναμώσει τήν προηγούμενη φορά. Πάλι μέ τό δάχτυλό του ἀκούμπησε τά χείλη μου καί μέ στερέωσε.

Πέρασαν δεκαεφτά μέρες. Ἔπειτα ἀπ᾽ αὐτές βρίσκω ἕνα καλύβι καί νερό καί φοίνικα κι ἕναν ἄνδρα νά στέκεται, πού τά μαλλιά ἀπό τό κεφάλι του ἦταν ἔνδυμά του. Τά μαλλιά του ἦταν κάτασπρα καί κεῖνος φοβερός στήν ὄψη. Μόλις μέ εἶδε, στάθηκε γιά προσευχή. Ὅταν εἶπε καί τό Ἀμήν κατάλαβε ὅτι εἶμαι ἄνθρωπος. Μέ κράτησε ἀπό τό χέρι καί μέ ρωτοῦσε: "Πῶς ἔφτασες ἐδῶ;" καί ἄν ὅλα τά τοῦ κόσμου βρίσκονται ἀκόμη στή θέση τους καί ἄν οἱ διωγμοί ἀκόμη συνεχίζουν. Ἐγώ τοῦ εἶπα: "Γιά σᾶς πού

ριν ὑμῶν τῶν ἐν ἀληθείᾳ δουλευόντων τῷ δεσπότῃ Χριστῷ ταύτην τὴν ἔρημον διέρχομαι. Τὰ δὲ τοῦ διωγμοῦ πέπαυται διὰ τῆς χάριτος τοῦ Χριστοῦ. Φράσον δέ μοι καὶ αὐτὸς πῶς ἐνταῦθα παραγέγονας.

Ὁ δὲ ἀποδυρόμενος ἤρξατο λέγειν· Ἐγὼ ἐπίσκοπος ἐτύγχανον, καὶ διωγμοῦ γενομένου καὶ πολλῶν τιμωριῶν προσενεχθεισῶν μοι, μὴ δυνηθεὶς ὑπενεγκεῖν τοὺς αἰκισμούς, ἐπέθυσα. Ὡς δὲ ἐν ἐμαυτῷ ἐγενόμην καὶ ἐπέγνων τὴν ἀνομίαν μου ἐξέδωκα ἐμαυτὸν ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ. Καί εἰμι ἐνταῦθα διάγων ἔτη τεσσαράκοντα ἐννέα ἐξομολογούμενος καὶ παρακαλῶν τὸν Θεόν, εἴ πως ἀφεθήσεταί μοι ἡ ἁμαρτία μου. Καὶ τὴν μὲν τροφὴν παρέσχετό μοι ὁ Κύριος ἐκ τοῦ φοίνικος τούτου, παράκλησιν δὲ τῆς συγχωρήσεως οὐκ ἔλαβον ἕως ἐτῶν τεσσαράκοντα ὀκτώ. Ἐν δὲ τῷ ἐνιαυτῷ τούτῳ παρεκλήθην.

Ὡς δὲ ταῦτα ἔλεγεν, ἄφνω ἀναστὰς δρομαίως ἔξω ἔστη εἰς προσευχὴν ἐπὶ πολλὰς ὥρας. Ὡς δὲ ἐτέλεσε τὴν προσευχήν, ἦλθε πρός με. Ἐγὼ δὲ θεωρήσας τὸ πρόσωπον αὐτοῦ εἰς ἔκπληξιν ἦλθον καὶ δειλίαν· ἦν γὰρ γενόμενος ὡς πῦρ. Εἶπε δέ μοι· Μὴ φοβοῦ. Καὶ γὰρ ὁ Κύριος ἀπέσταλκέ σε, ἵνα κηδεύσῃς μου τὸ σῶμα. Ὡς δὲ ἐτέλεσε λέγων, εὐθὺς ἐκτείνας τὰς χεῖρας καὶ τοὺς πόδας τέλος ἔσχε τοῦ βίου.

Παραλύσας δὲ ἐγὼ τὸν λεβήτονά μου τὸ ἥμισυ ἐμαυτῷ ἐάσας καὶ τῷ ἡμίσει περιτυλίξας τὸ σῶμα αὐτοῦ τὸ ἅγιον ἀπέκρυψα αὐτὸ ἐν τῇ γῇ. Ὡς δὲ ἔθαψα αὐτό, εὐθέως ὁ φοῖνιξ ἐξηράνθη, καὶ ἡ καλύβη ἔπεσεν. Ἐγὼ δὲ πολλὰ ἔκλαυσα δεόμενος τοῦ Θεοῦ, εἴ πως παράσχει μοι τὸν φοίνικα, καὶ διατελέσω ἐν τῷ τόπῳ τὸν ἐπίλοιπόν μου χρόνον. Ὡς δὲ οὐκ ἐγένετο τοῦτο, εἶπον ἐν ἐμαυτῷ μὴ εἶναι θέλημα Θεοῦ. Εὐξάμενος οὖν ὥρμησα πάλιν ἐπὶ τὴν οἰκουμένην. Καὶ ἰδοὺ ὁ ἄνθρωπος ὁ χρίσας τὰ χείλη μου ἦλθε καὶ ἐνεδυνάμωσέ με. Καὶ οὕτως ἔφθασα ἐλθεῖν πρὸς τοὺς ἀδελφούς. Καὶ διηγησάμην

δουλεύετε ἀληθινά στόν Δεσπότη Χριστό περνῶ μέσα ἀπ' αὐτήν τήν ἔρημο. Ὁ διωγμός, μέ τή χάρη τοῦ Χριστοῦ, ἔχει σταματήσει. Πές μου κι ἐσύ ὅμως, πῶς ἔχεις ἔρθει ἐδῶ;"

Ἄρχισε μέ κλάματα νά λέει: "Ἤμουν ἐπίσκοπος κι ὅταν ἔγινε διωγμός, μέ ὑπέβαλαν σέ πολλές τιμωρίες, ἀλλά δέν μπόρεσα νά ὑποφέρω τίς κακοποιήσεις κι ἔκανα θυσία σέ βωμό. Μόλις ὅμως συνῆλθα καί κατάλαβα τήν ἀνομία μου, ἔριξα τόν ἑαυτό μου νά πεθάνει σ' αὐτή τήν ἔρημο. Ἔτσι εἶμαι ἐδῶ σαράντα ἐννιά χρόνια, ὁμολογώντας τήν ἁμαρτία μου καί παρακαλώντας τόν Θεό μήπως καί μοῦ τήν συγχωρήσει. Τήν τροφή μοῦ τήν ἔδωσε ὁ Κύριος ἀπό αὐτήν τή φοινικιά, ἀλλά τήν παρηγοριά γιά τή συγχώρηση δέν τήν εἶχα πάρει σαράντα ὀχτώ χρόνια. Τή χρονιά ὅμως αὐτή παρηγορήθηκα".

Ἐνῶ τά ἔλεγε αὐτά, ξαφνικά σηκώθηκε καί τρεχάτος στάθηκε ἔξω σέ προσευχή γιά πολλές ὧρες. Μόλις τελείωσε τήν προσευχή, γύρισε σέ μένα. Πρόσεξα τό πρόσωπό του. Ἔμεινα κατάπληκτος. Δείλιασα· ἦταν ὅλος σάν φωτιά. Μοῦ λέει: "Μή φοβᾶσαι· ἐξάλλου ὁ Κύριος σέ ἔστειλε, γιά νά κηδέψεις τό σῶμα μου". Μέ τά λόγια αὐτά ἀμέσως ἅπλωσε τά χέρια καί τά πόδια. Ἦταν τό τέλος του.

Ἔλυσα τό πανωφόρι μου. Τό μισό τό ἄφησα γιά μένα καί μέ τό ἄλλο μισό περιτύλιξα τό ἅγιο σῶμα του καί τό ἔκρυψα στή γῆ. Μόλις τό ἔθαψα, ἀμέσως ὁ φοίνικας ξεράθηκε καί τό καλύβι ἔπεσε. Ἐγώ ἔκλαψα πολύ, παρακαλώντας τόν Θεό μήπως μοῦ δώσει τόν φοίνικα καί περάσω τή ζωή μου τήν ὑπόλοιπη σέ κεῖνο τόν τόπο. Ἐπειδή ὅμως αὐτό δέν ἔγινε, εἶπα στόν ἑαυτό μου ὅτι δέν εἶναι θέλημα Θεοῦ. Ἔκανα προσευχή καί κίνησα πάλι γρήγορα γιά τήν κατοικημένη περιοχή.

Καί νά, ὁ ἄνθρωπος πού μοῦ εἶχε ἀγγίξει τά χείλη, ἦρθε καί μέ ἐνίσχυσε. Ἔτσι μπόρεσα νά ρθῶ στούς ἀδελ-

πάντα αὐτοῖς καὶ παρεκάλουν μὴ ἀπελπίζειν ἑαυτῶν, ἀλλὰ τῇ ὑπομονῇ εὑρίσκειν τὸν Θεόν.

28. Δύο τινὲς μεγάλοι Γέροντες ὥδευον εἰς τὴν ἔρημον τῆς Σκήτεως. Καὶ ἀκούσαντές τινος γογγύζοντος ἐκ τῆς γῆς ἐζήτησαν τὴν εἴσοδον τοῦ σπηλαίου. Καὶ εἰσελθόντες εὗρόν τινα γραΐδα παρθένον ἁγίαν κειμένην. Καὶ λέγουσιν αὐτῇ· Πότε ἦλθες ὧδε, γραῦ; καὶ τίς ἐστιν ὁ διακονῶν σοι; Οὐδὲν γὰρ εὗρον ἐν τῷ σπηλαίῳ, εἰ μὴ αὐτὴν μόνην κειμένην καὶ ἀσθενοῦσαν. Ἡ δὲ εἶπε· Τριακοστὸν ὄγδοον ἔτος ἔχω ἐν τῷ σπηλαίῳ τούτῳ βοτάναις ἀρκουμένη καὶ δουλεύουσα τῷ Χριστῷ, καὶ οὐκ εἶδον ἄνθρωπον, εἰ μὴ σήμερον. Ἀπέστειλε γὰρ ὑμᾶς ὁ Θεός, ἵνα θάψητέ μου τὸ λείψανον. Καὶ εἰποῦσα τοῦτο ἐκοιμήθη. Οἱ δὲ Γέροντες δοξάσαντες τὸν Θεὸν καὶ θάψαντες τὸ σῶμα ἀνεχώρησαν.

29. Διηγήσαντο περί τινος ἀναχωρητοῦ ὅτι ἐξῆλθεν εἰς τὴν ἔρημον ἔχων λεβήτονα μόνον. Καὶ περιπατήσας τρεῖς ἡμέρας ἀνέβη εἰς πέτραν. Καὶ εἶδεν ὑποκάτω αὐτῆς χλόην καὶ ἄνθρωπον βοσκόμενον ὡς τὰ θηρία. Καὶ κατέβη ἐν κρυφῇ καὶ ἐπίασεν αὐτόν. Ὁ δὲ Γέρων γυμνὸς ἦν καὶ ὠλιγώρησε μὴ δυνάμενος βαστάξαι τὴν ὀσμὴν τῶν ἀνθρώπων. Ἠδυνήθη δὲ ἐξειλῆσαι καὶ φυγεῖν ἀπ' αὐτοῦ. Ὁ δὲ ἀδελφὸς κατεδίωξεν ὀπίσω αὐτοῦ κράζων· Διὰ τὸν Θεὸν διώκω σε, μεῖνόν με. Ὁ δὲ στραφεὶς εἶπεν αὐτῷ· Κἀγὼ διὰ τὸν Θεὸν φεύγω ἀπὸ σοῦ. Καὶ ῥίψας τὸν λεβήτονα αὐτοῦ ἐδίωξεν ὀπίσω αὐτοῦ. Ὡς δὲ εἶδεν ὅτι ἔρριψε τὸ ἱμάτιον ἀπ' αὐτοῦ, ἐδέξατο αὐτὸν καὶ εἶπεν· Ὅτε ἔρριψας τὴν ὕλην τοῦ κόσμου ἀπὸ σοῦ, κἀγὼ περιέμεινα.

φούς. Τούς τά διηγήθηκα ὅλα καί τούς παρακαλοῦσα νά μήν ἀπελπίζονται ἀπό τόν ἑαυτό τους ἀλλά μέ τήν ὑπομονή νά βρίσκουν τόν Θεό».

28. Δύο μεγάλοι Γέροντες προχωροῦσαν στήν ἔρημο τῆς Σκήτης. Σέ μιά στιγμή ἄκουσαν κάποιος νά βογγάει ἀπό τή γῆ καί ἀναζήτησαν τήν εἴσοδο τῆς σπηλιᾶς. Μπῆκαν μέσα καί βρίσκουν μιά γριά παρθένα ἁγία ξαπλωμένη. Τήν ρωτοῦν: «Πότε ἦρθες ἐδῶ, γερόντισσα, καί ποιός σέ διακονεῖ;» Τῆς τό ρώτησαν αὐτό, γιατί δέν βρῆκαν τίποτε στή σπηλιά, παρά μόνον αὐτήν πλαγιασμένη καί ἄρρωστη. Ἐκείνη ἀπάντησε: «Τριάντα ὀκτώ χρόνια ἔχω στή σπηλιά αὐτή, ἀρκουμένη στά βότανα καί ὑπηρετώντας τόν Χριστό. Δέν ἔχω δεῖ ἄνθρωπο, παρά σήμερα. Ὁ Θεός βέβαια σᾶς ἔστειλε, γιά νά μοῦ θάψετε τό λείψανο». Αὐτό εἶπε καί ἀναπαύτηκε. Οἱ Γέροντες δόξασαν τόν Θεό, ἔθαψαν τό σῶμα της καί ἔφυγαν.

29. Διηγήθηκαν γιά κάποιον ἀναχωρητή ὅτι βγῆκε στήν ἔρημο ἔχοντας μόνο τό πανωφόρι του. Ἀφοῦ περπάτησε τρεῖς μέρες, ἀνέβηκε σέ βράχο. Κάτω ἀπ' αὐτόν εἶδε χορτάρι κι ἕναν ἄνθρωπο νά τρέφεται ἀπ' αὐτό ὅπως τά θηρία. Κατέβηκε κρυφά καί τόν ἔπιασε. Ὁ Γέροντας ἦταν γυμνός καί δυσφόρησε, γιατί δέν μποροῦσε νά βαστάξει τήν παρουσία τῶν ἀνθρώπων. Μπόρεσε νά ξεγλυστρήσει καί νά φύγει ἀπ' τά χέρια του. Ὁ ἀδελφός τόν κυνήγησε φωνάζοντας: «Γιά τό ὄνομα τοῦ Θεοῦ ἔρχομαι ἀπό πίσω σου· περίμενέ με». Ἐκεῖνος στράφηκε καί τοῦ λέει: «Κι ἐγώ γιά τό ὄνομα τοῦ Θεοῦ φεύγω ἀπό σένα». Τότε ἔριξε τό πανωφόρι του κι ἔτρεχε ἀπό πίσω του. Μόλις εἶδε ὅτι ἔριξε τό ροῦχο ἀπό πάνω του, τόν δέχτηκε καί τοῦ εἶπε: «Ὅταν πέταξες τά γήινα ἀπό πάνω σου, κι ἐγώ σέ περίμενα».

Παρεκάλει δὲ αὐτὸν ὁ ἀδελφὸς λέγων· Πάτερ, εἰπέ μοι ῥῆμα, πῶς σωθῶ. Ὁ δὲ εἶπεν αὐτῷ· Φεῦγε τοὺς ἀνθρώπους καὶ σιώπα καὶ σώζῃ.

30. Ἄλλος τις ἀναχωρητὴς πλαζόμενος ἐν τῇ ἐρήμῳ ἔλεγεν ἐν ἑαυτῷ ὅτι· Κατώρθωσα τὰς ἀρετάς. Καὶ ηὔξατο τῷ Θεῷ λέγων· Κύριε, δεῖξόν μοι, ἐὰν ὑστερῶ τι, καὶ ποιήσω. Καὶ θέλων ὁ Θεὸς ταπεινῶσαι τὸν λογισμὸν αὐτοῦ λέγει αὐτῷ· Ὕπαγε πρὸς τόνδε τὸν ἀρχιμανδρίτην καὶ εἴ τι σοι λέγει ποίησον. Ἀπεκάλυψε δὲ ὁ Θεὸς τῷ ἀρχιμανδρίτῃ λέγων· Ἰδοὺ ὁ δεῖνα ὁ ἀναχωρητὴς ἔρχεται πρός σε. Εἰπὲ αὐτῷ λαβεῖν φραγγέλιον καὶ βόσκειν τοὺς χοίρους.

Ἐλθὼν δὲ ὁ Γέρων ἔκρουσε τὴν θύραν. Καὶ εἰσελθὼν πρὸς τὸν ἀρχιμανδρίτην ἀσπασάμενοι ἀλλήλους ἐκάθησαν. Καὶ λέγει ὁ ἀναχωρητής· Εἰπέ μοι τί ποιήσω, ἵνα σωθῶ. Καὶ λέγει αὐτῷ· Εἴ τι ἂν εἴπω σοι ποιεῖς; Καὶ λέγει· Ναί. Εἶπε δὲ αὐτῷ· Λάβε τὸ φραγγέλιον καὶ ὕπαγε βόσκε τοὺς χοίρους. Ὁ δὲ ἀπελθὼν ἔβοσκε τοὺς χοίρους. Οἱ δὲ ἰδόντες αὐτὸν καὶ ἀκούσαντες περὶ αὐτοῦ ὅτι βόσκει τοὺς χοίρους ἔλεγον· Ἴδε τὸν μέγαν ἀναχωρητὴν περὶ οὗ ἠκούσαμεν. Ἰδοὺ ἐξέστη ἡ καρδία αὐτοῦ καὶ δαιμόνιον ἔχει καὶ βόσκει τοὺς χοίρους. Ἰδὼν δὲ ὁ Θεὸς τὴν ταπείνωσιν αὐτοῦ, ὅτι οὕτως ὑπέμενε τοὺς ὀνειδισμοὺς τῶν ἀνθρώπων, ἀπέλυσεν αὐτόν.

---

19. Ἀρχιμανδρίτες λέγονταν ἀρχικά οἱ ἔχοντες τήν ἐπιστασία μοναστικοῦ οἰκισμοῦ. Καί σήμερα ἀκόμη χρησιμοποιεῖται μέ τήν ἔννοια αὐτή ὁ ὅρος στίς μονές τοῦ Ἁγίου Ὄρους.

20. Τό ἀπόφθεγμα αὐτό ἀναφέρεται καί στό κεφ. ΙΕ΄, ἀπόφθ. 192. Δέν πρόκειται περί ἁπλῆς ἐπαναλήψεως. Ἡ ἀρετή –ἡ ὁποια γνήσια ἀρετή– δέν πηγαίνει ποτέ μόνη της, καί ἰδιαίτερα ἡ ταπεινοφροσύνη. Στό ΙΕ΄ κεφ. τό ἀπόφθ. 192 ἐκφράζει τήν κατά Θεόν πηγαία ταπεινοφροσύνη τοῦ ἀναχωρητῆ. Ἐδῶ, στό Περί πολιτείας ἐναρέτου, μπορεῖ ὁ ἀναγνώστης νά δεῖ ἄλλες ἀρετές πού συνοδεύουν τήν ταπείνωση. Προβάλλεται ἡ ὑπακοή, ἡ ὑπομονή,

Ὁ ἀδελφός τόν παρακαλοῦσε: «Πάτερ, πές μου ἕνα λόγο· πῶς θά σωθῶ;» Ἐκεῖνος εἶπε: «Νά ἀποφεύγεις τούς ἀνθρώπους, νά σιωπᾶς, καί σώζεσαι».

30. Ἕνας ἄλλος ἀναχωρητής πού περιπλανιόταν στήν ἔρημο ἔλεγε ἀπό μέσα του: «Κατόρθωσα τίς ἀρετές». Μιά φορά προσευχήθηκε στόν Θεό λέγοντας: «Κύριε, δεῖξε μου ἄν σέ κάτι ὑστερῶ, καί θά τό κάνω». Ὁ Θεός θέλοντας νά ταπεινώσει τόν λογισμό του, τοῦ λέει: «Πήγαινε στόν τάδε ἀρχιμανδρίτη[19] καί ὅ,τι σοῦ πεῖ νά τό κάνεις». Ὁ Θεός ἀποκάλυψε καί στόν ἀρχιμανδρίτη: «Ἰδού ὁ δεῖνα ἀναχωρητής ἔρχεται σέ σένα· πές του νά πάρει ἕνα καμτσίκι καί νά βόσκει τά γουρούνια».

Ἦρθε ὁ Γέροντας καί χτύπησε τήν πόρτα. Μπῆκε μέσα· ἀλληλοασπάστηκαν μέ τόν ἀρχιμανδρίτη καί κάθησαν. Λέει ὁ ἀναχωρητής: «Πές μου τί νά κάνω γιά νά σωθῶ». Τόν ρωτάει: «Ὅ,τι κι ἄν σοῦ πῶ θά τό κάνεις;» Ἀπαντᾶ: «Ναί». Τοῦ λέει: «Πάρε τό καμτσίκι καί πήγαινε νά βόσκεις τά γουρούνια».

Ἐκεῖνος πῆγε κι ἔβοσκε τά γουρούνια. Οἱ ἄλλοι πού τόν εἶδαν κι ἄκουσαν γι' αὐτόν ὅτι βόσκει τά γουρούνια, ἔλεγαν: «Κοίταξε τόν μεγάλο ἀναχωρητή πού ἔχουμε ἀκουστά! Νά, τρελάθηκε· δαιμόνιο ἔχει καί βόσκει τά γουρούνια». Ὁ Θεός ὅμως εἶδε τήν ταπείνωσή του, ὅτι τόσο γενναῖα ὑπέμενε τίς προσβολές τῶν ἀνθρώπων, καί τόν ἄφησε νά φύγει πάλι στήν ἔρημο.[20]

ἡ ἀνοχή στήν περιφρόνηση ἀπό μέρους τῶν ἀνθρώπων, καθώς μάλιστα ἦταν γνωστός ὡς μέγας ἀναχωρητής, κ.ἄ. Ἔτσι ἡ πολύπλευρη ἀρετή του κατοχυρώνει καί καταξιώνει τήν ἀρετή τῆς ταπεινοφροσύνης του, γιατί ἡ γνήσια ταπείνωση εἶναι αὐτή πού ἕλκει τήν Χάρη τοῦ Θεοῦ ἄνωθεν, *«ταπεινοῖς δίδωσι χάριν»* (Ἰακ. 4, 6), καί ἐξαγιάζεται ὁ ὅλος ἄνθρωπος.

31. Συμφωνηταὶ δύο ἐμόνασαν. Οὗτοι ἄσκησιν ὑπερβάλλουσαν καὶ βίον ἐνάρετον ἐπολιτεύσαντο. Συνέβη δὲ τὸν ἕνα κοινοβιάρχην γενέσθαι, ὁ δὲ ἄλλος ἀναχωρητὴς μείνας καὶ τελείως ἀσκήσας, θαύματα ἐποίει μεγάλα· ἰᾶτο δαιμονιῶντας καὶ προρρήσεις ἔλεγε καὶ νοσοῦντας ἐθεράπευεν. Ὁ οὖν ἀπὸ ἀσκητῶν κοινοβιάρχης γενόμενος ἀκούσας ὅτι τοσούτων χαρισμάτων ἠξιώθη ὁ συμφωνητὴς αὐτοῦ, ἡσύχασεν ἀπὸ τῶν ἀνθρώπων ἑβδομάδας τρεῖς, ἐκτενῶς δεόμενος τοῦ Θεοῦ ἀποκαλῦψαι αὐτῷ πῶς μὲν ἐκεῖνος θαυματουργεῖ καὶ περιβόητος παρὰ πᾶσι γέγονεν, ἐγὼ δὲ οὐδενὸς τούτων μετέλαβον.

Καὶ ὤφθη αὐτῷ ἄγγελος Κυρίου λέγων ὅτι· Ἐκεῖνος τῷ Θεῷ κάθηται στενάζων καὶ κλαίων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός, πεινῶν καὶ διψῶν διὰ τὸν Κύριον· σὺ δὲ πολλὰ μεριμνῶν ἔχεις τὴν τῶν πολλῶν συντυχίαν. Ἀρκεῖ σοι οὖν ἡ παράκλησις τῶν ἀνθρώπων.

32. Ἔλεγον περὶ τῶν Σκητιωτῶν ὅτι οὐχ ὑπῆρχεν ἔπαρσις ἐν μέσῳ αὐτῶν διὰ τὸ ὑπερβαίνειν ἀλλήλους ταῖς ἀρεταῖς. Ἦσαν δὲ νηστεύοντες. Καὶ ὁ μὲν διὰ δύο ἤσθιεν, ὁ δὲ διὰ τριῶν, ἄλλος δὲ διὰ τεσσάρων καὶ ἄλλος δι' ἑβδομάδος. Καὶ ὁ μὲν οὐκ ἤσθιεν ἄρτον, ὁ δὲ οὐκ ἔπινεν οἶνον, καὶ ἵνα εἴπω συντόμως, ἐν πάσῃ ἀρετῇ κεκοσμημένοι ἦσαν.

Τέλος τῆς περὶ πολιτείας ἐναρέτου πραγματείας.


31. Δύο ἄνθρωποι συμφώνησαν καί ἔγιναν ἀσκητές. Ἔκαναν μεγάλη ἄσκηση κι ἔζησαν ἐνάρετη ζωή. Ὁ ἕνας συνέβη νά γίνει ἡγούμενος κοινοβίου. Ὁ ἄλλος παρέμεινε ἀναχωρητής καί φτάνοντας στήν τελειότητα τῆς ἀσκήσεως, ἔκαμνε μεγάλα θαύματα: γιάτρευε δαιμονισμένους, ἔλαβε τό προορατικό χάρισμα, καί ἀρρώστους θεράπευε. Ἐκεῖνος πού ἀπό ἀσκητής ἔγινε κοινοβιάρχης, ὅταν ἄκουσε ὅτι τόσα χαρίσματα ἀξιώθηκε νά πάρει ὁ συνασκητής του, ἀπομονώθηκε γιά τρεῖς βδομάδες ἀπό τούς ἀνθρώπους καί προσευχήθηκε ἐκτενῶς στόν Θεό νά τοῦ φανερώσει «πῶς ἐκεῖνος κάνει θαύματα κι ἔχει γίνει περιβόητος σ' ὅλους, ἐγώ ὅμως σέ τίποτε ἀπ' αὐτά δέν μετέχω».

Παρουσιάστηκε ἄγγελος Κυρίου σ' αὐτόν καί τοῦ λέει: «Ἐκεῖνος τήν πνευματική ἐργασία του μέσα στό κελί τήν κάνει μέ στεναγμούς καί δάκρυα στόν Θεό μέρα καί νύχτα, πεινώντας καί διψώντας γιά χάρη τοῦ Κυρίου. Ἐσύ καθώς μεριμνᾶς γιά πολλά, ἔχεις τήν ἐπικοινωνία μέ τούς πολλούς· ἔ, σοῦ φτάνει ἡ παρηγοριά τῶν ἀνθρώπων».

32. Ἔλεγαν γιά τούς Σκητιῶτες ὅτι δέν ὑπῆρχε ὑπερηφάνεια ἀνάμεσά τους γιά τό ὅτι ξεπερνοῦσε ὁ ἕνας τόν ἄλλο στίς ἀρετές. Ἀσκοῦσαν κυρίως τή νηστεία· ὁ ἕνας ἔτρωγε κάθε δύο μέρες, ὁ ἄλλος κάθε τρεῖς, ἄλλος κάθε τέσσερις κι ἄλλος μιά φορά τήν ἑβδομάδα. Ἐπίσης, ἄλλος δέν ἔτρωγε ψωμί, ἄλλος δέν ἔπινε κρασί.

Γιά νά μιλήσω συνοπτικά, ἦταν στολισμένοι μέ κάθε ἀρετή.

Τέλος τῆς πραγματείας γιά τήν ἐνάρετη ζωή.




Ἡ μονὴ τοῦ ἁγίου Σάββα


ΚΕΦΑΛΑΙΟ
ΚΑ΄

Αὕτη ἐστὶν ἡ τελεία ἐργασία
τοῦ μοναχοῦ,
τὸ προσέχειν τῷ Θεῷ διαπαντὸς
ἀπερισπάστως.

(Ἀπόφθ. 14)




Διάλεξις ἁγίων Γερόντων κατὰ πεῦσιν καὶ ἀπόκρισιν




ῶς δεῖ εἶναι τὸν μοναχὸν ἐν τῷ κελλίῳ;
Ἀπόκρισις: Τοῦ ἀπέχεσθαι τῆς τῶν πολλῶν γνώσεως, ἵνα τοῦ λογισμοῦ σχολάζοντος ἡ γνῶσις τοῦ Κυρίου κατοικήσῃ.

2. Ἐρώτησις: Τί θέλει εἶναι ὁ μοναχός;
Ἀπόκρισις: Ὁ μοναχὸς περιστερά ἐστιν. Ὥσπερ γὰρ ἡ περιστερὰ ἐξέρχεται τῷ καιρῷ αὐτῆς εἰς τὸν ἀέρα ἐκτινάξαι τὰς πτέρυγας αὐτῆς, καὶ ἐὰν βραδύνῃ ἔξω τῆς κοίτης, ὑπὸ ἀγρίων θηρῶν κολαφιζομένη ἀπόλλει τὴν εὐπρέπειαν ἑαυτῆς, οὕτω καὶ ὁ μοναχός· ἐξέρχεται τῷ καιρῷ τῆς συνάξεως ἐκτινάξαι τοὺς λογισμοὺς ἑαυτοῦ, καὶ ἐὰν βραδύνῃ ἔξω τοῦ κελλίου, κολαφιζόμενος ὑπὸ τῶν δαιμόνων σκοτίζονται αὐτοῦ οἱ λογισμοί.

3. Ἐρ.: Ποίῳ λογισμῷ ἐκφέρει ὁ διάβολος τὸν μοναχὸν ἐκ τοῦ κελλίου;
Ἀπ.: Ὁ διάβολος ἐπαοιδός ἐστιν. Ὥσπερ γὰρ ὁ ἐπαοιδὸς ἁπαλοῖς λόγοις ἐκφέρει τὸ θηρίον ἐκ τοῦ φωλεοῦ καὶ ἐπιλαβόμενος αὐτοῦ ἐκφέρει ἐπιρρίπτων αὐτὸ εἰς τὰς πλατείας



Διάλογος ἁγίων Γερόντων μέ ἐρωτήσεις καί ἀποκρίσεις*



ῶς πρέπει νά εἶναι ὁ μοναχός στό κελί;
Ἀπόκριση: Νά ἀπέχει ἀπό τή γνώση τῶν πολλῶν πραγμάτων, ὥστε, καθώς ὁ λογισμός μένει ἐλεύθερος ἀπό τά διάφορα, νά κατοικήσει ἡ γνώση τοῦ Κυρίου.

2. Ἐρώτηση: Τί εἶναι ὁ μοναχός;
Ἀπόκριση: Ὁ μοναχός εἶναι σάν τήν περιστερά. Ὅπως ἡ περιστερά βγαίνει στόν ἀέρα τήν κατάλληλη στιγμή νά τινάξει τά φτερά της, κι ἄν καθυστερήσει ἔξω ἀπό τή φωλιά, δέχεται χτυπήματα ἀπό τά ἄγρια πουλιά καί χάνει τήν ὀμορφιά της, ἔτσι καί ὁ μοναχός· βγαίνει τήν ὥρα τῆς σύναξης νά ξετινάξει τούς λογισμούς του, κι ἄν ἀργοπορήσει ἔξω ἀπ' τό κελί, ραπίζεται ἀπό τούς δαίμονες καί σκοτεινιάζουν οἱ λογισμοί του.

3. Ἐρ.: Μέ ποιό λογισμό ὁ διάβολος βγάζει ἔξω ἀπό τό κελί τόν μοναχό;
Ἀπ.: Ὁ διάβολος εἶναι σάν τόν γητευτή τῶν φιδιῶν. Ὅπως ὁ γητευτής μέ μαγευτικά λόγια κάνει τό φίδι νά βγεῖ ἀπό τή φωλιά καί ἀφοῦ τό πιάσει, τό πάει καί τό ρίχνει

*Στά κεφ. ΚΑ' καί ΚΒ', τῶν ὁποίων τό περιεχόμενο δέν εἶναι ὁμοιογενές, ὡς τίτλος μπῆκε, ἐνδεικτικά ἁπλῶς, αὐτός τῆς πρώτης ἑνότητος τοῦ καθενός.

τῆς πόλεως καὶ ἀπολύει αὐτὸ εἰς χλεύασμα τῶν ἀνθρώπων, καὶ ὅταν καταγηράσῃ μετ᾽ αὐτοῦ ὕστερον ἢ πυρὶ αὐτὸ ἀναλίσκει ἢ καταποντίζει αὐτό, οὕτω καὶ ὁ μοναχὸς τὸν αὐτὸν τρόπον πάσχει, ὅταν ὑπὸ τῶν λογισμῶν ἑλκόμενος καταλίπῃ τὸ κελλίον αὐτοῦ.

4. Ἐρ.: Ἐὰν ἐξέλθῃ ἀδελφὸς εἰς διακονίαν, καὶ συναντήσῃ αὐτῷ γυνὴ κατὰ τὴν ὁδόν, πῶς δύναται φυγεῖν τὸν πόλεμον τῆς πορνείας;
Ἀπ.: Τὸν πόλεμον οὐ δύναται φυγεῖν. Τὴν δὲ πρᾶξιν δύναται ἐκφυγεῖν, ἐὰν σιωπήσῃ τῇ ὥρᾳ τῆς ἀπαντήσεως. Ὥσπερ γὰρ τὸ πυρέκβολον συγκρουόμενον μετὰ τοῦ θειαφίου ἐκβάλλει τὸ πῦρ, οὕτως ἡ λαλιὰ τῆς γυναικὸς συγκρουομένη μετὰ τοῦ ἀνδρὸς τὴν ἁμαρτίαν ἐργάζεται.

5. Ἐρ.: Ποίῳ λογισμῷ ἔρχεται ἡ πορνεία εἰς τὸν ἄνθρωπον;
Ἀπ.: Οὔτε μία οὔτε δύο οὔτε πέντε οὔτε δέκα ὁδοὶ ἀρκοῦσι τῇ πορνείᾳ. Πάντες γὰρ οἱ λογισμοὶ τοῦ διαβόλου τὴν πορνείαν ἔχουσι κεκρυμμένην.

6. Ἐρ.: Καλόν ἐστι κτήσασθαι δύο χιτῶνας;
Ἀπ.: Κτῆσαι δύο χιτῶνας καὶ μὴ κτήσῃ κακίαν τὴν σπιλοῦσαν ὅλον τὸ σῶμα. Ἡ γὰρ ψυχὴ οὐ χρείαν ἔχει τῆς κακίας. Τὸ δὲ σῶμα χρείαν ἔχει τῆς σκέπης. Ἔχοντες δὲ τὰ δέοντα καὶ τὰ αὐτάρκη τούτοις ἀρκεσθησώμεθα.

7. Ἐρ.: Πῶς δεῖ ἐπιτελεῖν τὴν λειτουργίαν τῆς ψαλμῳδίας καὶ τὸ μέτρον τῆς νηστείας;

1. Τό πονηρό, τήν φαυλότητα, τήν ἁμαρτία.

στίς πλατεῖες τῆς πόλης καί τό ἀφήνει ἐκεῖ νά τό περιπαίζουν οἱ ἄνθρωποι· κι ὅταν γεράσει πολύ μαζί του, ὕστερα ἤ τό θανατώνει στή φωτιά ἤ τό πνίγει στή θάλασσα, ἔτσι καί ὁ μοναχός τά ἴδια παθαίνει, ὅταν παρασύρεται ἀπ᾽ τούς λογισμούς καί ἐγκαταλείπει τό κελί του.

4. Ἐρ.: Ἄν ἕνας ἀδελφός βγεῖ γιά διακόνημα καί στόν δρόμο τόν συναντήσει μιά γυναίκα, πῶς μπορεῖ νά ἀποφύγει τόν πόλεμο τῆς πορνείας;
Ἀπ.: Τόν πόλεμο δέν μπορεῖ νά τόν ἀποφύγει· τήν πράξη μπορεῖ νά ξεφύγει, ἄν τήν ὥρα τῆς συνάντησης σιωπήσει. Ὅπως τό πυρέκβολο (τσακμάκι) ὅταν συγκρουστεῖ μέ τό θειάφι, βγάζει φωτιά, ἔτσι ἡ ὁμιλία τῆς γυναίκας ὅταν συναντᾶται μέ τοῦ ἄνδρα, προκαλεῖ τήν ἁμαρτία.

5. Ἐρ.: Μέ ποιό λογισμό ἔρχεται ἡ πορνεία στόν ἄνθρωπο;
Ἀπ.: Οὔτε ἕνας δρόμος οὔτε δύο οὔτε πέντε οὔτε δέκα εἶναι ἀρκετοί γιά τήν πορνεία. Γιατί ὅλοι οἱ λογισμοί πού προέρχονται ἀπό τόν διάβολο ἔχουν κρυμμένη τήν πορνεία.

6. Ἐρ.: Εἶναι καλό νά ἀποκτήσει κανείς δύο χιτῶνες;
Ἀπ.: Ἀπόκτησε δύο χιτῶνες· τό κακό[1] πού λερώνει ὅλο τό σῶμα νά μήν ἀποκτήσεις. Ἡ ψυχή ἄλλωστε δέν τό χρειάζεται τό κακό[2], ἐνῶ τό σῶμα ἔχει ἀνάγκη νά προστατεύεται μέ τά ἐνδύματα. Ἄν λοιπόν ἔχουμε τά ἀπαραίτητα κι αὐτά πού ἐπαρκοῦν στίς ἀνάγκες μας, μ᾽ αὐτά ἄς εἴμαστε ἱκανοποιημένοι[3].

7. Ἐρ.: Πῶς πρέπει νά γίνεται τό ἔργο τῆς ψαλμωδίας καί ποιό νά εἶναι τό μέτρο τῆς νηστείας;

2. Ἐννοεῖται: ὥστε νά τό ἐπιδιώξουμε.

3. Α΄ Τιμ. 6, 8.

Ἀπ.: Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον. Πολλοὶ γὰρ θέλοντες ὑπεράνω, ὕστερον οὔτε ὀλίγον ἴσχυσαν ἐκτελέσαι.

8. Ἐρ.: Ἐὰν βιάσηταί με ἀδελφός, ἵνα πίω ποτήριον οἴνου εἰς τὸ κελλίον αὐτοῦ, καλόν ἐστι τὸ ἀπελθεῖν;
Ἀπ.: Φεῦγε τὰς οἰνοποσίας καὶ σῴζη, ὥσπερ δορκὰς ἐκ βρόχων. Πολλοὶ γὰρ ἕνεκεν τῆς χρείας ταύτης ἐνέπεσον εἰς πτῶσιν λογισμῶν.

9. Ἐρ.: Ἐὰν σκανδαλίσῃ με ἀδελφός, θέλεις βάλλω αὐτῷ μετάνοιαν;
Ἀπ.: Βάλε αὐτῷ μετάνοιαν καὶ ἔκκοψον σεαυτὸν ἀπ᾽ αὐτοῦ. Ἔχομεν γὰρ τὸν ἀββᾶν Ἀρσένιον λέγοντα· Μετὰ πάντων ἀγάπην ἔχε καὶ ἀπὸ πάντων ἀπέχου.

10. Ἐρ.: Τί ἐστιν ἀνθρώπῳ τὸ προσενέγκαι εὐχαριστήριον εἰς τὴν ἐκκλησίαν;
Ἀπ.: Τὸ πρᾶγμα τοῦτο θησαυρός ἐστιν ἔμπροσθεν τοῦ Θεοῦ κείμενος. Καὶ ὃ βάλλεις ὧδε, ἄνω τρέχει.

11. Ἐρ.: Θέλω μαρτυρῆσαι διὰ τὸν Θεόν.
Ἀπ.: Ἐὰν ἐν καιρῷ ἀνάγκης ἀνέξηταί τις τοῦ πλησίον, ἴσον ἐστὶ τῆς καμίνου τῶν τριῶν Παίδων.

12. Ἐρ.: Διατί ἡ πορνεία ἐνοχλεῖ τῷ ἀνθρώπῳ;
Ἀπ.: Ἐπειδὴ οἶδεν ὁ διάβολος ὅτι ἡ πορνεία ἀλλοτρίους ἡμᾶς ποιεῖ τοῦ Πνεύματος τοῦ Ἁγίου· ἀκούει γὰρ τοῦ Κυρίου λέγοντος· Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.

4. Δαν. 3, 12 κ.ἑ.

Ἀπ.: Τίποτε παραπάνω ἀπ᾽ αὐτό πού ἔχει ὁρισθεῖ. Γιατί πολλοί θέλοντας τό παραπάνω, ὕστερα οὔτε τό λίγο μπόρεσαν νά ἐκτελέσουν.

8. Ἐρ.: Ἄν κάποιος ἀδελφός μέ πιέσει, γιά νά πιῶ ἕνα ποτήρι κρασί στό κελί του, εἶναι καλό νά τό ἀποφύγω;
Ἀπ.: Νά ἀποφεύγεις τό κρασί καί σώζεσαι, ὅπως τό ζαρκάδι ἀπ᾽ τίς παγίδες. Πολλοί ἐξαιτίας τῆς ἀνάγκης αὐτῆς, περιπλέχτηκαν σέ πτώση λογισμῶν.

9. Ἐρ.: Ἄν μέ σκανδαλίσει ὁ ἀδελφός, μέ συμβουλεύεις νά τοῦ βάλω μετάνοια;
Ἀπ.: Βάλε του μετάνοια και ξέκοψε ἀπ᾽ αὐτόν. Ἔχουμε τόν ἀββᾶ Ἀρσένιο πού λέει: Μέ ὅλους νά ἔχεις ἀγάπη κι ἀπ᾽ ὅλους νά βρίσκεσαι σέ ἀπόσταση.

10. Ἐρ.: Τί σημασία ἔχει γιά τόν ἄνθρωπο τό νά προσφέρει εὐχαριστήριο δῶρο στήν ἐκκλησία;
Ἀπ.: Αὐτό τό πράγμα εἶναι θησαυρός φυλαγμένος μπροστά στόν Θεό. Ὅ,τι βάζεις ἐδῶ, ἀμέσως πηγαίνει ἐπάνω.

11. Ἐρ.: Ἔχω ἐπιθυμία νά μαρτυρήσω γιά τόν Θεό.
Ἀπ.: Ἄν σέ ὥρα δύσκολη ὑπομείνει κανείς τόν πλησίον, αὐτό εἶναι ἴσο μέ τό καμίνι τῶν τριῶν Παίδων[4].

12. Ἐρ.: Γιατί ἡ πορνεία ἐνοχλεῖ τόν ἄνθρωπο;
Ἀπ.: Ἐπειδή ὁ διάβολος γνωρίζει ὅτι ἡ πορνεία μᾶς ἀποξενώνει ἀπό τό Πνεῦμα τό Ἅγιο, καθώς ἀκούει τόν Κύριο πού λέει: «Δέν θά παραμείνει τό Πνεῦμα μου σ᾽ αὐτούς τούς ἀνθρώπους, γιατί αὐτοί εἶναι σάρκες»[5].

5. Γέν. 6, 3.

Ἐρώτησις νεωτέρου πρὸς Θηβαῖον Γέροντα περὶ τοῦ πῶς δεῖ καθίσαι ἐν τῷ κελλίῳ

13. Ἐρ.: Πῶς δεῖ ἡσυχάζειν ἐν τῷ κελλίῳ;

Ἀπ.: Τὸ μὴ ἔχειν μνήμην ἀνθρώπου τὸ σύνολον ἐν τῷ κελλίῳ καθεζόμενον.

14. Ἐρ.: Ποίαν οὖν ὀφείλει ἔχειν ἐργασίαν ἡ καρδία, ἵνα εἰς ἑαυτὸν ἀσχολῆται;

Ἀπ.: Αὕτη ἐστὶν ἡ τελεία ἐργασία τοῦ μοναχοῦ, τὸ προσέχειν τῷ Θεῷ διαπαντὸς ἀπερισπάστως.

15. Ἐρ.: Πῶς ὀφείλει ἐκδιώκειν ὁ νοῦς τοὺς πονηροὺς λογισμούς;

Ἀπ.: Οὐ δύναται ἀφ' ἑαυτοῦ ὅλως τοῦτο ποιῆσαι· οὔτε γὰρ ἔχει ἰσχὺν τοιαύτην, ἀλλ' εἰ καὶ λογισμοῖς περιπέσει ἡ ψυχή, εὐθέως ὀφείλει καταφυγεῖν πρὸς τὸν ποιήσαντα αὐτὴν μετὰ δεήσεως, κἀκεῖνος αὐτοὺς διαλύει ὡς κηρόν. Ὁ γὰρ Θεὸς ἡμῶν πῦρ καταναλῖσκον.

16. Ἐρ.: Πῶς οὖν οἱ Πατέρες τῆς Σκήτεως τῷ ἀντιρρητικῷ λογισμῷ ἐχρῶντο;

Ἀπ.: Κἀκείνη μὲν ἡ ἐργασία μεγάλη καὶ ἐξαίρετος, κόπον δὲ ἔχουσα καὶ οὐ πᾶσιν ἀσφαλής.

17. Ἐρ.: Πῶς οὐ πᾶσιν ἀσφαλής;

Ἀπ.: Ὅταν λογισμὸς ἐπέλθη τῇ ψυχῇ καὶ δυνηθῇ πολλὰ ἀγωνισαμένη ἐκβαλεῖν αὐτόν, ἄλλος ἐπελθὼν περιλαμβάνει

6. Ἑβρ. 12, 29 καί Δευτ. 4, 24.

Ἐρώτηση ἑνός νέου σέ κάποιο Θηβαῖο Γέροντα γιά τό πῶς πρέπει νά κάνει τήν πνευματική ἐργασία στό κελί

13. Ἐρ.: Πῶς πρέπει νά "ἡσυχάζει" κανείς στό κελί;

Ἀπ.: Ὅταν κάνει τήν ἄσκηση στό κελί, διόλου νά μή θυμᾶται ἄνθρωπο.

14. Ἐρ.: Ποιά ἐργασία ὀφείλει ἡ καρδιά νά κάνει, γιά νά εἶναι στραμμένος ὁ μοναχός στόν ἑαυτό του;

Ἀπ.: Αὐτή εἶναι ἡ τέλεια ἐργασία τοῦ μοναχοῦ, τό νά ἔχει πάντοτε στραμμένη τήν προσοχή στόν Θεό χωρίς νά περισπᾶται ὁ νοῦς.

15. Ἐρ.: Πῶς ὀφείλει νά διώχνει ὁ νοῦς τούς πονηρούς λογισμούς;

Ἀπ.: Εἶναι ἐντελῶς ἀδύνατον ἀπό μόνος του νά τό κάνει αὐτό οὔτε ἔχει τέτοια δύναμη. Ἀλλά κι ἄν ἡ ψυχή πέσει σέ λογισμούς, ἀμέσως ὀφείλει νά καταφύγει σ' αὐτόν πού τήν ἔπλασε ἱκετεύοντάς τον, καί κεῖνος τούς διαλύει σάν κερί. Γιατί ὁ Θεός μας εἶναι φωτιά πού κατακαίει[6].

16. Ἐρ.: Πῶς λοιπόν οἱ Πατέρες τῆς Σκήτης χρησιμοποιοῦσαν τόν ἀντιρρητικό λογισμό[7];

Ἀπ.: Καί κείνη ἡ ἐργασία εἶναι μεγάλη καί σπουδαία, ὅμως ἔχει κόπο καί δέν εἶναι γιά ὅλους ἀκίνδυνη.

17. Ἐρ.: Πῶς δέν εἶναι ἀκίνδυνη γιά ὅλους;

Ἀπ.: Ὅταν ὁ λογισμός ἔρθει στήν ψυχή καί κείνη μπορέσει μέ πολύ ἀγώνα νά τόν ἀποκρούσει, ἔρχεται ἄλλος καί

7. Ἀντιρρητικός λογισμός λέγεται ἡ διά τῶν λογισμῶν ἐπιχειρηματολογία ἐναντίον ἄλλου λογισμοῦ.

τὴν ψυχήν· καὶ οὕτως, ὅλην τὴν ἡμέραν ἀντιλέγουσα τοῖς λογισμοῖς, οὐδέποτε σχολάζει τῇ τοῦ Θεοῦ θεωρίᾳ.

18. Ἐρ.: Ποίᾳ οὖν τέχνῃ καταφεύγει ὁ λογισμὸς πρὸς τὸν Θεόν;

Ἀπ.: Ἐάν σοι λογισμὸς πορνείας προσγένηται, εὐθέως ἀποσπάσας τὸν νοῦν ἀνένεγκαι αὐτὸν μετὰ σπουδῆς καὶ μὴ χρονίσῃς· τὸ γὰρ χρονίσαι συγκαταθέσεως ὅρον ἔχει.

19. Ἐρ.: Ἐὰν οὖν κενοδοξίας λογισμὸς ἐπέλθῃ, ὅτι κατώρθωσας ἀρετήν, οὐκ ὀφείλει ἀντιλέξαι ὁ λογισμός;

Ἀπ.: Οἱᾳδήποτε ὥρᾳ ἀντιλέγει τις, εὐθέως ἐκεῖνος ἰσχυρότερος καὶ ῥαγδαιότερος γίνεται. Πλεῖον γὰρ σοῦ εὑρίσκεται ἐκεῖνος ἀντιλέγων. Καὶ οὐ τοσοῦτον τὸ Πνεῦμα τὸ Ἅγιον ἀντιλαμβάνεταί σου· εὑρίσκῃ γὰρ ὡς μεγαλαυχῶν, ὅτι ἐμαυτῷ ἀρκοῦμαι μαχήσασθαι πρὸς τὰ πάθη. Ὥσπερ γὰρ ὁ πατέρα ἔχων πνευματικὸν τῷ πατρὶ παραχωρεῖ καὶ ἀμέριμνός ἐστι κατὰ πάντα καὶ μέριμναν οὐκέτι ἔχει παρὰ Θεῷ, οὕτω καὶ ὁ τῷ Θεῷ ἑαυτὸν ἐπιδοὺς οὐκ ὀφείλει ὅλως φροντίδα ποιῆσαι λογισμοῦ ἢ ἀντιλέξαι ἢ ὅλως ἐᾶσαι αὐτὸν εἰσελθεῖν.

Ἐὰν δὲ καὶ εἰσέλθῃ, ἄνω πρὸς τὸν Πατέρα σου ἆρον αὐτὸν καὶ εἰπὲ αὐτῷ· Ἐγὼ οὐκ ἔχω πρᾶγμα· ἰδοὺ ὁ Πατήρ μου, αὐτὸς οἶδε. Καὶ ἔτι ἀνάφερε αὐτόν, καὶ μέσον τῆς ὁδοῦ καταλείψας σε φεύγει· οὐ γὰρ δύναται ἐλθεῖν μετὰ σοῦ πρὸς ἐκεῖνον οὐδὲ στῆναι ἐνώπιον αὐτοῦ.

8. Θεωρία τοῦ Θεοῦ: Βλ. Μ. Γερ. τ. Γ', σελ. 287, ὑποσημ. 12.

τήν περιλαβαίνει. Ἔτσι ὅλη τή μέρα ἡ ψυχή ἀντιλέγοντας στούς λογισμούς, οὐδέποτε ἔχει καιρό γιά τή θεωρία τοῦ Θεοῦ[8].

18. Ἐρ.: Λοιπόν, μέ ποιά τέχνη καταφεύγει ὁ λογισμός στόν Θεό;

Ἀπ.: Ἂν σοῦ ἔρθει λογισμός πορνείας, ἀμέσως τράβηξε ἀπό κεῖ τόν νοῦ καί φέρτον ψηλά μέ βιασύνη. Μήν ἀργοπορήσεις, γιατί ἡ ἀργοπορία ἰσοδυναμεῖ μέ συγκατάθεση.

19. Ἐρ.: Ἂν ἔρθει λογισμός κενοδοξίας ὅτι κατόρθωσες ἀρετή, δέν ὀφείλει νά τόν ἀντικρούσει ὁ λογισμός;

Ἀπ.: Ὁποιαδήποτε ὥρα κανείς ἀντιλέγει στόν λογισμό, ἀμέσως ὁ λογισμός γίνεται πιό ἰσχυρός καί πιό ὁρμητικός· ἐκεῖνος μέ τήν ἀντιλογία του βρίσκεται σέ πλεονεκτικότερη θέση ἀπό σένα. Ἐπιπλέον τό Πνεῦμα τό Ἅγιο δέν σέ βοηθάει καί τόσο, γιατί παρουσιάζεσαι σάν νά καυχιέσαι, ὅτι δηλαδή μπορῶ ἐγώ νά τά βγάλω πέρα μέ τά πάθη.

Ὅπως ἐκεῖνος πού ἔχει πνευματικό πατέρα, στόν πατέρα τά ἀναθέτει καί εἶναι ἀμέριμνος γιά ὅλα καί οὔτε νοιάζεται πιά τί λόγο θά δώσει καί στόν Θεό, ἔτσι κι ἐκεῖνος πού παρέδωσε τόν ἑαυτό του στόν Θεό δέν πρέπει νά ἔχει καθόλου φροντίδα γιά τόν λογισμό ἤ νά ἀντιπαραταχθεῖ στόν λογισμό ἤ γενικά νά μήν τόν ἀφήσει νά μπεῖ μέσα του.

Ἂν γίνει καί μπεῖ, σύρε τον πάνω στόν Πατέρα σου[9] καί πές στόν λογισμό: «Ἐγώ δέν ἔχω τίποτε μέ σένα· νά ὁ Πατέρας μου· αὐτός ξέρει». Κι ἐπίμονα τράβα τον ἐπάνω, ὁπότε σ' ἀφήνει στά μισά τοῦ δρόμου καί φεύγει, γιατί δέν μπορεῖ νά ρθεῖ μαζί σου σέ Ἐκεῖνον οὔτε νά σταθεῖ μπροστά Του.

9. Ἐννοεῖ τόν Θεό.

Ταύτης τῆς ἐργασίας οὐκ ἔνι μείζων οὐδὲ ἀμεριμνοτέρα ἐν ὅλῃ τῇ Ἐκκλησίᾳ.

20. Ἐρ.: Πῶς οὖν οἱ Σκητιῶται ἐν τῷ ἀντιρρητικῷ λογισμῷ εὐηρέστησαν τῷ Θεῷ;

Ἀπ.: Ἐπειδὴ ἐκεῖνοι ἁπλότητι καὶ φόβῳ Θεοῦ ἐποίουν, διὰ τοῦτο ὁ Θεὸς ἀντελαμβάνετο αὐτῶν. Καὶ ὕστερον αὐτὴ ἡ ἐργασία τῆς θεωρίας ἦλθεν εἰς αὐτοὺς τοῦ Θεοῦ βουληθέντος διὰ τὸν πολὺν αὐτῶν κόπον καὶ τὴν φιλοθεΐαν.

Ἔλεγε δὲ ὁ μέγας ὁ καὶ ταῦτα διδάξας ὅτι· Γενομένου μου ποτὲ ἐν τῇ Σκήτει παρέβαλον ἑνὶ ἁγίῳ χρονίσαντι ἐκεῖ. Καὶ μόνον ἠσπάσατό με καθίσας μηδὲν ἕτερόν μοι ἀποκριθείς, ἀλλὰ καθήμενος ἐγὼ καὶ τῇ θεωρίᾳ σχολάζων κἀκεῖνος τὴν σειρὰν ἐργαζόμενος οὐκ ἀνένευσεν ὅλως προσέχειν μοι οὔτε φαγεῖν ἐπέτρεψεν, ἀλλὰ καίτοι ἔχων ἓξ ἡμέρας μὴ φαγὼν ἔμεινεν ὅλην τὴν ἡμέραν πλέκων.

Καὶ τῇ ἑξῆς ἡμέρᾳ περὶ ὥραν δεκάτην ἀποκρίνεται καὶ λέγει μοι· Ἀδελφέ, πόθεν ἔσχες τὴν ἐργασίαν ταύτην; Ἐγὼ δὲ εἶπον· Σὺ δὲ πόθεν εὗρες αὐτήν; Ἡμεῖς γὰρ ἐκ παιδόθεν ταύτην τὴν ἐργασίαν ἐδιδάχθημεν ἐκ τῶν πατέρων ἡμῶν. Ἔφη δὲ ὁ Σκητιώτης· Ἐγὼ μὲν τοιαύτην ἐργασίαν οὐ παρέλαβον ἐκ τῶν πατέρων μου, ἀλλ᾽ ὥσπερ ὁρᾷς με ἄρτι, οὕτως ἔμεινα ὅλον τὸν χρόνον μου, μικρὸν ἐργόχειρον καὶ μικρὰν μελέτην καὶ κατὰ δύναμιν καθαρεύειν τῷ λογισμῷ καὶ ἀντιλέγειν τοῖς ἐπερχομένοις. Καὶ οὕτω τὸ τῆς θεωρίας πνεῦμα ἦλθε ἐμοῦ μὴ εἰδότος μηδὲ ὅλως μαθόντος ὅτι τοιαύτην ἐργασίαν τινὲς ἔσχον. Καὶ ἀπεκρίθην· Ἐγὼ δὲ ἐκ παιδόθεν ταύτην ἐδιδάχθην.

Ἀπ᾽ αὐτή τήν ἐργασία ἀνώτερη καί πιό ἀμέριμνη δέν ὑπάρχει σ᾽ ὅλη τήν Ἐκκλησία.

20. Ἐρ.: Πῶς λοιπόν οἱ Σκητιῶτες εὐαρέστησαν στόν Θεό μέ τόν ἀντιρρητικό λογισμό;

Ἀπ.: Ἐπειδή ἐκεῖνοι ἐργάζονταν μέ ἁπλότητα καί φόβο Θεοῦ, γι᾽ αὐτό ὁ Θεός τούς βοηθοῦσε. Καί ἀργότερα ἦρθε σ᾽ αὐτούς αὐτή ἡ ἐργασία τῆς θεωρίας[10], ἐπειδή ὁ Θεός τό θέλησε γιά τόν μεγάλο τους κόπο καί τήν ἀγάπη τους σ᾽ Ἐκεῖνον.

Ὁ μεγάλος Γέροντας, αὐτός πού τά δίδαξε αὐτά, ἔλεγε: «Κάποτε, πού βρισκόμουν στή Σκήτη, ἐπισκέφθηκα ἕναν ἅγιο πού εἶχε χρόνια ἐκεῖ. Μόνο μέ χαιρέτισε καί κάθισε· τίποτε ἄλλο δέν εἶπε. Ἐγώ καθισμένος καί ἀφοσιωμένος στή θεωρία κι ἐκεῖνος πλέκοντας τή σειρά, δέν σήκωσε καθόλου τό κεφάλι νά μέ προσέξει οὔτε εἶπε νά φᾶμε, ἀλλά, ἄν καί εἶχε ἕξι μέρες νηστικός, ἔμεινε ὅλη τή μέρα πλέκοντας.

Τήν ἄλλη μέρα κατά τίς τέσσερις τό ἀπόγευμα παίρνει τόν λόγο καί μοῦ λέει: «Ἀδελφέ, ἀπό ποῦ ἔμαθες αὐτή τήν ἐργασία;» Ἐγώ εἶπα: «Ἐσύ ἀπό ποῦ τήν γνώρισες; Ἐμεῖς ἀπό τά παιδικά μας χρόνια διδαχτήκαμε αὐτή τήν ἐργασία ἀπό τούς Πατέρες μας». Ὁ Σκητιώτης εἶπε: «Ἐγώ τέτοια ἐργασία δέν πῆρα ἀπό τούς Πατέρες μου, ἀλλά ὅπως μέ βλέπεις τώρα, ἔτσι ἔμεινα ὅλα τά χρόνια μου: λίγο ἐργόχειρο καί λίγη μελέτη καί σύμφωνα μέ τή δύναμή μου νά κρατῶ καθαρό τόν λογισμό καί νά ἀντιλέγω σέ κείνους (τούς λογισμούς) πού ἔρχονταν. Καί ἔπειτα ἦρθε τό πνεῦμα τῆς θεωρίας, χωρίς ἐγώ νά ξέρω κι οὔτε καθόλου νά μάθω ὅτι εἶχαν τέτοια ἐργασία μερικοί». «Ἐγώ ὅμως, ἀποκρίθηκα, ἀπό παιδί τήν διδάχθηκα».

---

10. Βλ. Μ. Γερ. τ. Γ΄, σελ. 161-3, ὑποσημ. 115.

21. Ἐρ.: Ποίῳ τρόπῳ ὁ τοιοῦτος προσέχειν ὀφείλει τῇ θεωρίᾳ;

Ἀπ.: Καθὼς αἱ θεῖαι Γραφαὶ διδάσκουσιν ἡμᾶς· ὁ μὲν γὰρ Δανιὴλ ὡς παλαιῶν ἡμερῶν ἐθεώρει, ὁ δὲ Ἰεζεκιὴλ ἐπὶ ἅρματος χερουβικοῦ, ὁ δὲ Ἡσαΐας ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ὁ δὲ Μωυσῆς τὸν ἀόρατον ὡς ὁρῶν ἐκαρτέρει.

22. Ἐρ.: Πῶς δύναται θεωρεῖν ὁ νοῦς ὃ οὐδέποτε εἶδεν;

Ἀπ.: Βασιλέα οὐδέποτε εἶδες καθήμενον ὡς ἐπὶ τῶν εἰκόνων;

23. Ἐρ.: Καὶ ὀφείλει ὁ νοῦς διαγράφειν τὸ Θεῖον;

Ἀπ.: Οὐκ ἔστι κάλλιον διαγράψαι καὶ μὴ τοῖς ἀκαθάρτοις λογισμοῖς συγκατατίθεσθαι;

24. Ἐρ.: Μήποτε ὡς ἁμαρτία λογισθείη;

Ἀπ.: Κράτει τέως τοῦτο, ὡς οἱ προφῆται εἶδον ἱστορικῶς, καὶ αὐτὸ τὸ τέλειον ἔρχεται. Καθὼς καὶ ὁ ἀπόστολος λέγει· Βλέπομεν γὰρ ἄρτι δι᾽ ἐσόπτρου ἐν αἰνίγματι· τότε δὲ πρόσωπον πρὸς πρόσωπον. Τὸ δὲ τότε δηλοῖ, φησίν, ὅτε ὁ λογισμὸς τελειωθῇ, τότε παρρησίᾳ βλέπει.

25. Ἐρ.: Οὐκ ἔχει οὖν ἔκστασιν φρενῶν τοῦτο;

Ἀπ.: Οὐκ ἔχει ὅλως τὸ σύνολον, ἐάν τε ἐν ἀληθείᾳ ἀγωνίζεται.

11. Δαν. 7, 13-14.
12. Ἰεζ. 1, 2 κ.ἑ.
13. Ἡσ. 6, 1 κ.ἑ.
14. Ἑβρ. 11, 27.

21. Ἐρ.: Μέ ποιό τρόπο ὀφείλει νά ἔχει τόν νοῦ στή θεωρία αὐτός πού τήν διδάχθηκε;

Ἀπ.: Ὅπως μᾶς διδάσκουν οἱ θεῖες Γραφές: Ὁ Δανιήλ Τόν θεώρησε ὡς τόν Παλαιό τῶν ἡμερῶν[11], ὁ Ἰεζεκιήλ πάνω σέ χερουβικό ἅρμα[12], ὁ Ἠσαΐας πάνω σέ θρόνο ψηλό καί μεγαλόπρεπο[13], ὁ Μωυσῆς πρόσμενε καρτερικά τόν ἀόρατο ὡσάν νά τόν ἔβλεπε[14].

22. Ἐρ.: Πῶς μπορεῖ ὁ νοῦς νά θεωρεῖ αὐτό πού ποτέ δέν εἶδε;

Ἀπ.: Ποτέ δέν εἶδες βασιλιά στόν θρόνο του, ὅπως παρουσιάζεται σέ πίνακες;

23. Ἐρ.: Καί ὀφείλει ὁ νοῦς νά ἀναπαριστᾶ τή Θεότητα;

Ἀπ.: Δέν εἶναι καλύτερο νά τήν ἀναπαριστᾶ καί νά μήν δίνει συγκατάθεση στούς ἀκάθαρτους λογισμούς;

24. Ἐρ.: Μήπως καί θεωρηθεῖ ἁμαρτία;

Ἀπ.: Κράτα τώρα αὐτό, ὅπως τό εἶδαν οἱ προφῆτες "ἱστορικῶς"[15], καί τό ἴδιο τό τέλειο ἔπειτα ἔρχεται. Καθώς καί ὁ ἀπόστολος λέει: «Τώρα βλέπουμε θαμπά σάν μέσα ἀπό καθρέφτη· τότε ὅμως πρόσωπο μέ πρόσωπο θά δοῦμε τόν Θεό»[16]. Τό «τότε», λέει, σημαίνει ὅτι ὅταν ὁ λογισμός γίνει τέλειος, τότε βλέπει καθαρά.

25. Ἐρ.: Αὐτό δέν προκαλεῖ σάλεμα τοῦ νοῦ;

Ἀπ.: Γενικά καθόλου δέν προκαλεῖ, ἄν κανείς ἀγωνίζεται ἀληθινά.

15. Δηλαδή σύμφωνα μέ τίς διηγήσεις τῆς Π. Διαθήκης καί μέ συμβολικές παραστάσεις.

16. Α΄ Κορ. 13, 12.

Ἔλεγε δὲ καὶ τοῦτο, ὅτι· Ὅλην τὴν ἑβδομάδα ἐποίησα καὶ οὐκ ἐμνημόνευσα ἀνθρωπίνης μνήμης. Ἄλλος ἔφη ὅτι· Ἔμεινα περιπατῶν ἐν ὁδῷ ποτε καὶ ἀγγέλους δύο εἶδον ἔνθεν καὶ ἔνθεν περιπατοῦντας μετ᾽ ἐμοῦ· καὶ οὐ προσέσχον αὐτοῖς.

26. Ἐρ.: Καὶ διατί οὐ προσέσχεν;
Ἀπ.: Ἐπειδὴ γέγραπται ὅτι οὔτε ἄγγελος οὔτε πνεῦμα δύναται χωρίσαι ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ.

27. Ἐρ.: Πάντοτε δύναται ὁ νοῦς θεωρεῖν;
Ἀπ.: Εἰ καὶ μὴ πάντοτε, ἀλλ᾽ ὅταν ὁ λογισμὸς καταδυναστεύηται ὑπὸ τῶν παθῶν, μὴ χρονιζέτω τοῦ προσφεύγειν τῷ Θεῷ διὰ θεωρητικῆς προσευχῆς. Λέγω γάρ σοι ὅτι, ἐὰν ὁ λογισμὸς τελειωθῇ εἰς τοῦτο, εὐκοπώτερόν ἐστιν ὄρος κινῆσαι ἢ τὸν λογισμὸν κατελθεῖν ἐκεῖθεν. Ὥσπερ γὰρ κατάδικος ἐν σκότει φυλακιζόμενος, ἡνίκα ἀπολυθῇ καὶ τὸ φῶς ἴδῃ, οὐκέτι θέλει μνημονεῦσαι τοῦ σκότους, οὕτω καὶ ὁ λογισμὸς ὅταν ἄρξηται τὸ ἴδιον φέγγος ὁρᾷν.

Ἔλεγε γάρ τις τῶν Πατέρων ὅτι· Ποτὲ θέλων δοκιμάσαι τὸν λογισμόν μου εἰ ῥέμβεται, ἐὰν ἀπολύσω αὐτὸν εἰς τὸν κόσμον, ἀπέλυσα αὐτόν· καὶ ἐστάθη ἐπὶ τὸ αὐτὸ μὴ εἰδὼς ποῦ ἀπέλθῃ, ἕως οὗ πάλιν ᾗρα αὐτὸν ἄνω. Ἤδει γὰρ ὅτι εἰ ἀπέλθῃ ῥέμβεσθαι, δαμάσαι αὐτὸν εἶχον. Ταύτην δὲ τὴν ἐργασίαν ἡσυχία μετὰ ταπεινώσεως καὶ εὐχῆς κατορθοῖ· τὸ γὰρ συνεχῶς ἐν ταπεινώσει προσεύχεσθαι ταχὺ εἰς κατόρθωσιν φέρει τὸν νοῦν.

Ἔλεγε ἀκόμη κι αὐτό: «Πέρασε ὅλη ἡ ἑβδομάδα καί δέν θυμήθηκα ἄνθρωπο». Ἄλλος εἶπε: «Κάποτε περπατοῦσα στόν δρόμο καί εἶδα δύο ἄγγελοι νά περπατοῦν μαζί μου ἀπ᾽ τή μιά πλευρά κι ἀπ᾽ τήν ἄλλη, καί δέν ἔστρεψα τήν προσοχή μου σ᾽ αὐτούς».

26. Ἐρ.: Γιατί δέν τούς πρόσεξε;
Ἀπ.: Ἐπειδή ἔχει γραφεῖ ὅτι οὔτε ἄγγελος οὔτε πνεῦμα δέν μπορεῖ νά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Χριστοῦ[17].

27. Ἐρ.: Πάντοτε ὁ νοῦς μπορεῖ νά θεωρεῖ;
Ἀπ.: Ἄν καί ὄχι πάντοτε, ὅμως ὅταν ὁ λογισμός τυραννεῖται ἀπό τά πάθη, ἄς μήν καθυστερεῖ νά καταφεύγει στόν Θεό διά τῆς θεωρίας καί προσευχῆς. Σοῦ λέω ὅτι, ἄν ὁ λογισμός φθάσει στήν τελειότητα ὡς πρός αὐτό, εἶναι πιό εὔκολο νά μετακινήσεις ἕνα βουνό, παρά νά κατέβει ἀπό κεῖ ὁ λογισμός. Ὅπως δηλαδή ἕνας κατάδικος φυλακισμένος στό σκοτάδι, ὅταν ἀπολυθεῖ καί δεῖ τό φῶς, δέν θέλει πιά νά θυμᾶται τό σκοτάδι, ἔτσι κι ὁ λογισμός, ὅταν ἀρχίζει νά βλέπει τό δικό του φῶς.

Ἔλεγε κάποιος ἀπό τούς Πατέρες: «Κάποτε θέλοντας νά δοκιμάσω τόν λογισμό μου, ἄραγε θά περιπλανηθεῖ, ἄν τόν ἐξαπολύσω στόν κόσμο, τόν ἄφησα ἐλεύθερο· στάθηκε ἐκεῖ πού ἦταν, μή ξέροντας ποῦ νά πάει, μέχρις ὅτου πάλι τόν πῆρα ἐπάνω. Γιατί ἤξερε ὅτι ἄν πήγαινε νά περιτριγυρίζει, ἔπειτα ἐγώ θά τόν χαλιναγωγοῦσα». Αὐτή τήν ἐργασία τήν πραγματοποιεῖ μέ ἐπιτυχία ἡ ἡσυχαστική ζωή, ὅταν συνοδεύεται μέ ταπείνωση καί προσευχή. Διότι ἡ ἀδιάκοπη προσευχή, πού γίνεται μέ ταπείνωση, γρήγορα φέρνει τόν νοῦ σέ ἐπιτυχία.

17. Ρωμ. 8, 38-39.

28. Ἐρ.: Πῶς δύναταί τις πάντοτε προσεύχεσθαι; Ἀσθενεῖ γὰρ τὸ σῶμα πρὸς λειτουργίαν.

Ἀπ.: Οὐ μόνον τὸ στῆναι ἐν καιρῷ προσευχῆς ἐκείνη λέγεται προσευχή, ἀλλὰ τὸ πάντοτε.

29. Ἐρ.: Πῶς πάντοτε;

Ἀπ.: Εἴτε ἐσθίεις εἴτε πίνεις εἴτε ἐν ὁδῷ περιπατεῖς εἴτε τι ἔργον ποιεῖς, μὴ ἀποστῇς τῆς εὐχῆς.

30. Ἐρ.: Ἐὰν οὖν μετά τινος λαλῇ, πῶς δύναται τὸ πάντοτε προσεύχεσθαι πληρῶσαι;

Ἀπ.: Διὰ τοῦτο εἶπεν ὁ ἀπόστολος διὰ πάσης προσευχῆς καὶ δεήσεως. Ὅτε οὖν οὐ σχολάζεις μετὰ ἄλλου ὁμιλῶν προσεύξασθαι, διὰ δεήσεως προσεύχου.

31. Ἐρ.: Ποίαν εὐχὴν ὀφείλει προσεύχεσθαί τις;

Ἀπ.: Τὸ Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἑξῆς.

32. Ἐρ.: Πόσον μέτρον ὀφείλει ἔχειν ἡ εὐχή;

Ἀπ.: Μέτρον οὐκ ἐδήλωσε. Τὸ γὰρ εἰπεῖν πάντοτε καὶ ἀδιαλείπτως προσεύχεσθαι μέτρον οὐκ ἔχει. Ἔλεγε δὲ καὶ τοῦτο, ὅτι ὁ θέλων ταῦτα κατορθῶσαι ὀφείλει πάντας ἀνθρώπους ὡς ἕνα ὁρᾶν καὶ καταλαλιᾶς ἀπέχεσθαι.

Τέλος ἡ διάλεξις.

18. Ἐφ. 6, 18.

19. Νά προσεύχεσαι μέ δέηση: Τό νόημα ἐδῶ εἶναι μᾶλλον ὅτι ἡ ψυχή ἡ κατανενυγμένη ἔχει πάντοτε στάση προσευχῆς, εἴτε ἐργάζεται εἴτε ὁμιλεῖ εἴτε ἀκόμη κι ὅταν κοιμᾶται, κατά τό: *«Ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ»* (Ἆσμα ἀσμ. 5, 2). Ἔτσι, ὅσο κι ἄν εἶναι ἀπασχολημένος ὁ νοῦς σέ ἄλλο ἀντικείμενο, ἡ ψυχή κάνει ἐν σιωπῇ τό ἔργο της.

28. Ἐρ.: Πῶς μπορεῖ κανείς πάντοτε νά προσεύχεται; Γιατί τό σῶμα παρουσιάζει ἀδυναμία προκειμένου νά προσευχηθεῖ.

Ἀπ.: Προσευχή δέν λέγεται μόνο τό νά στέκεται κανείς τήν συγκεκριμένη ὥρα προσευχῆς καί νά προσεύχεται, ἀλλά τό νά προσεύχεται πάντοτε.

29. Ἐρ.: Πῶς πάντοτε;

Ἀπ.: Εἴτε τρῶς εἴτε πίνεις εἴτε περπατᾶς σέ δρόμο εἴτε κάποιο ἔργο κάνεις, νά μήν ἀφήνεις τήν προσευχή.

30. Ἐρ.: Ἄν ἕνας συνομιλεῖ μέ κάποιον, πῶς μπορεῖ νά πραγματοποιήσει τό νά προσεύχεται πάντοτε;

Ἀπ.: Γι᾽ αὐτό εἶπε ὁ ἀπόστολος, μέ κάθε προσευχή καί δέηση[18]. Ἔτσι, ὅταν δέν εἶσαι ἐλεύθερος νά προσευχηθεῖς, καθώς συναναστρέφεσαι μέ ἄλλον, νά προσεύχεσαι μέ δέηση[19].

31. Ἐρ.: Μέ ποιά προσευχή ὀφείλει νά προσεύχεται κανείς;

Ἀπ.: Νά λέει τό Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς κλπ.[20]

32. Ἐρ.: Πόσο μέτρο ὀφείλει νά ἔχει ἡ προσευχή;

Ἀπ.: Δέν ὅρισε μέτρο. Ἐφόσον εἶπε πάντοτε καί χωρίς διακοπή νά προσεύχεστε[21], δέν ἔχει μέτρο.

Ἔλεγε ἀκόμη κι αὐτό, ὅτι ἐκεῖνος πού θέλει νά τά κατορθώσει αὐτά, ὀφείλει ὅλους τούς ἀνθρώπους νά τούς βλέπει ὡς ἕναν καί νά μήν καταλαλεῖ.

Τέλος τοῦ διαλόγου.

20. Ματθ. 6, 9-13.

21. Α΄ Θεσ. 5, 17.

Ἀποφθέγματα τῶν ἐν ἀσκήσει γηρασάντων ἐν ἐπιτομῇ τὴν εἰς ἄκραν αὐτῶν ἀρετὴν δηλοῦντα

33. Ἠρωτήθη ὁ ἅγιος πατὴρ ἡμῶν Ἀθανάσιος, ὁ ἐπίσκοπος Ἀλεξανδρείας, πῶς ἴσος ὁ Υἱὸς τῷ Πατρί. Καὶ ἀπεκρίθη· Ὡς ἐν δυσὶν ὀφθαλμοῖς τὸ ὁρᾶν.

34. Ἠρωτήθη ὁ ἅγιος πατὴρ ἡμῶν Γρηγόριος ὁ Θεολόγος πῶς ἴσος ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα τῷ Πατρί. Καὶ ἀπεκρίθη· Οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλοις, μία τοῦ φωτὸς σύγκρασις ἡ θεότης.

35. Εἶπεν ὁ ἀββᾶς Ἠσαΐας ὅτι ἀρχάριος μεταβαίνων ἀπὸ μοναστηρίου εἰς μοναστήριον ἔοικε ζώῳ ὑπὸ φορβειᾶς ἐνταῦθα κἀκεῖσε ἐλαυνομένῳ.

36. Ἔλεγε πάλιν ὅτι, ἐὰν θέλῃ ὁ Θεὸς ψυχὴν ἐλεῆσαι, αὐτὴ δὲ ἀφηνιάζει καὶ οὐκ ἀνέχεται, ἀλλὰ τὸ θέλημα αὐτῆς ποιεῖ, συγχωρεῖ αὐτῇ παθεῖν ἅπερ οὐ θέλει, ἵνα οὕτως αὐτὸν ἐπιζητήσῃ.

37. Ἔλεγε πάλιν ὅτι, ἡνίκα τις βούλεται κακὸν ἀντὶ κακοῦ ἀποδοῦναι, δύναται καὶ διὰ νεύματος μόνον βλάψαι τὴν συνείδησιν τοῦ ἀδελφοῦ.

38. Ὁ αὐτὸς ἠρωτήθη τί ἐστι φιλαργυρία καὶ ἀπεκρίθη· Τὸ μὴ πιστεῦσαι τῷ Θεῷ ὅτι ποιεῖταί σου φροντίδα καὶ τὸ ἀπελπίσαι τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ καὶ τὸ φιλοπλατύνεσθαι.

Ἀποφθέγματα αὐτῶν πού γήρασαν στήν ἄσκηση· ἀποφθέγματα πού δηλώνουν σέ περιληπτική ἔκθεση τήν τελειότητα τῆς ἀρετῆς τους

33. Ρωτήθηκε ὁ ἅγιος πατέρας μας Ἀθανάσιος, ὁ ἐπίσκοπος τῆς Ἀλεξανδρείας, πῶς εἶναι ἴσος ὁ Υἱός μέ τόν Πατέρα, καί ἀποκρίθηκε: «Ὅπως ἡ ὅραση ἐνεργεῖται ἀπό δύο μάτια».

34. Ρώτησαν τόν ἅγιο πατέρα μας Γρηγόριο τόν Θεολόγο πῶς εἶναι ἴσος ὁ Υἱός καί τό Ἅγιο Πνεῦμα μέ τόν Πατέρα. Καί ἀποκρίθηκε: «Ὅπως συμβαίνει μέ τρεῖς συνεχιζόμενους ἥλιους· μία σύγκραση φωτός εἶναι ἡ θεότητα».

35. Ὁ ἀββᾶς Ἠσαΐας εἶπε ὅτι ὁ ἀρχάριος, πού πηγαίνει ἀπό ἕνα μοναστήρι σέ ἄλλο, μοιάζει μέ ζῶο πού μετακινεῖται ἐδῶ κι ἐκεῖ μέ χαλινάρι.

36. Ἔλεγε πάλι ὅτι, ἄν θέλει ὁ Θεός νά δείξει τό ἔλεός του σέ μιᾳ ψυχή κι αὐτή ξεφεύγει ἀπό τήν κανονική πορεία καί δέν δέχεται, ἀλλά κάνει τό θέλημά της, ἐπιτρέπει ὁ Θεός νά πάθει ἐκεῖνα πού δέν θέλει, ὥστε μ' αὐτόν τόν τρόπο νά Τόν ἐπιζητήσει.

37. Ἔλεγε πάλι ὅτι ὅταν κάποιος θέλει νά ἀνταποδώσει τό κακό πού τοῦ ἔκαναν, μπορεῖ καί μόνο μ' ἕνα νεῦμα νά βλάψει τή συνείδηση τοῦ ἀδελφοῦ.

38. Τόν ἴδιο τόν ρώτησαν τί εἶναι φιλαργυρία καί ἀπάντησε: «Τό νά μήν ἐμπιστεύεσαι στόν Θεό ὅτι ἔχει τή φροντίδα σου, νά μήν ἐλπίζεις στίς ὑποσχέσεις τοῦ Θεοῦ καί νά θέλεις νά φαίνεσαι σπουδαῖος».

39. Ἠρωτήθη πάλιν τί ἐστιν καταλαλιὰ καὶ ἀπεκρίθη· Τὸ μὴ γνῶναι τὴν δόξαν τοῦ Θεοῦ καὶ φθόνος πρὸς τὸν πλησίον.

40. Ἠρωτήθη πάλιν τί ἐστιν ὀργὴ καὶ ἀπεκρίθη· Ἔρις καὶ ψεῦδος καὶ ἀγνωσία.

41. Εἶπεν ὁ ἀββᾶς Ἠλίας ὁ τῆς διακονίας· Τί ἰσχύει ἁμαρτία, ὅπου ἐστὶ μετάνοια; καὶ τί ὠφελεῖ ἀγάπη, ἔνθα ἐστὶν ὑπερηφανία;

42. Εἶπε πάλιν· Οἱ ἄνθρωποι τὸν νοῦν ἔχουσιν ἢ εἰς τὰς ἁμαρτίας ἢ εἰς τὸν Ἰησοῦν ἢ πρὸς τοὺς ἀνθρώπους.

43. Εἶπεν ὁ ἀββᾶς Θεόδωρος· Πολλοὶ ἐν τῷ καιρῷ τούτῳ εἵλοντο τὴν ἀνάπαυσιν, πρὶν ὁ Θεὸς αὐτοῖς παράσχῃ.

44. Ἔλεγεν ἡ ἀμμᾶς Θεοδώρα ὅτι χριστιανός τις μετὰ Μανιχαίου διαλεγόμενος περὶ τοῦ σώματος ἔλεγεν· Δὸς τὸν νόμον τῷ σώματι καὶ ὄψει τὸ σῶμα τῷ πλάσαντι.

45. Ἠρώτησέ τις τῶν Γερόντων τὴν ἀμμᾶν Θεοδώραν λέγων· Ἐν τῇ ἀναστάσει τῶν νεκρῶν πῶς ἐγειρόμεθα; Ἡ δὲ εἶπεν· Ἔχομεν ἐνέχυρον τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα καὶ ἐγερθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν.

39. Ρωτήθηκε πάλι τί εἶναι καταλαλιά κι ἀποκρίθηκε: «Τό νά ἀγνοεῖ κανείς τή δόξα τοῦ Θεοῦ καί νά φθονεῖ τόν πλησίον του».

40. Ρωτήθηκε πάλι τί εἶναι ἡ ὀργή καί ἀπάντησε: «Φιλονικία, ψέμα καί ἔλλειψη γνώσης».

41. Εἶπε ὁ ἀββᾶς Ἠλίας, ὁ διακονητής: «Τί δύναμη ἔχει ἡ ἁμαρτία, ὅπου ὑπάρχει μετάνοια; Καί τί ὠφελεῖ ἡ ἀγάπη ἐκεῖ πού ὑπάρχει ὑπερηφάνεια;»

42. Εἶπε πάλι: «Οἱ ἄνθρωποι ἔχουν τόν νοῦ τους στραμμένο ἤ στίς ἁμαρτίες ἤ στόν Ἰησοῦ ἤ πρός τούς ἀνθρώπους».

43. Εἶπε ὁ ἀββᾶς Θεόδωρος: «Πολλοί στήν ἐποχή μας διάλεξαν τήν ἀνάπαυση, προτοῦ τούς τήν δώσει ὁ Θεός».

44. Ἔλεγε ἡ ἀμμᾶς Θεοδώρα ὅτι ἕνας χριστιανός, καθώς συζητοῦσε μέ ἕναν Μανιχαῖο[22], τοῦ εἶπε: «Δῶσε στό σῶμα τόν νόμο τοῦ Θεοῦ καί θά γνωρίσεις τό σῶμα διά μέσου τοῦ ἴδιου τοῦ Δημιουργοῦ του».

45. Ἕνας Γέροντας ρώτησε τήν ἀμμᾶ Θεοδώρα: «Στήν ἀνάσταση τῶν νεκρῶν πῶς θά ἀναστηθοῦμε;» Ἐκείνη ἀπάντησε: «Ἔχουμε ὡς ἐγγύηση τόν Χριστό, πού πέθανε γιά μᾶς κι ἀναστήθηκε, τόν Θεό μας».

22. Μανιχαϊσμός: Δυαρχική θρησκεία πού τήν ἵδρυσε ὁ Μάνης, Πέρσης θεολόγος, ἀπό τή Β. Βαβυλώνα κατά τόν 3ο μ.Χ. αἰ. Βλ. Μ. Γερ. τ. Γ΄, σελ. 438, ὑποσημ. 44. Γενικῶς ἡ θεωρία τοῦ Μάνη ἐντάσσεται στίς γραμμές τοῦ χριστιανικοῦ Γνωστικισμοῦ. Διακρίνονται σέ δύο παρατάξεις ἐκ τῶν ὁποίων ἡ μία ἐπιδιώκει τήν ἐγκράτεια καί ἡ ἄλλη τήν ἀκολασία. Ἡ κάθε μία μέ τόν τρόπο της ἐπιδιώκει νά φθείρει τή σάρκα πού εἶναι φορέας τῆς κακῆς ὕλης. Τό ἀπόφθ. ἐδῶ ὑπαινίσσεται τίς λαθεμένες καί ἀνεδαφικές θέσεις τῆς θεωρίας τους ὡς πρός τό ἀνθρώπινο σῶμα καί συνιστᾶ ὁ χριστιανός στόν Μανιχαῖο νά γνωρίσει ἀπό τόν νόμο τοῦ Θεοῦ, τοῦ Πλάστη, ποιά εἶναι ἡ ἀλήθεια γιά τό ἀνθρώπινο σῶμα.

46. Συνήχθησαν οἱ ἀδελφοί ποτε πρὸς τὸν ἀββᾶν Ἰωσήφ. Καὶ καθημένων αὐτῶν καὶ ἐπερωτώντων αὐτὸν ἔχαιρε καὶ προθυμούμενος ἔλεγεν αὐτοῖς· Ἐγὼ βασιλεύς εἰμι σήμερον· ἐβασίλευσα γὰρ ἐπὶ τὰ πάθη.

47. Εἶπεν ὁ ἀββᾶς Ἰάκωβος ὅτι· Οὐκ ἠθέλησα ποτὲ κοσμικὸν λόγον ἢ εἰπεῖν ἢ ἀκοῦσαι.

48. Εἶπεν ὁ ἀββᾶς Λογγῖνος τῷ ἀββᾷ Ἀκακίῳ· Ἡ γυνὴ τότε γινώσκει ὅτι συνέλαβεν, ὅταν σταλῇ τὸ αἷμα αὐτῆς· οὕτως οὖν καὶ ἡ ψυχή· τότε γινώσκει ὅτι συνέλαβε Πνεῦμα Ἅγιον, ὅταν σταλῇ τὰ ῥέοντα ἀπ᾽ αὐτῆς κάτωθεν πάθη. Ἐν ὅσῳ δὲ ἐνέχεται ἐν αὐτοῖς, πῶς δύναται κενοδοξεῖν ὡς ἀπαθής; Δὸς αἷμα καὶ λάβε Πνεῦμα.

49. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν ὅτι τὸ θέλημα καὶ ἡ ἀνάπαυσις καὶ ἡ τούτων συνήθεια καταβάλλει τὸν ἄνθρωπον.

50. Εἶπε πάλιν· Πολλοὶ ἐγένοντο δυνατοί, ὀλίγοι δὲ μή παροξύναντες.

51. Εἶπε πάλιν ὅτι τὸ διδάξαι τὸν πλησίον ὅμοιόν ἐστι τοῦ ἐλέγξαι.

52. Εἶπε πάλιν ὅτι ἀπὸ τρίτης γενεᾶς τῆς Σκήτεως καὶ τοῦ ἀββᾶ Μωυσέως οὐκ ἦλθον ἔτι οἱ ἀδελφοὶ εἰς προκοπήν.

46. Μαζεύτηκαν κάποτε οἱ ἀδελφοί στό κελί τοῦ ἀββᾶ Ἰωσήφ. Καθώς ἦταν καθισμένοι καί τοῦ ἔκαμναν ἐρωτήσεις, ἦταν χαρούμενος καί πολύ εὐδιάθετος τούς ἔλεγε: «Ἐγώ σήμερα εἶμαι βασιλιάς· γιατί βασίλευσα στά πάθη».

47. Ὁ ἀββᾶς Ἰάκωβος εἶπε: «Δέν θέλησα ποτέ νά πῶ ἤ νά ἀκούσω λόγο κοσμικό».

48. Ὁ ἀββᾶς Λογγίνος εἶπε στόν ἀββᾶ Ἀκάκιο: «Ἡ γυναίκα τότε καταλαβαίνει ὅτι ἔχει συλλάβει, ὅταν σταματήσει τό αἷμα της. Ἔτσι καί ἡ ψυχή τότε ξέρει ὅτι ἔχει συλλάβει Πνεῦμα Ἅγιο, ὅταν σταματήσουν τά πάθη τά χαμηλά πού ρέουν ἀπ᾽ αὐτήν. Ὅσο καιρό περιπλέκεται σ᾽ αὐτά, πῶς μπορεῖ νά ὑπερηφανεύεται σάν νά εἶναι τάχα ἀπαθής; Δῶσε αἷμα καί πάρε Πνεῦμα».

49. Ὁ ἀββᾶς Ποιμήν εἶπε ὅτι τό θέλημα καί ἡ ἀνάπαυση καί, προπαντός, ἡ συνήθεια σ᾽ αὐτά, ὁδηγοῦν τόν ἄνθρωπο στήν πτώση.

50. Εἶπε πάλι: «Πολλοί ἔγιναν δυνατοί, ἀλλά λίγοι αὐτοί πού δέν παρόργισαν[23]».

51. Εἶπε ἐπίσης ὅτι τό νά διδάξει κανείς τόν πλησίον εἶναι ὅμοιο μέ τό νά τόν ἐλέγξει.

52. Εἶπε πάλι ὅτι μετά ἀπό τήν τρίτη γενιά τῆς Σκήτης καί τοῦ ἀββᾶ Μωυσῆ οἱ ἀδελφοί δέν προχώρησαν πιά σέ προκοπή.

23. Δηλαδή πού δέν ἐρέθισαν, πού δέν προκάλεσαν τήν ὀργή τῶν ἄλλων.

53. Εἶπε πάλιν· Εἰ μὴ Μωυσῆς ἤγαγε τὰ πρόβατα εἰς τὴν ἔρημον, οὐκ ἂν εἶδε τὸν ἐπὶ τῆς βάτου.

54. Εἶπε πάλιν διὰ τοὺς παῖδας τοῦ Σεμεΐ ὅτι ἡ ὕλη ἐστὶ καὶ τὸ ἑαυτὸν δικαιῶσαι· ταῦτα γὰρ ἀναιροῦσι τὸν κτώμενον.

55. Εἶπεν ὁ ἀββᾶς Παῦλος· Ἀκολουθήσωμεν τῷ Ἰησοῦ.

56. Εἶπεν ὁ ἀββᾶς Σισόης· Ὅταν ᾖ ἄνθρωπος τὴν φροντίδα σου ποιούμενος, οὐ δεῖ σε διατάξαι.

57. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· Τί ποιήσω, ὅτι θλίβομαι διὰ τὸ ἐργόχειρον; ἀγαπῶ γὰρ τὴν σειρὰν καὶ οὐ δύναμαι αὐτὴν ἐργάσασθαι. Λέγει ὁ Γέρων ὅτι ὁ ἀββᾶς Σισόης ἔλεγεν ὡς οὐ χρὴ τὸ ἀναπαῦον ἡμᾶς ἔργον ἐργάζεσθαι.

58. Εἶπε πάλιν ὅτι πολλάκις ἡ μὴ αἰδὼς καὶ ἀφοβία φέρουσι τὴν ἁμαρτίαν.

59. Εἶπε Γέρων· Εἰ θέλεις νόμῳ Θεοῦ ζῆσαι, ὦ ἄνθρωπε, εὑρήσεις ἀντιλήπτορα τὸν νομοθέτην.

60. Εἶπε πάλιν· Εἰ θέλεις παρακοῦσαι τῶν ἐντολῶν τοῦ Θεοῦ ἑκών, εὑρήσεις τὸν διάβολον συντρέχοντά σου τῇ πτώσει.

---

24. Ἐξ. 3, 1-15.

25. Γ΄ Βασ. 2, 36-46. Ὁ Σεμεΐ βγαίνοντας ἀπό τήν Ἱερουσαλήμ, ὅπου ἦταν

53. Εἶπε πάλι: «Ἄν ὁ Μωυσῆς δέν ὁδηγοῦσε τά πρόβατα στήν ἔρημο δέν θά ἔβλεπε αὐτόν πού ἐμφανίστηκε στή βάτο»[24].

54. Εἶπε πάλι γιά τούς δούλους τοῦ Σεμεΐ[25] ὅτι συμβολίζουν τήν ὕλη καί τήν αὐτοδικαίωση· διότι αὐτά εἶναι πού ὁδηγοῦν στόν θάνατο ἐκεῖνον πού τά ἀπέκτησε.

55. Ὁ ἀββᾶς Παῦλος εἶπε: «Ἄς πηγαίνουμε πίσω ἀπό τόν Ἰησοῦ».

56. Ὁ ἀββᾶς Σισόης εἶπε: «Ὅταν ὑπάρχει ἄνθρωπος πού σέ φροντίζει, δέν πρέπει νά τόν διατάξεις».

57. Ἕνας ἀδελφός ρώτησε κάποιον Γέροντα: «Τί νά κάνω, πού ἔχω λύπη μέ τό ἐργόχειρο; Μοῦ ἀρέσει τό πλέξιμο τοῦ σχοινιοῦ, ἀλλά δέν μπορῶ νά τό δουλεύω». Ὁ Γέροντας ἀπάντησε: «Ὁ ἀββᾶς Σισόης ἔλεγε ὅτι δέν πρέπει νά κάνουμε τό ἔργο πού μᾶς ἀναπαύει».

58. Εἶπε πάλι ὅτι πολλές φορές ἡ ἀπουσία τῆς ντροπῆς καί τοῦ φόβου φέρνουν τήν ἁμαρτία.

59. Κάποιος Γέροντας εἶπε: «Ἄνθρωπε, ἄν θέλεις νά ζήσεις σύμφωνα μέ τόν νόμο τοῦ Θεοῦ, θά βρεῖς βοηθό τόν Νομοθέτη».

60. Εἶπε πάλι: «Ἄν ἑκούσια θελήσεις νά παρακούσεις τίς ἐντολές τοῦ Θεοῦ, θά βρεῖς τόν διάβολο νά σέ βοηθάει στήν πτώση».

περιορισμένος, γιά νά πιάσει δύο δούλους του δραπέτες, τιμωρήθηκε ἀπό τόν βασιλιά Σολομώντα μέ θάνατο.

61. Εἶπε Γέρων· Ἡ ἀμεριμνία καὶ τὸ σιωπᾶν καὶ ἡ κρυπτὴ μελέτη τίκτουσι τὴν ἁγνείαν.

62. Εἶπε Γέρων· Ἡ μέλισσα ὅπου ὑπάγει μέλι ποιεῖ· οὕτω καὶ ὁ μοναχός, ὅπου ὑπάγει τὸ ἔργον τοῦ Θεοῦ ἐργάζεται.

63. Εἶπε πάλιν ὅτι ὁ Σατανᾶς σχοινοπλόκος ἐστίν· ὅσον παρέχεις αὐτῷ λῶμα καὶ αὐτὸς πλέκει· τοῦτο δὲ εἶπε περὶ τῶν λογισμῶν.

64. Εἶπε Γέρων· Ἡνίκα θέλει παραβαλεῖν ἀδελφὸς πρὸς ἀδελφόν, ὁ δαίμων τῆς καταλαλιᾶς ἢ προλαμβάνει αὐτὸν ἐκεῖ ἢ μετ᾽ αὐτοῦ ἔρχεται πρὸς τὸν ἀδελφόν.

65. Εἶπε Γέρων· Τὸν ὀκνηρὸν καὶ τὸν ἀργὸν οὐ θέλει ὁ Θεός.

66. Εἶπε Γέρων· Δὸς πρόθεσιν καὶ λαμβάνεις δύναμιν.

67. Εἶπε Γέρων· Ἡ ἀχαριστία πρεσβεύει ὑπὲρ τῆς ἀδυναμίας ἐναντίον τοῦ Θεοῦ.

68. Εἶπε Γέρων ὅτι· Ὥσπερ ὁ κασσίτηρος μελαινόμενος λαμπρύνεται πάλιν, οὕτω καὶ οἱ πιστεύοντες· κἂν μελαίνονται ἁμαρτάνοντες, λαμπρύνονται πάλιν μετανοοῦντες· δι᾽ ἣν αἰτίαν καὶ κασσιτήρῳ τυχὸν ἡ πίστις παρεικάσθη.

61. Εἶπε Γέροντας: «Ἡ ἀμεριμνησία, ἡ σιωπή καί ἡ μυστική ἐσωτερική μελέτη γεννοῦν τήν ἁγνότητα».

62. Εἶπε Γέροντας: «Ἡ μέλισσα ὅπου πηγαίνει, κάνει μέλι. Ἔτσι κι ὁ μοναχός ὅπου πηγαίνει, τό ἔργο τοῦ Θεοῦ ἐργάζεται».

63. Εἶπε πάλι ὅτι ὁ Σατανᾶς πλέκει σχοινιά· ὅσο ἐσύ τοῦ δίνεις λουρίδες αὐτός πλέκει. Αὐτό τό εἶπε γιά τούς λογισμούς.


64. Εἶπε Γέροντας: «Ὅταν κάποιος ἀδελφός θέλει νά πάει νά συναντήσει ἕναν ἀδελφό, ὁ δαίμονας τῆς κατακρίσεως ἢ πηγαίνει πιό μπροστά ἀπ᾽ αὐτόν ἐκεῖ ἢ ἔρχεται μαζί του στόν ἀδελφό».

65. Εἶπε Γέροντας: «Τόν τεμπέλη καί τόν ἀκαμάτη δέν τούς θέλει ὁ Θεός».

66. Ἄλλος Γέροντας εἶπε: «Δῶσε διάθεση καί θά πάρεις δύναμη».

67. Ἄλλος εἶπε: «Ἡ ἀχαριστία μεσιτεύει γιά χάρη τῆς ἀδυναμίας ἐνώπιον τοῦ Θεοῦ».

68. Ἕνας Γέροντας εἶπε: «Ὅπως ὁ κασσίτερος ἀφοῦ μαυρίσει, πάλι γίνεται λαμπερός, ἔτσι καί αὐτοί πού πιστεύουν· κι ἂν μαυρίζουν, καθώς ἁμαρτάνουν, πάλι λαμπρύνονται, ὅταν μετανοοῦν· γι᾽ αὐτόν τόν λόγο ἴσως ἡ πίστη παρομοιάστηκε μέ κασσίτερο».




Λαξευτή ἐκκλησία στή Λαύρα Φαράν


ΚΕΦΑΛΑΙΟ ΚΒ΄

Ἡ πρὸς Θεὸν εὐχαριστία
πάντα λύει
τὰ μηχανήματα τοῦ ἐχθροῦ.

(Ἀπόφθ. 15)



Περὶ τῶν ιϐ´ ἀναχωρητῶν



ναχωρηταὶ ἅγιοι, σοφοὶ καὶ πνευματικοί, τὸν ἀριθμὸν δώδεκα συναχθέντες ἐπὶ τὸ αὐτὸ ἀπήτησαν ἑαυτοὺς εἰπεῖν ἕκαστος ἃ κατώρθωσεν ἐν τῷ κελλίῳ αὐτοῦ καὶ ποίαν ἄσκησιν ἤσκησε πνευματικήν.

Ὁ πρῶτος, ὁ πρεσβύτερος αὐτῶν, ἔφη· Ἐγώ, ἀδελφοί, ἀφ᾽ οὗ ἠρξάμην ἡσυχάζειν ὅλον ἐσταύρωσα ἑαυτὸν τοῖς ἔξω πράγμασιν ἐννοῶν τὸ γεγραμμένον· Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀπορρίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν. Καὶ τεῖχος ποιήσας ἀναμέσον τῆς ψυχῆς μου καὶ τῶν σωματικῶν πραγμάτων εἶπον ἐν τῇ διανοίᾳ μου ὅτι, ὥσπερ ὁ ἔσω τοῦ τείχους οὐχ ὁρᾷ τὸν ἔξω ἑστῶτα, οὕτω μηδὲ σὺ θελήσῃς ὁρᾶν τὰ ἔξω πράγματα· ἀλλὰ σεαυτῷ πρόσεχε ἐκδεχόμενος καθ᾽ ἡμέραν τὴν ἐλπίδα τοῦ Θεοῦ. Οὕτω δὲ ἔχω τὰς πονηρὰς ἐπιθυμίας ὡς ὄφεις καὶ γεννήματα ἐχιδνῶν. Καὶ ὅταν αἰσθάνωμαι ἐν τῇ διανοίᾳ μου ταύτας φυομένας, μετὰ ἀπειλῆς καὶ ὀργῆς ξηραίνω αὐτάς. Καὶ οὐκ ἐπαυσάμην ποτὲ ὀργιζόμενος τῷ σώματί μου καὶ τῇ ψυχῇ μου, ἵνα μηδὲν φαῦλον ποιήσωσιν.


Ὁ δεύτερος εἶπεν· Ἐγὼ ἀφ᾽ οὗ ἀπεταξάμην τῷ κόσμῳ,

---

* Σχετικά μέ τόν τίτλο τοῦ κεφ. ΚΒ´ βλ. ὑποσημ. σελ. 510.

1. Δηλαδή στήν ἡσυχαστική ζωή τοῦ κελιοῦ του.

2. Ψαλμ. 2, 3.



Γιά τούς δώδεκα ἀναχωρητές*



ώδεκα ἀναχωρητές ἅγιοι, σοφοί καί πνευματικοί ἄνθρωποι, συγκεντρώθηκαν κάποτε καί ζήτησαν νά ὁμολογήσει ὁ καθένας ὅσα κατόρθωσε στό κελί του[1] καί ποιά ἦταν ἡ πνευματική του ἄσκηση.

Ὁ πρῶτος, ὁ μεγαλύτερος στήν ἡλικία, εἶπε: «Ἀδελφοί, ἐγώ ἀπό τή στιγμή πού ἄρχισα νά ζῶ ἡσυχαστική ζωή σταύρωσα ὅλο τόν ἑαυτό μου ἀπέναντι στά ἐξωτερικά πράγματα, ἔχοντας στόν νοῦ μου αὐτό πού εἶναι γραμμένο: Νά σπάσουμε τούς δεσμούς πού μᾶς συνδέουν μαζί τους καί νά ρίξουμε ἀπό πάνω μας τόν ζυγό τους[2]. Ἔτσι, ἔκανα ἕνα τεῖχος ἀνάμεσα στήν ψυχή μου καί στά σωματικά πράγματα καί ἀναλογίσθηκα ὅτι, ὅπως αὐτός πού εἶναι μέσα ἀπό τό τεῖχος δέν βλέπει αὐτόν πού στέκεται ἔξω, μέ τόν ἴδιο τρόπο καί σύ μή θελήσεις νά βλέπεις τά πράγματα πού ἔχουν σχέση μέ τά ἔξω. Ἀλλά νά ἔχεις στραμμένη τήν προσοχή σου στόν ἑαυτό σου, ἀναμένοντας κάθε μέρα μέ ἐλπίδα τόν Θεό.

Ἔτσι θεωρῶ τίς πονηρές ἐπιθυμίες φίδια καί ἀπόγονους ἀπό ὀχιές, καί ὅταν τίς αἰσθάνομαι νά ξεφυτρώνουν στό νοῦ μου, τίς ξηραίνω μέ φοβέρες καί ὀργή. Ἀκόμη, δέν σταμάτησα ποτέ νά τά βάζω μέ τό σῶμα μου καί μέ τήν ψυχή μου, γιά νά μήν ἐκτραποῦν σέ τίποτε ἀνάρμοστο».

Ὁ δεύτερος εἶπε: «Ἐγώ ἀπό τότε πού ἀρνήθηκα τόν

εἶπον ἐν ἐμαυτῷ· Σήμερον ἀνεγεννήθης· σήμερον ἤρξω δουλεύειν Θεῷ· σήμερον ἐνταῦθα παροικεῖν ἤρξω. Οὕτως ἔσο καθ' ἑκάστην ὡς ξένος καὶ αὔριον ἀπαλλασσόμενος.

Ὁ τρίτος εἶπεν· Ἐγὼ ἀπὸ πρωὶ ἀνέρχομαι πρὸς τὸν Κύριόν μου· καὶ προσκυνήσας αὐτὸν ῥίπτω ἐμαυτὸν ἐπὶ πρόσωπον ἐξομολογούμενος τὰ παραπτώματά μου. Καὶ οὕτω καταβαίνων προσκυνῶ τοὺς ἀγγέλους αὐτοῦ παρακαλῶν αὐτοὺς δεηθῆναι τοῦ Θεοῦ ὑπὲρ ἐμοῦ καὶ πάσης τῆς κτίσεως. Καὶ ὅταν τοῦτο ποιήσω, κατέρχομαι ἐν τῇ ἀβύσσῳ καί, ὅπερ οἱ Ἰουδαῖοι ποιοῦσιν ἐπὶ Ἱεροσολύμων ἀπιόντες περισχιζόμενοι καὶ δακρύοντες καὶ πενθοῦντες ἐπὶ τῇ συμφορᾷ τῶν πατέρων αὐτῶν, τοῦτο κἀγὼ ποιῶ· περιέρχομαι τὰς κολάσεις, θεωρῶ τὰ ἴδια μέλη βασανιζόμενα καὶ κλαίω μετὰ κλαιόντων.

Ὁ τέταρτος ἔφη· Ἐγὼ οὕτως εἰμί, ὡς ἐν τῷ ὄρει τῶν Ἐλαιῶν καθήμενος μετὰ τοῦ Κυρίου καὶ τῶν Ἀποστόλων αὐτοῦ. Καὶ εἶπον ἐμαυτῷ· Ἀπὸ τοῦ νῦν μηδένα γίνωσκε κατὰ σάρκα, ἀλλὰ μετὰ τούτων ἔσο διὰ παντὸς ζητῶν αὐτοὺς καὶ τὴν καλὴν αὐτῶν πολιτείαν μιμούμενος ὡς ἡ Μαρία παρὰ τοὺς πόδας τοῦ Κυρίου καθημένη καὶ τῶν λόγων αὐτοῦ ἀκούουσα λέγοντος· Γίνεσθε ἅγιοι, ὅτι ἐγὼ ἅγιός εἰμι. Γίνεσθε οἰκτίρμονες καὶ τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν τέλειός ἐστι. Καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.

Ὁ πέμπτος εἶπεν· Ἐγὼ ἀγγέλους θεωρῶ πᾶσαν ὥραν ἀνερχομένους καὶ κατερχομένους εἰς τὴν κλῆσιν τῶν ψυχῶν. Καὶ διὰ παντὸς τὸ τέλος προσδοκῶν λέγω· Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός.

3. Ρωμ. 12, 5 καί Ἐφ. 4, 25.
4. Βλ. Α' Κορ. 12, 26 καί Ρωμ. 12, 15.
5. Λουκ. 10, 39.
6. Α' Πέτρ. 1, 16.
7. Πρβλ. Λουκ. 6, 36· Ματθ. 5, 48.

κόσμο, εἶπα στόν ἑαυτό μου: Σήμερα ἀναγεννήθηκες· σήμερα ἄρχισες νά δουλεύεις στόν Θεό· σήμερα ἄρχισες νά κατοικεῖς ἐδῶ σάν ξένος. Ἔτσι κάθε μέρα νά αἰσθάνεσαι, σάν ἕνας ξένος καί ὅτι αὔριο θά φύγεις».

Ὁ τρίτος εἶπε: «Ἐγώ ἀπό τό πρωί ἀνεβαίνω στόν Κύριό μου· καί ἀφοῦ τόν προσκυνήσω, πέφτω μέ τό πρόσωπο κάτω καί ἐξομολογοῦμαι τά ἁμαρτήματά μου. Ἔπειτα κατεβαίνοντας προσκυνῶ τούς ἀγγέλους του καί τούς παρακαλῶ νά ἱκετέψουν τόν Θεό γιά μένα καί γιά ὁλόκληρη τήν κτίση. Ἀφοῦ τό κάνω αὐτό, κατεβαίνω στήν ἄβυσσο καί ὅ,τι κάνουν οἱ Ἰουδαῖοι, ὅταν πηγαίνουν στά Ἱεροσόλυμα, πού σχίζουν τά ἐνδύματά τους καί κλαῖνε καί πενθοῦν γιά τή συμφορά πού βρῆκε τούς πατέρες τους, αὐτό κάνω κι ἐγώ. Περιπλανιέμαι στούς τόπους τῆς κόλασης, βλέπω τά δικά μου μέλη[3] (δηλαδή τούς ἐκεῖ ἄλλους χριστιανούς) νά βασανίζονται καί κλαίω μ' αὐτούς πού κλαῖνε[4]».

Ὁ τέταρτος εἶπε: «Ἐγώ ἔτσι νιώθω, σάν νά κάθομαι μέ τόν Κύριο καί τούς Ἀποστόλους του στόν ὄρος τῶν Ἐλαιῶν. Εἶπα στόν ἑαυτό μου: ἀπό δῶ καί πέρα κανέναν συγγενή νά μήν ξέρεις, ἀλλά πάντοτε νά βρίσκεσαι μ' αὐτούς· νά τούς ἀναζητᾶς καί νά μιμεῖσαι τόν καλό τρόπο τῆς ζωῆς τους, ὅπως ἡ Μαρία πού καθόταν κοντά στά πόδια τοῦ Κυρίου[5] καί ἄκουγε τά λόγια του: "Νά γίνετε ἅγιοι, γιατί ἐγώ εἶμαι ἅγιος[6]. Νά γίνετε σπλαχνικοί καί τέλειοι, ὅπως ὁ Πατέρας σας εἶναι τέλειος[7]. Νά διδαχτεῖτε ἀπό μένα ὅτι εἶμαι πράος καί ταπεινός στήν καρδιά[8]"».

Ὁ πέμπτος εἶπε: «Ἐγώ κάθε ὥρα βλέπω ἀγγέλους νά ἀνεβαίνουν καί νά κατεβαίνουν γιά τήν πρόσκληση τῶν ψυχῶν. Καί πάντοτε, περιμένοντας τό τέλος μου, λέω: Εἶναι ἕτοιμη ἡ καρδιά μου, Θεέ μου[9]».

8. Ματθ. 11, 29.
9. Ψαλμ. 56, 8.

Ὁ ἕκτος ἔφη· Ἐγὼ καθήμενος τοὺς λόγους τούτους ἀκούειν νομίζω παρὰ τοῦ Κυρίου· Κάμετε δι' ἐμέ, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἔτι μικρὸν ἀγωνίσασθε καὶ δείξω ὑμῖν τὸ σωτήριόν μου καὶ τὴν δόξαν μου. Εἰ ἀγαπᾶτέ με, εἰ τέκνα μού ἐστε, ὡς Πατέρα παρακαλοῦντα αἰσχύνθητε· εἰ ἀδελφοί μού ἐστε, αἰδέσθητέ με ὡς πολλὰ δι' ὑμᾶς ὑπομείναντα. Εἰ πρόβατά μου ἐστέ, τῆς φωνῆς τοῦ ποιμένος ἀκούσατε· εἰ δοῦλοί μού ἐστε, τοῖς δεσποτικοῖς ἀκολουθήσατε παθήμασιν.

Ὁ ἕβδομος εἶπεν· Ἐγὼ τὰ τρία ταῦτα συνεχῶς μελετῶ καὶ ἀδιαλείπτως ἐπιλέγω ἐμαυτῷ· πίστιν, ἐλπίδα, ἀγάπην· ἵνα τῇ μὲν ἐλπίδι χαίρω, τῇ δὲ πίστει στηρίζομαι, τῇ δὲ ἀγάπῃ μηδένα λυπήσω ποτέ.

Ὁ ὄγδοος εἶπεν· Ἐγὼ πετόμενον θεωρῶ τὸν διάβολον ζητοῦντα τίνα καταπίῃ· καὶ ὅπου δ' ἂν ἀπέλθῃ, θεωρῶ τοῖς ἔσωθεν ὀφθαλμοῖς καὶ τῷ Δεσπότῃ μου Χριστῷ ἐντυγχάνω κατ' αὐτοῦ, ἵνα ἄπρακτος μείνῃ καὶ πρὸς μηδένα ἰσχύσῃ, μάλιστα τῶν φοβουμένων τὸν Θεόν.

Ὁ ἔνατος εἶπεν· Ἐγὼ καθήμενος τὴν ἐκκλησίαν τῶν νοερῶν δυνάμεων θεωρῶ καὶ τὸν Κύριον τῆς δόξης ἐν μέσῳ αὐτῶν ὑπὲρ πάντας λάμποντα. Ὅταν δὲ ἀκηδιάσω, ἀνέρχομαι εἰς τοὺς οὐρανοὺς καὶ θεωρῶ τὰ θαυμαστὰ κάλλη τῶν ἀγγέλων καὶ τοὺς ὕμνους, οὓς ἀναπέμπουσιν ἀπαύστως τῷ Θεῷ καὶ τὰς μελῳδίας αὐτῶν. Καὶ μετεωρίζομαι ὑπὸ τῶν φθόγγων καὶ τῆς φωνῆς καὶ τοῦ μέλους αὐτῶν, ὡς ἐννοῆσαι τὸ γεγραμμένον· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· καὶ τὰ ἐπὶ τῆς γῆς πάντα σποδὸν καὶ σκύβαλα ἡγοῦμαι».

10. Ματθ. 11, 28.
11. Ἰω. 10, 3.
12. Α΄ Κορ. 13, 13.
13. Πρβλ. Α΄ Πέτρ. 5, 8.
14. Ἀκηδία: Βλ. Μ. Γερ. τ. Α΄, σελ. 126, ὑποσημ. 109.

Ὁ ἕκτος εἶπε: «Ἐγώ καθώς κάνω τήν πνευματική μου ἐργασία στό κελί, νομίζω ὅτι ἀκούω ἀπό τόν Κύριο αὐτά τά λόγια: Νά κοπιάστε γιά μένα κι ἐγώ θά σᾶς ἀναπαύσω[10]· ἀκόμη λίγο νά ἀγωνιστεῖτε καί θά σᾶς δείξω τή σωτηρία καί τή δόξα μου. Ἄν μέ ἀγαπᾶτε, ἄν εἴσαστε παιδιά μου, σάν Πατέρα πού παρακαλάει, νά αἰσθανθεῖτε γιά μένα σεβασμό· ἄν εἶστε ἀδελφοί μου, νά μέ σεβαστεῖτε ὅπως ἐκεῖνον πού ὑπέμεινε πολλά γιά σᾶς. Ἄν εἴσαστε πρόβατά μου, νά ἀκοῦστε τή φωνή τοῦ ποιμένα[11]· ἄν εἶστε δοῦλοι μου, νά ἀκολουθήσετε τά παθήματα τοῦ δεσπότη σας».

Ὁ ἕβδομος εἶπε: «Ἐγώ αὐτά τά τρία μελετῶ συνεχῶς καί λέω ἀδιάκοπα στόν ἑαυτό μου: πίστη, ἐλπίδα, ἀγάπη[12], γιά νά χαίρομαι μέ τήν ἐλπίδα, νά στηρίζομαι μέ τήν πίστη, καί μέ τήν ἀγάπη νά μή λυπήσω ποτέ κανένα».

Ὁ ὄγδοος εἶπε: «Ἐγώ βλέπω τόν διάβολο νά πετάει ζητώντας ποιόν νά καταπιεῖ[13]. Ὅπου κι ἄν πάει, βλέπω μέ τά ἐσωτερικά μάτια, καί ἀναφέρομαι ἱκετευτικά στόν Δεσπότη μου Χριστό ἐναντίον του, ὥστε νά μείνει ἄπρακτος καί νά μήν μπορέσει νά κάνει τίποτε σέ κανέναν, ἰδίως σ' αὐτούς πού φοβοῦνται τόν Θεό».

Ὁ ἔνατος εἶπε: «Ἐγώ ὅταν κάνω τήν πνευματική μου ἐργασία, βλέπω τήν ἐκκλησία τῶν νοερῶν δυνάμεων κι ἀνάμεσά τους τόν Κύριο τῆς δόξας νά λάμπει περισσότερο ἀπ' ὅλους. Ὅταν μέ βρεῖ ἀκηδία[14], ἀνεβαίνω στούς οὐρανούς καί βλέπω τήν ἔξοχη ὡραιότητα τῶν ἀγγέλων κι ἀκούω τούς ὕμνους πού ἀνυψώνουν ἀκατάπαυστα στόν Θεό, καθώς καί τή μελωδία τους. Ὑψώνομαι μέ τούς ἤχους καί τή φωνή καί τή μουσικότητά τους, ὥστε νά νιώσω αὐτό πού εἶναι γραμμένο: "Οἱ οὐρανοί διηγοῦνται τή δόξα τοῦ Θεοῦ"[15] καί ὅλα τά ἐπίγεια τά θεωρῶ στάχτη καί σκουπίδια[16]».

15. Ψαλμ. 18, 2.
16. Φιλιπ. 3, 8.

Ὁ δέκατος εἶπεν· Ἐγὼ διόλου τὸν παραμένοντά μοι ἄγγελον θεωρῶ πλησίον μου καὶ τηρῶ ἐμαυτὸν ἐννοῶν τὸ γεγραμμένον· Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ. Φοβοῦμαι οὖν αὐτὸν θεωροῦντά μου τὰς ὁδούς. Καὶ γὰρ θεωρῶ αὐτὸν καθ' ἑκάστην ἀνερχόμενον πρὸς τὸν Θεὸν καὶ ἐμφανίζοντά μου τὰ ἔργα καὶ τοὺς λόγους.

Ὁ ἑνδέκατος εἶπεν· Ἐγὼ πρόσωπον ἐπιθεὶς ταῖς ἀρεταῖς, οἷον τὴν ἐγκράτειαν, τὴν σωφροσύνην, τὴν μακροθυμίαν, τὴν ἀγάπην καὶ εἰς μέσον ἐμαυτὸν ἔστησα, κυκλώσας μοι αὐτάς. Καὶ ὅπου δ' ἂν ἀπέλθω, λέγω ἐμαυτῷ· Ποῦ εἰσιν αἱ παιδαγωγοί σου; Μὴ ὀλιγωρήσῃς. Μὴ ἀκηδιάσῃς ἔχων αὐτὰς ἐγγύς σου διὰ παντός· οἵαν θέλεις ἀρετὴν πάρεστί σοι, καὶ πολλὰ μαρτυρήσουσιν ὑπὲρ σοῦ ἐπὶ Θεοῦ, ὡς εὑροῦσαι ἀνάπαυσιν ἐν σοί.

Ὁ δωδέκατος εἶπεν· Ὑμεῖς μέν, ὦ Πατέρες, πτέρυγας οὐρανόθεν ἔχοντες πολιτείαν οὐράνιον κέκτησθε, καὶ οὐδὲν θαυμαστόν· ἐπηρμένους γὰρ ὑμᾶς θεωρῶ τοῖς ἔργοις καὶ τὰ ἄνω διώκοντας. Τῇ γὰρ δυνάμει καὶ μετατίθεσθε τῆς γῆς οἱ ἑαυτοὺς παντελῶς ἀπαλλοτριώσαντες ἐξ αὐτῆς. Τί εἴπω ὑμᾶς; ἐπιγείους ἀγγέλους ἢ οὐρανίους ἀνθρώπους; Ἐγὼ δὲ ἐμαυτὸν τοιοῦτον κρίνας ἀνάξιον καὶ τοῦ ζῆν τὰς ἁμαρτίας μου βλέπω ἔμπροσθέν μου. Ὅπου δ' ἂν ἀπέλθω καὶ ὅπου δ' ἂν περιστραφῶ, βλέπω αὐτὰς προλαμβανούσας με.

Ἐν τοῖς καταχθονίοις οὖν ἐμαυτὸν κατεδίκασα λέγων· Ἔσομαι μετὰ τούτων μεθ' ὧν καὶ ἄξιός εἰμι. Ἐν τούτοις γὰρ μικρὸν ὕστερον καταλογισθήσομαι. Θεωρῶ οὖν ἐκεῖ οἰμωγὰς καὶ δάκρυα, ἄπαυστα καὶ ἀνεκδιήγητα. Θεωρῶ τινὰς βρύχοντας τοὺς ὀδόντας καὶ ἁλλομένους ὅλῳ τῷ σώματι καὶ

Ὁ δέκατος εἶπε: «Ἐγώ πάντοτε βλέπω κοντά μου τόν φύλακα ἄγγελό μου καί προσέχω τόν ἑαυτό μου, ἔχοντας στό μυαλό μου αὐτό πού ἔχει γραφεῖ: "Ἔβλεπα μπροστά μου τόν Κύριο πάντοτε, ὅτι στέκεται στά δεξιά μου, γιά νά μήν κλονισθῶ ἀπό τή θέση μου". Φοβοῦμαι λοιπόν αὐτόν πού παρακολουθεῖ τήν πορεία μου. Διότι τόν βλέπω κάθε μέρα νά ἀνεβαίνει στόν Θεό καί νά παρουσιάζει τά ἔργα καί τά λόγια μου».

Ὁ ἑνδέκατος εἶπε: «Ἐγώ προσωποποίησα τίς ἀρετές, ὅπως π.χ. τήν ἐγκράτεια, τή σωφροσύνη, τή μακροθυμία, τήν ἀγάπη κι ἔστησα τόν ἑαυτό μου ἀνάμεσά τους ὥστε νά μέ περικυκλώσουν αὐτές. Κι ὅπου κι ἄν πάω, λέω στόν ἑαυτό μου: «Ποῦ εἶναι οἱ παιδαγωγοί σου; Μήν ἀδιαφορήσεις, μήν ἀκηδιάσεις, ἀφοῦ παντοτινά αὐτές τίς ἔχεις δίπλα σου· ὅποια ἀρετή θέλεις κοντά σου εἶναι, καί καλά λόγια θά ποῦν στόν Θεό γιά σένα, ὅτι δηλαδή βρῆκαν σέ σένα ἀνάπαυση».

Ὁ δωδέκατος εἶπε: «Ἐσεῖς, Πατέρες, ἔχοντας φτεροῦγες ἀπό τόν οὐρανό, ἀποκτήσατε οὐράνια ζωή. Κι αὐτό καθόλου παράδοξο δέν εἶναι· σᾶς βλέπω νά στέκεστε ψηλά λόγω τῶν ἔργων σας καί νά ἐπιδιώκετε τά οὐράνια. Μέ δύναμη μάλιστα μετακινεῖστε ἀπ' τή γῆ ἐσεῖς πού ἀποξενωθήκατε ἐντελῶς ἀπ' αὐτήν. Πῶς νά σᾶς ὀνομάσω; Ἐπίγειους ἀγγέλους ἤ οὐράνιους ἀνθρώπους; Ἐγώ κρίνοντας τόν ἑαυτό μου τόσο ἀνάξιο ἀκόμη καί νά ζεῖ, βλέπω μπροστά μου τίς ἁμαρτίες μου. Ὅπου κι ἄν πάω, ὅπου κι ἄν στραφῶ τίς βλέπω νά προχωροῦν πρίν ἀπό μένα.

Στά καταχθόνια καταδίκασα τόν ἑαυτό μου. Λέω "Θά εἶμαι μαζί μ' αὐτούς πού μοῦ ἀξίζει. Μ' αὐτούς ὕστερα ἀπό λίγο θά μέ κατατάξουν". Βλέπω ἐκεῖ θρηνητικές κραυγές καί δάκρυα, πού δέν σταματοῦν ποτέ καί εἶναι ἀνεκδιήγητα. Βλέπω κάποιους νά τρίζουν τά δόντια καί νά πηδοῦν μ'

τρέμοντας ἀπὸ κεφαλῆς ἕως ποδῶν. Καὶ ῥίψας ἐμαυτὸν ἐπὶ πρόσωπον καὶ σποδὸν καταπασάμενος ἱκετεύω τὸν Θεὸν τῶν συμφορῶν ἐκείνων πεῖραν μὴ λαβεῖν. Βλέπω δὲ καὶ θάλασσαν πυρὸς παφλάζουσαν καὶ διαφυσῶσαν καὶ μυκωμένην, ὡς νομίσαι τινὰ μέχρι τοῦ οὐρανοῦ φθάνειν τὰ κύματα τοῦ πυρός· καὶ ἐν τῇ φοβερᾷ θαλάσσῃ ἀνθρώπους ἀναριθμήτους ἐρριμμένους ὑπὸ ἀγρίων ἀγγέλων καὶ μιᾷ φωνῇ ἐκείνους πάντας ὁμοῦ ἀλαλάζοντας καὶ βοῶντας οἵους οὐδεὶς ἤκουσεν ὀλολυγμοὺς καὶ φωνάς· καὶ ὥσπερ φρύγανα πάντας καιομένους καὶ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ ἀποστρεφομένους ἀπ' αὐτῶν διὰ τὰς ἁμαρτίας αὐτῶν.

Καὶ τότε θρηνῶ τὸ γένος τῶν ἀνθρώπων, πῶς τολμᾷ λαλῆσαι λόγον ἢ προσέχειν τινὶ τοσούτων ἀποκειμένων κακῶν τῷ κόσμῳ. Ἐν τούτοις τοῖς λογισμοῖς κρατῶ ἐν τῇ διανοίᾳ μου τὸ πένθος ἀνάξιον ἑαυτὸν κρίνας καὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, πληρῶν τὸ γεγραμμένον· Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός.

Ταῦτα τῶν σοφῶν καὶ πνευματικῶν Πατέρων τὰ κατορθώματα. Γένοιτο δὲ καὶ ἡμᾶς μνήμης ἀξίαν πολιτείαν ἐνδείξασθαι, ἵνα γενόμενοι τέλειοι καὶ ἀνεπίληπτοι εὐχαριστήσωμεν τῷ Δεσπότῃ ἡμῶν Χριστῷ.

2. Εἶπε Γέρων ὅτι· Ἦν τις ἐν τῇ ἐσωτέρᾳ ἐρήμῳ οἰκῶν ἀπὸ χρόνων ἱκανῶν καὶ ἐκτήσατο χάρισμα διορατικόν, ὥστε ὁμιλεῖν αὐτὸν μετὰ τῶν ἀγγέλων. Συνέβη δὲ πρᾶγμα τοιοῦτον· Δύο ἀδελφοὶ μοναχοὶ ἤκουσαν τὰ περὶ αὐτοῦ καὶ ἐπεθύμησαν αὐτὸν ἰδεῖν καὶ ὠφεληθῆναι παρ' αὐτοῦ. Καὶ ἐξελ-

17. Ψαλμ. 41, 4.

ὅλο τους τό σῶμα καί νά τρέμουν ἀπ' τό κεφάλι μέχρι τά πόδια. Πέφτω μέ τό πρόσωπο κάτω καί ρίχνοντας στάχτη στό κεφάλι μου ἱκετεύω τόν Θεό νά μή δοκιμάσω ἐκεῖνες τίς συμφορές. Βλέπω καί μιά θάλασσα ἀπό φωτιά νά παφλάζει καί νά φυσομανάει ἐδῶ κι ἐκεῖ καί νά βρυχιέται, σέ σημεῖο πού νά νομίζει κανείς ὅτι τά κύματα τῆς φωτιᾶς φτάνουν μέχρι τόν οὐρανό. Καί μέσ' στή φοβερή αὐτή θάλασσα ἀμέτρητους ἀνθρώπους ριγμένους ἀπό ἄγριους ἀγγέλους, καί ὅλοι μαζί ἐκεῖνοι οἱ ἄνθρωποι μέ μιά φωνή νά βγάζουν δυνατές κραυγές καί νά κράζουν μέ ἰσχυρούς θρήνους καί φωνές τέτοιες, πού κανείς δέν ἔχει ἀκούσει. Σάν ξερά χόρτα ὅλοι νά καίγονται, καί οἱ οἰκτιρμοί τοῦ Θεοῦ νά φεύγουν μακριά ἀπ' αὐτούς, γιά τίς ἁμαρτίες τους.

Τότε θρηνῶ τό γένος τῶν ἀνθρώπων, πῶς τολμᾶ νά μιλήσει ἤ νά δίνει τήν προσοχή του σέ κάτι ἐφήμερο, ἀφοῦ τόσο μεγάλα κακά περιμένουν τόν κόσμο. Μέ τέτοιους λογισμούς κρατῶ τό πένθος στήν καρδιά μου, κρίνοντας τόν ἑαυτό μου ἀνάξιο γιά τόν οὐρανό καί τή γῆ, καί πραγματοποιεῖται σέ μένα ὁ λόγος τῆς Γραφῆς: Τά δάκρυά μου ἔγιναν γιά μένα ψωμί μέρα καί νύχτα[17]».

Αὐτά εἶναι τά κατορθώματα τῶν σοφῶν καί πνευματικῶν Πατέρων. Μακάρι κι ἐμεῖς νά δείξουμε στούς ἄλλους μιά ζωή ἄξια νά τήν θυμοῦνται, γιά νά εὐχαριστήσουμε τόν Δεσπότη μας Χριστό, ἀφοῦ γίνουμε τέλειοι καί ἀψεγάδιαστοι.

2. Ἕνας Γέροντας εἶπε ὅτι ὑπῆρχε κάποιος ἀναχωρητής, πού κατοικοῦσε στήν πιό βαθιά ἔρημο ἀπό ἀρκετά χρόνια κι εἶχε ἀποκτήσει χάρισμα διορατικό, ὥστε νά συναναστρέφεται μέ τούς ἀγγέλους. Καί συνέβη τό ἑξῆς: Δύο ἀδελφοί μοναχοί ἄκουσαν τά σχετικά μ' αὐτόν καί εἶχαν τήν ἐπιθυμία νά τόν γνωρίσουν καί νά ὠφεληθοῦν. Βγῆκαν

θόντες ἐκ τῶν κελλίων αὐτῶν ἐπορεύοντο πίστει πρὸς αὐτόν. Καὶ ἐζήτουν τὸν δοῦλον τοῦ Θεοῦ ἐν τῇ ἐρήμῳ.

Καὶ μεθ' ἡμέρας τινὰς ἤγγισαν τῷ σπηλαίῳ τοῦ Γέροντος καὶ θεωροῦσιν ἀπὸ μακρόθεν τινὰ ὡς ἄνθρωπον ἀσπροφοροῦντα, ἱστάμενον ἐφ' ἓν τῶν ὀρέων ἐκείνων πλησίον τοῦ ὁσίου ὡς ἀπὸ σημείων τριῶν. Καὶ φωνεῖ αὐτοῖς λέγων· Ἀδελφοί, ἀδελφοί. Οἱ δὲ ἀπεκρίθησαν λέγοντες· Τίς εἶ καὶ τί θέλεις; Ὁ δὲ λέγει αὐτοῖς· Εἴπατε τῷ ἀββᾷ ἐκείνῳ ᾧ μέλλετε συντυχεῖν ὅτι· Μνήσθητι τῆς παρακλήσεως. Οἱ δὲ ἐλθόντες καὶ εὑρόντες τὸν Γέροντα ἠσπάσαντο αὐτὸν καὶ προσπεσόντες αὐτῷ ἠρώτων ἀκοῦσαι παρ' αὐτοῦ λόγον σωτηρίας. Καὶ διδαχθέντες ὑπ' αὐτοῦ ἱκανῶς ὠφελήθησαν.

Καὶ ἀπήγγειλαν αὐτῷ περὶ τοῦ ἀνθρώπου, ὃν εἶδον ἐρχόμενοι πρὸς αὐτόν, καὶ τὴν δήλωσιν αὐτοῦ. Ὁ δὲ ἀκούσας ἔγνω τίς ἦν. Καὶ προσεποιεῖτο ἀγνοεῖν περὶ αὐτοῦ. Καὶ ἔλεγεν ὅτι· Οὐδεὶς ἄλλος ἄνθρωπος οἰκεῖ ἐνταῦθα. Οἱ δὲ ἠνάγκαζον αὐτὸν εἰπεῖν τίς ἐστιν ὁ ὁραθεὶς αὐτοῖς, βάλλοντες αὐτῷ συνεχῶς μετανοίας καὶ κρατοῦντες τοὺς πόδας αὐτοῦ.

Ὁ δὲ ἤγειρεν αὐτοὺς λέγων· Δότε μοι λόγον, ἵνα μηδενὶ περιφημίσητέ με ὥς τινα τῶν ἁγίων, ἄχρις ἂν ἀπέλθω πρὸς Κύριον, καὶ ἀναγγελῶ ὑμῖν τὸ πρᾶγμα. Οἱ δὲ ἐποίησαν καθὼς εἶπεν αὐτοῖς. Καὶ λέγει αὐτοῖς· Οὗτος, ὃν ἑωράκατε ἀσπροφοροῦντα, ἄγγελος Κυρίου ἐστίν, ὃς καὶ ἐλθὼν ἐνταῦθα παρακαλεῖ τὴν ἀσθένειάν μου λέγων· Δεήθητι τοῦ Κυρίου περὶ ἐμοῦ, ἵνα ἀποκατασταθῶ εἰς τὸν τόπον μου, ὅτι πεπλήρωται λοιπὸν ὁ χρόνος ὁ ὁρισθεὶς κατ' ἐμοῦ παρὰ τοῦ Θεοῦ. Ἐμοῦ δὲ ἐρωτήσαντος αὐτόν· Τίς ἡ αἰτία τῆς ἐπιτιμήσεώς σου, λέ-


18. Σημεῖον: Ἀπόσταση πού ἰσοῦται μ' ἕνα μίλι. Βλ. ὑποσημ. 6, σελ. 436.

ἀπό τά κελιά τους καί πήγαιναν πρός αὐτόν μέ ἐμπιστοσύνη στήν καρδιά. Καί ἀναζητοῦσαν τόν δοῦλο τοῦ Θεοῦ στήν ἔρημο.

Ὕστερα ἀπό μερικές μέρες πλησίασαν στή σπηλιά τοῦ Γέροντα. Ἀπό μακριά βλέπουν κάποιον σάν ἄνθρωπο ντυμένο στά λευκά νά στέκεται πάνω σέ ἕναν ἀπό τούς λόφους πού ἦταν κοντά στόν ὅσιο σέ ἀπόσταση περίπου τριῶν σημείων[18]. Τούς φώναξε: «Ἀδελφοί, ἀδελφοί». Αὐτοί τόν ρώτησαν: «Ποιός εἶσαι καί τί θέλεις;» «Νά πεῖτε, τούς ἀποκρίθηκε, στόν ἀββᾶ ἐκεῖνον πού θά συναντήσετε: θυμήσου αὐτό πού σέ παρακάλεσα». Οἱ ἀδελφοί ἦρθαν, βρῆκαν τόν Γέροντα, τόν χαιρέτισαν καί πέφτοντας στά πόδια του παρακαλοῦσαν νά ἀκούσουν ἀπό τό στόμα του λόγο σωτηρίας. Πράγματι, διδάχτηκαν ἀπ' αὐτόν καί ὠφελήθηκαν πολύ.

Τοῦ μίλησαν καί γιά τόν ἄνθρωπο πού εἶδαν καθώς ἔρχονταν, καί τήν παράκλησή του. Ὁ Γέροντας κατάλαβε ποιός ἦταν, ἀλλά προσποιοῦνταν ὅτι δέν τόν ἤξερε. Μάλιστα ἔλεγε: «Κανένας ἄλλος ἄνθρωπος δέν κατοικεῖ ἐδῶ». Οἱ ἀδελφοί ὅμως βάζοντας συνέχεια μετάνοιες καί ἀγκαλιάζοντας τά πόδια του τόν ὑποχρέωναν νά πεῖ ποιός ἦταν αὐτός πού εἶδαν.

Ὁ Γέροντας τούς σήκωσε ὄρθιους καί τούς εἶπε: «Δῶστε μου τόν λόγο σας ὅτι δέν θά μιλήσετε ἐπαινετικά σέ κανέναν γιά μένα σάν γιά κάποιον ἅγιο, μέχρι νά φύγω στόν Κύριο, καί τότε θά σᾶς μιλήσω καθαρά γιά τήν ὑπόθεση». Ἐκεῖνοι ἔκαναν ὅπως τούς ζήτησε. Τούς λέει λοιπόν: «Αὐτός πού ἔχετε δεῖ ντυμένο στά λευκά εἶναι ἄγγελος Κυρίου, πού ἦρθε ἐδῶ καί παρακαλεῖ ἐμένα τόν ἀδύναμο καί μοῦ λέει: "Ἱκέτευσε τόν Κύριο γιά μένα, νά ξαναγυρίσω στόν τόπο μου, γιατί ἔχει πιά συμπληρωθεῖ ἡ προθεσμία πού ὁρίσθηκε σέ βάρος μου ἀπό τόν Θεό". Στήν ἐρώτησή μου "ποιά εἶναι ἡ αἰτία τῆς ποινῆς σου", ἀπάντησε: "Συνέβη σέ



Ἡ Ἱερουσαλὴμ ἀπό τό ὄρος τῶν Ἐλαιῶν

γει μοι· Συνέβη ἔν τινι κώμῃ πολλοὺς ἀνθρώπους ἐν ἁμαρτίαις ἐπὶ πολὺ παροργίζειν τὸν Θεόν, καὶ ἀπέστειλέ με μετ' ἐλέους παιδεῦσαι αὐτούς. Ἐγὼ δὲ θεασάμενος αὐτοὺς σφόδρα ἀσεβοῦντας, πλείονα τὴν πληγὴν ἐπήνεγκα αὐτοῖς, ὥστε πολλοὺς ἀναλωθῆναι. Καὶ διὰ τοῦτο ἀπὸ ὄψεως γέγονα τοῦ ἀποστείλαντός με Θεοῦ.

Ἐμοῦ δὲ λέγοντος· Καὶ πῶς εἰμι ἱκανὸς παρακαλέσαι τὸν Θεὸν ὑπὲρ ἀγγέλου, ἔφη ἐκεῖνος· Εἰ μὴ ᾔδειν ὅτι εἰσακούει ὁ Θεὸς τῶν γνησίων δούλων αὐτοῦ, οὐκ ἂν ἠρχόμην καὶ ὤχλουν σοι. Ἐγὼ δὲ ἐν ἑαυτῷ ἐμνήσθην τοῦ ἀφάτου ἐλέους Κυρίου καὶ τῆς ἀπείρου αὐτοῦ ἀγάπης πρὸς τὸν ἄνθρωπον, ὅτι κατηξίωσε λαλεῖν καὶ βλέπειν αὐτόν, καὶ τοὺς ἀγγέλους αὐτοῦ διακονεῖν αὐτοῖς καὶ ὁμιλεῖν ὡς τοῖς μακαρίοις αὐτοῦ δούλοις πεποίηκε Ζαχαρίᾳ καὶ Κορνηλίῳ καὶ Ἠλίᾳ τῷ προφήτῃ καὶ τοῖς λοιποῖς ἁγίοις. Καὶ ἐδόξασα τὴν εὐσπλαγχνίαν αὐτοῦ ἐκπλαγεὶς ἐπὶ τούτοις.

Καὶ μετὰ τὸ διηγήσασθαι ταῦτα τὸν μακαριώτατον ἡμῶν πατέρα ἀνεπαύσατο, καὶ ἔθαψαν αὐτὸν οἱ ἀδελφοὶ ἐντίμως μετὰ ὕμνων καὶ προσευχῶν. Οὗ τῶν ἀρετῶν καὶ ἡμεῖς σπουδάσωμεν μιμηταὶ γενέσθαι διὰ τῆς ἰσχύος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ θέλοντος πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

3. Ποτὲ δύο ἀδελφοὶ συνεφώνησαν καὶ ἐγένοντο μοναχοί. Καὶ ὡς κατώρθωσαν ἔδοξεν αὐτοῖς οἰκοδομῆσαι δύο κελλία ἀπὸ διαστήματος καὶ ἕκαστος αὐτῶν ἀναχωρήσας

19. Λουκ. 1, 11 κ.ἑ.

20. Πράξ. 10, 1 κ.ἑ.

μιά ἐπαρχιακή πόλη πολλοί ἄνθρωποι νά παροργίζουν τόν Θεό μέ τίς ἁμαρτίες τους γιά μεγάλο χρονικό διάστημα, καί μ' ἔστειλε νά τούς παιδεύσω μέ εὐσπλαχνία. Ἐγώ ὅμως ὅταν τούς εἶδα πολύ νά ἀσεβοῦν, τούς ἐπέβαλα μεγαλύτερο παιδεμό, μέ ἀποτέλεσμα πολλοί νά ἐξοντωθοῦν. Γι' αὐτό μοῦ ἐπεβλήθη ἡ ἀπομάκρυνσή μου ἀπό προσώπου τοῦ Θεοῦ πού μοῦ εἶχε ἀναθέσει τήν ἀποστολή".

Ὅταν τοῦ εἶπα "καί πῶς εἶμαι ἄξιος νά παρακαλέσω τόν Θεό γιά ἕναν ἄγγελο", ἐκεῖνος εἶπε: "Ἄν δέν ἤξερα ὅτι ὁ Θεός δέχεται τήν προσευχή τῶν γνήσιων δούλων του, δέν θά ἐρχόμουν καί δέν θά σέ ἐνοχλοῦσα". Ἐγώ ἀναλογίσθηκα ἐκείνη τή στιγμή τό ἀμέτρητο ἔλεος τοῦ Κυρίου καί τήν ἄπειρη ἀγάπη του πρός τόν ἄνθρωπο, πού τόν ἔκανε ἄξιο νά μιλάει μαζί του καί νά τόν βλέπει, ἐπίσης οἱ ἄγγελοί του νά ὑπηρετοῦν τούς ἀνθρώπους καί νά ἔχουν ἐπαφή μαζί τους, ὅπως ἔχει γίνει μέ τούς μακάριους δούλους του Ζαχαρία[19] καί Κορνήλιο[20] καί τόν προφήτη Ἠλία[21] καί τούς ἄλλους ἁγίους. Ἔνιωσα κατάπληξη μ' αὐτά καί δόξασα τήν εὐσπλαχνία του».

Μετά ἀπ' τό περιστατικό αὐτό ὁ τρισμακάριστος πατέρας μας ἀναπαύτηκε. Οἱ ἀδελφοί τόν ἔθαψαν τιμητικά μέ ὕμνους καί προσευχές. Κι ἐμεῖς ἄς ἐπιδιώξουμε νά μιμηθοῦμε τίς ἀρετές αὐτοῦ τοῦ Γέροντα μέ τή δύναμη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, πού θέλει ὅλοι οἱ ἄνθρωποι νά σωθοῦν καί νά φτάσουν στήν ἐπίγνωση τῆς ἀλήθειάς του[22].

3. Κάποτε δύο κατά σάρκα ἀδελφοί συμφώνησαν νά γίνουν μοναχοί. Μόλις πραγματοποίησαν τήν ἐπιθυμία τους, ἔκριναν πώς θά ἦταν καλό νά χτίσουν δύο κελιά σέ ἀπόσταση τό ἕνα ἀπό τό ἄλλο καί καθένας τους νά φύγει

21. Γ΄ Βασ. 19, 5-7· Δ΄ Βασ. 1, 3.

22. Α΄ Τιμ. 2, 4.

καθίσαι ἑαυτῷ ἡσυχίας χάριν. Καὶ ἐπὶ πολλὰ ἔτη οὐκ εἶδον ἀλλήλους διὰ τὸ μὴ ἐκβαίνειν ἐκ τοῦ κελλίου. Συνέβη δὲ τὸν ἕνα ἀσθενῆσαι, καὶ ἦλθον οἱ Πατέρες ἐπισκέψασθαι αὐτόν. Καὶ συνέβη ἐκλύεσθαι αὐτὸν καὶ πάλιν ἀνένηπτε. Καὶ ἐπηρώτησαν αὐτὸν οἱ Πατέρες λέγοντες· Τί ἑώρακας; Ὁ δὲ εἶπεν· Ἀγγέλους τοῦ Θεοῦ ἑώρακα ἐλθόντας. Καὶ ἔλαβόν με καὶ τὸν ἀδελφόν μου καὶ ἀπήγαγον ἡμᾶς εἰς τὸν οὐρανόν. Καὶ ἀπήντησαν ἡμῖν ἀντικείμεναι δυνάμεις καὶ οὐκ ἴσχυσαν καθ' ἡμῶν. Καὶ ἐγένετο ὡς παρήλθομεν αὐτὰς καὶ ἤρξαντο λέγειν· Μεγάλη παρρησία ἡ ἁγνεία.

Καὶ τοῦτο εἰπὼν ἐκοιμήθη. Καὶ ἰδόντες οἱ Πατέρες ἀπέστειλαν ἀδελφὸν δηλῶσαι τῷ ἀδελφῷ αὐτοῦ ὅτι ἐκοιμήθη. Καὶ ἀπελθὼν εὗρε καὶ αὐτὸν κοιμηθέντα. Καὶ ἐθαύμασαν δοξάζοντες τὸν Θεόν.

4. Χώρας τινὸς ἐτελεύτησεν ὁ ἐπίσκοπος. Καὶ ἔρχονται οἱ ἐγχώριοι πρὸς τὸν ἀρχιεπίσκοπον αἰτοῦντες, ἵνα χειροτονήσῃ αὐτοῖς ἐπίσκοπον ἀντὶ τοῦ τελευτήσαντος. Καὶ εἶπεν αὐτοῖς ὁ ἀρχιεπίσκοπος· Δότε μοι ὃν οἴδατε ὅτι δόκιμός ἐστι τοῦ ποιμάναι τὸ ποίμνιον τοῦ Χριστοῦ, κἀγὼ χειροτονῶ αὐτόν. Οἱ δὲ εἶπον· Οὐκ ἔχομεν, εἰ μὴ ὃν ὁ ἄγγελός σου παράσχοιτο ἡμῖν. Καὶ εἶπεν αὐτοῖς ὁ ἀρχιεπίσκοπος· Πάντες ὧδέ ἐστε; Καὶ εἶπον· Οὔ. Καὶ εἶπεν αὐτοῖς· Ἀπέλθετε καὶ συναθροίσθητε πάντες καὶ ἔλθετε πρός με, ἵνα ἐκ συμφώνου πάντων γένηται ὁ ψηφιζόμενος ὑμῖν ἐπίσκοπος.

Οἱ δὲ ἀπελθόντες συνηθροίσθησαν καὶ ἦλθον πάντες δεόμενοι χειροτονηθῆναι αὐτοῖς τὸν ἐπίσκοπον. Καὶ εἶπεν αὐτοῖς· Δότε μοι εἰς ὃν πληροφορεῖσθε, καὶ χειροτονῶ αὐτόν. Οἱ δὲ εἶπον· Οὐκ ἔχομεν, εἰ μὴ ὃν ὁ ἄγγελός σου χαρίσεται ἡμῖν. Καὶ εἶπεν αὐτοῖς· Πάντες ὧδέ ἐστε; Καὶ εἶπον· Πάντες ὧδέ ἐσμεν. Καὶ εἶπεν· Οὐδεὶς ὑμῶν παραλέλειπται; Καὶ εἶ-

23. Πληροφορία: Βλ. Μ. Γερ. τ. Α', σελ. 54, ὑποσημ. 30.

καί νά μονάσει μόνος του γιά νά πετύχει τήν ἡσυχαστική ζωή. Γιά πολλά χρόνια δέν εἶδε ὁ ἕνας τόν ἄλλον, ἐπειδή δέν ἔβγαιναν ἀπό τό κελί. Συνέβη ὅμως ὁ ἕνας νά ἀρρωστήσει κι ἦρθαν οἱ Πατέρες νά τόν ἐπισκεφθοῦν. Τόν βρῆκαν νά χάνει τίς αἰσθήσεις του καί πάλι νά συνέρχεται. Τόν ρώτησαν: «Τί εἶδες;» «Εἶδα ἀγγέλους –ἀπάντησε– νά ἔρχονται. Καί πῆραν ἐμένα καί τόν ἀδελφό μου καί μᾶς πῆγαν στόν οὐρανό. Μᾶς συνάντησαν ἐχθρικές δυνάμεις, ἀλλά δέν κυριάρχησαν ἐπάνω μας. Ὅταν τίς προσπεράσαμε, ἄρχισαν νά λένε: Μεγάλη παρρησία ἔχει ἡ ἁγνότητα».

